candas quattuor maxime Gregorii Nazianzeni orationes, funebrem in laudem Basilii, duas in Julianum invectivas, in sancta lumina, contexuit commentarios sic inscriptos: *συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ λόγῳ, — ἐν τοῖς στηλιτευτικοῖς, — ἐν τῷ εἰς τὰ ἅγια φῶτα.* Horum extremus latet adhuc in bibliothecis: reliquos et excerpsit sedulo Eudocia, et ediderunt priorem, sed non integrum (viginti tantum capita), ex codd. duobus Monacensibus no. 132 et 163 saec. 16, *Fr. Creuzerus* in Melet. crit. 1. p. 59—97, alterum ex cod. Vindobonensi no. 79 *Rich. Montagu* cum Gregorii invectivis Eton. 1610. p. 127—172, duobus libris 129 narrationes continentem. Has quoque non dedi integras, sed elegi solas eas quae fabulosas res tractarent, omisi historicas et mythologicarum quoque nonnullas, quae viderentur esse inutiles. Quanquam vereor ne earum etiam quas recepissem quasdam abiiciendas fuisse existimaturi sint severi iudices: sunt enim pleraeque omnes simpliciores quam pro rei natura licebat exspectare. Verum sic demum apparet, quid proprium sit duobus illis narrandi generibus, quorum exempla appendix nostra praebet, rhetorico et ut ita dicam theologico. Nova equidem ad has fabulas emendandas instrumenta non conquisivi, satis quippe habens ex coniectura correxisse errores qui in oculos incurrerent; sed *Bastium* ex cod. Parisino no. 2551, quo continetur commentarius ad or. in Basilium, multas lectiones excerpsisse, post cum eiusdem apparatu litterario in Angliam translatas, docet Schoellius hist. litt. gr. t. 3. p. 182. Praeterea alios quoque eiusmodi commentarios in Gregorii opera scripsisse constat (vid. Fabricii bibl. gr. t. 8. p. 429 sqq.), in quibus Maximus saec. 7. (cf. Tzetz. chil. 9, 865), cuius tamen commentarius a Galeo editus Oxon. 1681 num quid narrationum contineat nescio. Eundem Maximum erant qui crederent auctorem commentarii ad invectivas, qui sub Nonni nomine circumfertur: sed Nonno illum tribuendum esse colligas ex I, 7. 50, 55 coll. cum comm. ad or. in Basil. 3. 5. 8, et conficit rem quod Nonni nomine inscriptae sunt hae narrationes in libris Vindobonensibus theol. nr. 79.

99. 100 (cf. Lambec. comm. d. bibl. imp. t. 3. p. 454. 505. 507) et Parisino nr. 522. Denique iterum hoc loco nominandus est Nicetas, de quo supra dixi, Serrariensis. Etenim hic quoque in eiusdem Gregorii haud paucas orationes commentarios condidit. Usus eis est Jac. Billius, a quo latini facti, an integri nescio, prodierunt Paris. 1569 et deinde in variis Gregorii editionibus: graece nemo hucusque edidit. Sed cum in codice olim Augustano, nunc Monacensi no. 490 inventum esset opusculum mythologicum nullo auctoris nomine inscriptum (cont. historias de Pelope, Tantalo, Cecrope, Alcmaeone, Hercule, Saturno, Graecis in Troiam navigantibus, Rhea, Cerere, Semele, Iside, Medis, Thracibus, Sole, Luna), idque Plethonis sive Pselli esse credidisset Hardt. cat. codd. bibl. Mon. t. 5. p. 138, nuperrime *R. Ungerus* in epist. crit. ad L. Krahnerum (Brandenb. 1841) p. XXV sq. illarum historiarum tres eodem ex libro descriptas adposita Billii interpretatione edidit atque Nicetae esse docuit, depromptas ex eius commentario ad orationem in sancta lumina, id quod confirmatur crebra eiusdem in Benedictinorum ad hanc orationem adnotationibus facta commemoratione, praeterquam quod graece idem commentarius cum aliis exstat compluribus in bibliothecis, maxime Parisina (cf. cat. codd. mss. bibl. reg. t. 2. ind. p. XXX). Ego vero has quoque duxi repetendas.

Haec omnia, quoniam non integra scriptorum opuscula, sed excerpta tantum repraesentavi, quo via ac ratione res procederet, ex ordine litterarum collocavi, adiectis in adnotatione auctorum nominibus atque indicibus locorum. Sed ut quos unius cuiusque scriptoris locos recepissem facilius lectores perspicerent, hic iam integrum eorum indicem subiiciendum esse duxi. Insunt igitur narrationes

Libanii

1 mihi 30,1.	8 = 51.
2 = 5.	9 = 8.
3 = 35.	11 = 19,1.
4 = 1.	12 = 64,1.
6 = 34.	13 = 64,2.

14 = 47,1.
15 = 55,1.
16 = 55,2.
17 = 28,2.
18 = 28,3.
19 = 45.
20 = 7.
21 = 54.
22 = 18.
23 = 31,1.
24 = 11,1.
25 = 9,1.
26 = 20,1.
27 = 60,1.
29 = 13,1.
31 = 40,1.
33 = 69.
34 = 10,1.
35 = 26.
36 = 17.

Eiusdem p. 855 ed. Reisk.

1 = 20,2.
2 = 78,2.
3 = 9,2.

Aphthonii

1 = 2.

Nicolai

1 = 44.
2 = 76.
3 = 25.
4 = 46.
5 = 41.
6 = 40,2.
7 = 11,2.
8 = 60,2.
9 = 68.
10 = 13,2.
11 = 58.
12 = 77.

Nicephori

1 = 15,2.
12 = 61.

Georgii Pachymeris

1 = 52.

Nonni ad orat. in Basilium

1[a] = 57,3.
1[b] = 37.
1[c] = 4.
2[a] = 6.
2[b] = 84.
4 = 15,1.
6 = 49.
9 = 9,3.
13 = 10,3.

Eiusdem ad invectivas

I.	2	=	66,1.	51	= 38.
	3	=	28,8.	52	= 72.
	4	=	57,1.	53	= 18.
	5	=	80.	55	= 16.
	7	=	75.	62	= 53.
	8	=	62.	65	= 43.
	9	=	48.	67	= 21.
	37	=	22,1.	68	= 31,2.
	39a	=	56.	80	= 83.
	39b	=	39.	81	= 29,2.
	40	=	59.	82	= 29,1.
	41	=	28,6.	85	= 10,4.
	42	=	28,4.	86	= 30,2.
	45	=	66,2.	88	= 14.
	49	=	79.	91	= 23.
	50	=	82.		
II.	1	=	12.	22	= 28,5.
	2	=	70.	28	= 63.
	8	=	27.	29	= 22,3.
	10	=	47,2.	30	= 74.
	12	=	24.	31	= 73.
	13	=	67.	32	= 65.
	14	=	36.	33	= 42.
	16	=	19,2.	34	= 28,7.
	19	=	71,1.	35	= 22,2.
	21	=	3.		

Nicetae

	1	=	57,2.	3	= 28,1.
	2	=	71,2.		

Scrib. Lipsiae d. 19. m. Jun. a. MDCCCXLII.

ΑΠΟΛΛΟΔΩΡΟΥ

ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΒΙΒΛΙΟΘΗΚΗΣ

ΒΙΒΛΙΟΝ Α.

I. 1. *Οὐρανος πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου, γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατόν, κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες.* 2. *μετὰ τούτους* 5 *δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας, Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε. τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅιδου τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα ὅσον ἀπ' οὐρανοῦ γῆ.* 3. *τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας,* 10 *Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρῖον, Ἰαπετόν, καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην, Θείαν.* 4. *ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων* 15 *πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί, καὶ δίδωσιν ἀδαμαντίνην ἅρπην Κρόνῳ. οἱ δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται, καὶ Κρόνος ἀποτέμνων τὰ αἰδοῖα τοῦ πατρὸς εἰς τὴν θάλασσαν ἀφίησιν. ἐκ δὲ τῶν σταλαγμῶν τοῦ ῥέοντος αἵματος Ἐρινύες ἐγένοντο, Ἀληκτώ, Τισιφόνη, Μέγαιρα. τῆς δὲ ἀρ-* 20

3. γύγην M. ‖ Κοῖον erat olim: cf. Muret. var. lect. 6, 13. ‖ 6. ἅρπην libri: cf. Ruhnk. ep. cr. 2. p. 144. Muetzell d. em. theog. Hes. p. 201. ‖ 12. γενεώτατον libri. ‖ 13. δὲ] τε libri. ‖

χῆς ἐκβαλόντες τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδωκαν. 5. ὁ δὲ τούτους μὲν [ἐν] τῷ Ταρτάρῳ πάλιν δήσας καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ, λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, εἶτα Δήμητρα καὶ Ἥραν, μεθ' ἃς Πλούτωνα καὶ Ποσειδῶνα. 6. ὀργισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα παραγίνεται μὲν εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία, καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ νύμφαις Ἀδραστείᾳ τε καὶ Ἴδῃ. 7. αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα δέδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

II. 1. Ἐπειδὴ δὲ Ζεὺς ἐγενήθη τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας οὓς κατέπιε· μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους, ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαινα. οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς Ἑκατόγχειρας καθίστασαν φύλακας, αὐτοὶ δὲ διαχλη-

1. ταρταρωθέντας DRcVM. ‖ 2. παρέδωσαν M, cett. παρέδοσαν. ‖ 3. ἐν add. Faber. ‖ τὴν δὲ om. PRbc. ‖ 7. δήμητρα D, δημήτερα Rbc, δημήτερα P, cett. δήμητραν: cf. Lobeck. Parallipp. p. 142. ‖ Πλούτωνα om. P. ‖ 11. μελισσέων libri: emendatum est ex Zenob. 2, 48. ‖ 17. γεγεννημένον P, cett. γεγενημένον. ‖ 18. ἐγένετο Faber, ἐγένετο ἤδη Heynius. ‖ 20. ὑφ' Rb, ἀφ' M, cett. ἐφ'. ‖ 22. ἐξήνεγκε PDRabO, cett. ἐσήνεγκε. ‖ 27. κυανέην libri. ‖

ροῦνται περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν ᾅδῃ.

2. Ἐγένοντο δὲ Τιτάνων ἔκγονοι Ὠκεανοῦ μὲν καὶ Τηθύος Ὠκεανίδες [τρισχίλιαι] Ἀσία, Στύξ, Ἠλέκτρα, Δωρίς, Εὐρυνόμη, Ἀμφιρώ, Μῆτις, Κοίου δὲ καὶ Φοίβης Ἀστερία καὶ Λητώ, Ὑπερίονος δὲ καὶ Θείας Ἠώς, Ἥλιος, Σελήνη, Κρίου δὲ καὶ Εὐρυβοίας τῆς Πόντου Ἀστραῖος, Πάλλας, Πέρσης. 3. Ἰαπετοῦ δὲ καὶ Ἀσίας τῆς Ὠκεανοῦ Ἄτλας, ὃς ἔχει τοῖς ὤμοις τὸν οὐρανόν, καὶ Προμηθεὺς καὶ Ἐπιμηθεὺς καὶ Μενοίτιος, ὃν κεραυνώσας ἐν τῇ τιτανομαχίᾳ Ζεὺς κατεταρτάρωσεν. 4. ἐγένετο δὲ καὶ Κρόνου καὶ Φιλύρας Χείρων διφυὴς κένταυρος, Ἠοῦς δὲ καὶ Ἀστραίου Ἄνεμοι καὶ Ἄστρα, Πέρσου δὲ καὶ Ἀστερίας Ἑκάτη, Πάλλαντος δὲ καὶ Στυγὸς τῆς Ὠκεανοῦ Νίκη, Κράτος, Ζῆλος, Βία. 5. τὸ δὲ τῆς Στυγὸς ὕδωρ ἐκ πέτρας ἐν Ἅιδου ῥέον Ζεὺς ἐποίησεν ὅρκον, ταύτην αὐτῇ τιμὴν διδοὺς ἀνθ' ὧν αὐτῷ κατὰ Τιτάνων μετὰ τῶν τέκνων συνεμάχησε.

6. Πόντου δὲ καὶ Γῆς Φόρκυς, Θαύμας, Νηρεύς, Εὐρυβοία, Κητώ. Θαύμαντος μὲν οὖν καὶ Ἠλέκτρας τῆς Ὠκεανοῦ Ἶρις καὶ Ἅρπυιαι, Ἀελλώ, Ὠκυπέτη, Φόρκου δὲ καὶ Κητοῦς Φορκυάδες [καὶ] Γοργόνες, περὶ ὧν ἐροῦμεν ὅταν τὰ κατὰ Περσέα λέγωμεν. 7. Νηρέως δὲ καὶ Δωρίδος τῆς Ὠκεανοῦ Νηρεΐδες, ὧν τὰ ὀνόματα Κυμοθόη, Σπειώ, Γλαυκοθόη,

1. λάμβάνει V. ‖ 5. τρισχίλιαι videtur ex Hes. theog. 364 hiatum: ὠκεανίδες τρισχίλιαι DR^{ab}VM, cett. τρ. ὠκ. ‖ στύξων, στυξών, στυξόν libri: Ζευξώ Heyn. ‖ 6. ἀμφιρώ P, Ἀμφιτρίτη vulg.: Ἀμφιρύτη scrib. aut prorsus delendum censuit Heynius. ‖ 8. εὐρυβοίας libri, legebatur Εὐρυβίας. ‖ τῆς] τοῦ vulg. ‖ 9. τῆς] τῶν libri. ‖ 10. τοῖς ὤμοις τὸν] ὤμοκτον libri praeter P, qui τοῖς ὤμοις καὶ τὸν, et D, qui τ. ὤμοκτον. ‖ 14. ἄστραι V, ἄστραια M. ‖ 15. τῆς] τῶν vulg. ‖ 18. τέκνων libri, legebatur παίδων. ‖ 19. φόρκυς libri plurimi, vulg. Φόρκος. ‖ εὐρυβοίας libri, legebatur Εὐρυβία. ‖ 20. τῆς] τῶν vulg. ‖ 22. φορκιάδες DR^{abe}, cett. φορκυάδες, erat Φορκίδες. ‖ καὶ addidit Heynius. ‖ 23. λέγωμεν libri, scribebatur λέξωμεν. ‖ Δωρίδος] νηρηίδος DR^{abe}, cett. ὠρείδος. ‖ τῆς Valckenar. ad Ammon. p. 164, vulg. τῶν. ‖ 24. νηρείδες R^{abe}V, cett. νερεΐδες, erat Νηρηΐδες. ‖ γλαυκοθόη libri: Γλαυκονόμη edidit Heynius ex Hes. th. 256. ‖

Ναυσιθόη, Ἁλίη, Ἐρατώ, Σαώ, Ἀμφιτρίτη, Εὐνίκη, Θέτις, Εὐλιμένη, Ἀγαυή, Εὐδώρη, Δωτώ, Φέρουσα, Γαλάτεια, Ἀκταίη, Ποντομέδουσα, Ἱππωθόη, Λυσιάνασσα, Κυμώ, Ἠιόνη, Ἁλιμήδη, Πληξαύρη, Εὐκράτη, Πρωτώ, Καλυψώ, Πανόπη, Κραντώ, Νεόμηρις, Ἱππονόη, Δηιάνειρα, Πολυνόη, Αὐτονόη, Μελίτη, Διώνη, Νησαίη, Δηρώ, Εὐαγόρη, Ψαμάθη, Εὐμόλπη, Ἰόνη, Δυναμένη, Κητώ, Λιμνώρεια.

III. 1. Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν καὶ τεκνοῖ Ἥβην, Εἰλείθυιαν, Ἄρην, μίγνυται δὲ πολλαῖς θνηταῖς τε καὶ ἀθανάτοις γυναιξίν. ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ θυγατέρας, Ὥρας Εἰρήνην, Εὐνομίαν, Δίκην, Μοίρας Κλωθώ, Λάχεσιν, Ἄτροπον, ἐκ Διώνης δὲ Ἀφροδίτην, ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ Χάριτας, Ἀγλαΐην, Εὐφροσύνην, Θάλειαν, ἐκ δὲ Στυγὸς Περσεφόνην, ἐκ δὲ Μνημοσύνης Μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειώ, Μελπομένην, Εὐτέρπην, Ἐρατώ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολυμνίαν.

2. Καλλιόπης μὲν οὖν καὶ Οἰάγρου, κατ' ἐπίκλησιν δὲ Ἀπόλλωνος, Λῖνος, ὃν Ἡρακλῆς ἀπέκτεινε, καὶ Ὀρφεὺς ὁ ἀσκήσας κιθαρῳδίαν, ὃς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. ἀποθανούσης δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐτοῦ δηχθείσης ὑπὸ ὄφεως, κατῆλθεν εἰς Ἅιδου θέλων ἀγαγεῖν αὐτήν, καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι· ὁ δὲ ἀπιστῶν ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα, ἡ δὲ πάλιν ὑπέστρεψεν. εὗρε δὲ Ὀρφεὺς καὶ τὰ Διονύσου μυστήρια. καὶ τέθαπται περὶ τὴν Πιερίαν διασπασθεὶς ὑπὸ τῶν Μαινάδων. 3. Κλειὼ δὲ Πιέρου τοῦ Μάγνη-

3. ποντομέδουσα libri: πρωτομέδουσα Aegius et Clavier. ‖ 4. Ἠιόνη ex Hes. 255 aut Κλυμένη Heynius, vulg. Πιόνη. ‖ Ἁλιμέδη, Πλησαύρη vulg. ‖ 5. κρατώ V et libri Aegii. ‖ Νημερτὴς Galeus ex Hes. 262. ‖ διάνειρα R^{abc} VM: Ἰάνειρα Heynius ex Hom. Iliad. 17, 47 et h. in Cer. 421. ‖ Πουλυνόη ed. pr., Πολυνόμη Heynius ex Hes. 258. ‖ 6. Μελίη vulg. ‖ Νησαίη Commelin. ex Hes. 249: ἰσαία M, cett. ἰσαίη. ‖ 7. Ἰόνη] Προνόη ex Hes. 261 Graevius, Ἠιόνη aut Ἰώνθη ex h. in Cer. 418 Heynius. ‖ 9. ἀρίτην P, cett. ἄρνιν et ἄργην. ‖ 10. τῆς] τοῦ libri. ‖ 20. γυναικὸς] θυγατρὸς libri nescio qui. ‖ 23. εἰς τὴν οἰκίαν αὐτοῦ] ἐκ τῆς οἰκίας Ἅιδου v. d. in Seeb. bibl. crit. 1. p. 890. ‖ 24. ἐπιγενέσθαι DR^{c}. ‖ 25. ὑπέστρεψεν R^{ab}V, vulg. ἐπέστρεψεν. ‖

τος ἠράσθη κατὰ μῆνιν Ἀφροδίτης· ὠνείδισε γὰρ αὐτῇ τὸν τοῦ Ἀδώνιδος ἔρωτα· συνελθοῦσα δὲ ἐγέννησεν ἐξ αὐτοῦ παῖδα Ὑάκινθον, οὗ Θάμυρις, ὁ Φιλάμμωνος καὶ Ἀργιόπης νύμφης, ἔσχεν ἔρωτα, πρῶτος ἀρξάμενος ἐρᾷν ἀρρένων. ἀλλ' Ὑάκινθον μὲν ὕστερον Ἀπόλλων ἐρώμενον ὄντα δίσκῳ βα- 5 λὼν ἄκων ἀπέκτεινε. Θάμυρις δὲ κάλλει διενεγκὼν καὶ κιθαρῳδίᾳ περὶ μουσικῆς ἤρισε Μούσαις, συνθέμενος, ἂν μὲν κρείττων εὑρεθῇ, πλησιάσειν πάσαις, ἐὰν δὲ ἡττηθῇ, στερηθήσεσθαι οὗ ἂν ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι καὶ τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας 10 ἐστέρησαν. 4. Εὐτέρπης δὲ καὶ ποταμοῦ Στρυμόνος Ῥῆσος, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινεν, ὡς δὲ ἔνιοι λέγουσιν, ὅτι Καλλιόπης ὑπῆρχεν. Θαλείας δὲ καὶ Ἀπόλλωνος ἐγένοντο Κορύβαντες, Μελπομένης δὲ καὶ Ἀχελῴου Σειρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν. 15

5. Ἥρα δὲ χωρὶς εὐνῆς ἐγέννησεν Ἥφαιστον, ὡς δὲ Ὅμηρος λέγει καὶ τοῦτον ἐκ Διὸς ἐγέννησε. ῥίπτει δὲ αὐτὸν ἐξ οὐρανοῦ Ζεὺς Ἥρᾳ δεθείσῃ βοηθοῦντα· ταύτην γὰρ ἐξεκρέμασε Ζεὺς ἐξ Ὀλύμπου χειμῶνα ἐπιπέμψασαν Ἡρακλεῖ, ὅτε Τροίαν ἑλὼν ἔπλει. πεσόντα δὲ Ἥφαιστον ἐν Λήμνῳ καὶ 20 πηρωθέντα τὰς βάσεις διέσωσε Θέτις.

6. Μίγνυται δὲ Ζεὺς Μήτιδι μεταβαλλούσῃ εἰς πολλὰς ἰδέας ὑπὲρ τοῦ μὴ συνελθεῖν, καὶ αὐτὴν γενομένην ἔγκυον καταπίνει φθάσας, ἐπείπερ ἔλεγε γεννήσειν παῖδα μετὰ τὴν μέλλουσαν ἐξ αὐτῆς γενέσθαι κόρην, ὃς οὐρανοῦ δυνά- 25 στης γενήσεται· τοῦτο φοβηθεὶς κατέπιεν αὐτήν. ὡς δὲ ὁ τῆς γενέσεως ἐνέστη χρόνος, πλήξαντος αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως ἢ καθάπερ ἄλλοι λέγουσι καὶ Ἡφαίστου,

3. Ὑάκινθον] Ὑμεναῖον Clavier, qui et deleri voluit ἀλλ' Ὑάκινθον — ἀπέκτεινε, item Lennep ad Coluth. 2, 9. ‖ ἀγριότης P. ‖ 7. ἔρισε V. ‖ 8. πλησιάσαι R^ab. ‖ στερηθήσεσθαι libri, στερηθῇ vulg. ‖ 10. γινόμεναι V. ‖ 12. ὅτι cum Fabro eliciendum aut legendum ἔνιοι δὲ λέγουσιν ὅτι censuit Heynius. ‖ 17. Iliad. 1, 578. ‖ 18. ὁ Ζεὺς VM. ‖ ἐκκρεμάσασα et ἐκκρεμάσας libri. ‖ 22. Μήτιδι] θέτιδι libri, θέμιδι quidam teste Commelino. ‖ 24. ἐλέγετο Galeus, ἔλεγε Γῇ Heynius, ἔμελλε Sommerus. ‖ μετὰ — κόρην pro glossa habuit Heynius. ‖ 27. γεννήσεως P, qui et om. ὁ et ἐνέστη. ‖ 28. λέγουσιν Ἡφαίστου aut ante ἢ καὶ καθάπερ Heynius. ‖

ἐκ κορυφῆς ἐπὶ ποταμοῦ· Τρίτωνος Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορε.

IV. 1. Τῶν δὲ Κοίου θυγατέρων Ἀστερία μὲν ὁμοιωθεῖσα ὄρτυγι ἑαυτὴν εἰς θάλασσαν ἔρριψε, φεύγουσα τὴν πρὸς Δίαν συνουσίαν (καὶ πόλις ἀπ' ἐκείνης Ἀστερία πρῶτον κληθεῖσα, ὕστερον δὲ Δῆλος), Λητὼ δὲ συνελθοῦσα Διὶ κατὰ τὴν γῆν ἅπασαν ὑφ' Ἥρας ἠλαύνετο, μέχρις εἰς Δῆλον ἐλθοῦσα γεννᾷ πρώτην Ἄρτεμιν, ὑφ' ἧς μαιωθεῖσα ὕστερον Ἀπόλλωνα ἐγέννησεν.

Ἄρτεμις μὲν οὖν τὰ περὶ θήραν ἀσκήσασα παρθένος ἔμεινεν, Ἀπόλλων δὲ τὴν μαντικὴν μαθὼν παρὰ τοῦ Πανὸς τοῦ Διὸς καὶ Ὕβρεως ἧκεν εἰς Δελφούς, χρησμῳδούσης τότε Θέμιδος. ὡς δὲ ὁ φρουρῶν τὸ μαντεῖον Πύθων ὕφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα, τοῦτον ἀνελὼν τὸ μαντεῖον παραλαμβάνει. κτείνει δὲ μετ' οὐ πολὺ καὶ Τιτυόν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς Ὀρχομενοῦ θυγατρὸς Ἐλάρης, ἣν Ζεὺς ἐπειδὴ συνῆλθε δείσας Ἥραν ὑπὸ γῆν ἔκρυψε, καὶ τὸν κυοφορηθέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν. οὗτος ἐρχόμενος εἰς Πυθώ, Λητὼ θεωρήσας πόθῳ κατασχεθεὶς ἐπισπᾶται, ἡ δὲ τοὺς παῖδας ἐπικαλεῖται, καὶ κατατοξεύουσιν αὐτόν. κολάζεται δὲ καὶ μετὰ θάνατον· γῦπες γὰρ αὐτοῦ τὴν καρδίαν ἐν Ἅιδου ἐσθίουσιν.

2. Ἀπέκτεινε δὲ Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα Μαρσύαν. οὗτος γὰρ εὑρὼν αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. συνθεμένων δὲ αὐτῶν, ἵνα ὁ νικήσας ὃ βούλεται διαθῇ τὸν ἡττημένον, τῆς κρίσεως γενομένης τὴν κιθάραν στρέψας ἠγωνίζετο ὁ Ἀπόλλων καὶ ταὐτὸ ποιεῖν ἐκέλευσε τὸν Μαρσύαν, τοῦ δὲ ἀδυνατοῦντος εὑρεθεὶς κρείσσων ὁ

1. ἐπὶ ποτ. Τρ. susp. Heynio. ‖ 5. πόλις] νῆσος Galeus, ἐπεπόλασεν Heynius. ‖ ἡ Ἀ. Heynius. ‖ 6. κλ. Ὀρτυγία ἐκαλεῖτο ὕστερον ex Hyg. fab. 53 et Schol. Lyc. 401 Galeus. ‖ δὲ] γὰρ Faber. ‖ 11. Πανὸς] πατρὸς libri, in Re lacuna adscripto λείπει. ‖ 12. ὕβρεως libri, legebatur Θύμβρεως. ‖ 15. δ' οὐ μετὰ πολὺ Rc. ‖ 16. ἐλάνης vel ἐλαίνης libri (ἐχάνης P1): Ἐλάρας Heynius, sed v. Mueller. Orchom. p. 190, 3. ‖ 19. πυθὼ DRabcMO, πυθῶ P, vulg. Πύθωνα. ‖ 20. καὶ] οἱ δὲ Heynius. ‖ 27. γινομένης Aegius. ‖ 28. αὐτὸ libri, corr. Commelin. ‖

Ἀπόλλων, κρεμάσας τὸν Μαρσύαν ἔκ τινος ὑπερτενοῦς πίτυος ἐκταμὼν τὸ δέρμα οὕτως διέφθειρεν.

3. Ὠρίωνα δὲ Ἄρτεμις ἀπέκτεινεν ἐν Δήλῳ. τοῦτον γηγενῆ λέγουσιν ὑπερμεγέθη τὸ σῶμα, Φερεκύδης δὲ αὐτὸν Ποσειδῶνος καὶ Εὐρυάλης λέγει. ἐδωρήσατο δὲ αὐτῷ Ποσειδῶν διαβαίνειν τὴν θάλασσαν. οὗτος μὲν ἔγημε Σίδην, ἣν ἔρριψεν εἰς Ἅιδου περὶ μορφῆς ἐρίσασαν Ἥρα. αὖθις δὲ ἐλθὼν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος ἐμνηστεύσατο, μεθύσας δὲ Οἰνοπίων αὐτὸν κοιμώμενον ἐτύφλωσε καὶ παρὰ τοῖς αἰγιαλοῖς ἔρριψεν. ὁ δὲ ἐπὶ τὸ χαλκεῖον ἐλθὼν καὶ ἁρπάσας παῖδα ἕνα, ἐπὶ τῶν ὤμων ἐπιθέμενος ἐκέλευσε ποδηγεῖν πρὸς τὰς ἀνατολάς, ἐκεῖ δὲ παραγενόμενος ἀνέβλεψεν, ἐκκαεὶς ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος, καὶ διὰ ταχέων ἐπὶ τὸν Οἰνοπίωνα ἔσπευδεν. ἀλλὰ τῷ μὲν Ποσειδῶν ἡφαιστότευκτον ὑπὸ γῆν κατεσκεύασεν οἶκον. 4. Ὠρίωνος δὲ Ἠὼς ἐρασθεῖσα ἥρπασε καὶ ἐκόμισεν εἰς Δῆλον· ἐποίει γὰρ αὐτὴν Ἀφροδίτη συνεχῶς ἐρᾷν, ὅτι Ἄρεϊ συνευνάσθη. 5. ὁ δὲ Ὠρίων ὡς μὲν ἔνιοι λέγουσιν ἀνῃρέθη δισκεύειν Ἄρτεμιν προκαλούμενος, ὡς δέ τινες βιαζόμενος Ὠπιν, μίαν τῶν ἐξ Ὑπερβορέων παραγενομένων παρθένων, ὑπ' Ἀρτέμιδος ἐτοξεύθη. 6. Ποσειδῶν δὲ Ἀμφιτρίτην τὴν Ὠκεανοῦ γαμεῖ, καὶ αὐτῷ γίνεται Τρίτων καὶ Ῥόδη, ἣν Ἥλιος ἔγημε.

V. 1. Πλούτων δὲ Περσεφόνης ἐρασθεὶς Διὸς συνεργοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δήμητρα δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει, μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρανόν. εἰκασθεῖσα δὲ γυναικὶ ἦκεν εἰς Ἐλευσῖνα, καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κλη-

4. Sturz Pherec. fr. p. 153. ‖ 10. excidisse nonnulla post ἐλθὼν putavit Heynius, velut εἰς Λῆμνον ἐπὶ τὸ χαλκεῖον Ἡφαίστου. ‖ 11. παῖδα ἕνα] Κηδαλίωνα Lennep. ad Phal. p. 267, παίδων ἕνα Wassenb. d. corr. nom. pr. p. 14; sed cf. Schaef. ad Long. p. 329. Jacobs ad Achill. Tat. p. 398. ‖ ὁδηγεῖν Lennep. ‖ 12. ἐκκαεὶς delendum aut ἐκκαεὶς τοὺς ὀφθαλμοὺς post ὁ δὲ v. 10. transponendum censuit Heynius. ‖ 14. ποσειδῶν R^{c}γ vulg. Ποσειδῶνι: elici voluit Heynius (Clavier etiam ἡφαιστότευκτον) et deinde scribi κατεσκεύασαν. ‖ 18. δίκων vel δίσκων Heynius, δίωτεύειν Jacobs. ‖ 26. ἑρμιονέων PDR^{abcm}, ἑμονέων libri Aegii, ἑρμηνέων vulg.: παρὰ μηνυτῶν Fab. ‖ 27. ὀργιζομένοις PR^{c}, ὀργιζομένης D. ‖

θεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιάσαι· διὰ τοῦτο ἐν τοῖς θεσμοφορίοις τὰς γυναῖκας σκώπτειν λέγουσιν. ὄντος δὲ τῇ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου, τοῦτο ἔτρεφεν ἡ Δημήτηρ παραλαβοῦσα, βουλομένη δὲ αὐτὸν ἀθάνατον ποιῆσαι τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ, καθ' ἡμέραν δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος, τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί, ἐπετήρησεν ἡ Μετάνειρα τί πράξει θεά. καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε, διόπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ αὐτὴν ἐξέφηνε. 2. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων δίφρον κατασκευάσασα πτηνῶν δρακόντων καὶ πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρε. Πανύασις δὲ Τριπτόλεμον Ἐλευσῖνος λέγει· φησὶ γὰρ Δήμητρα πρὸς αὐτὸν ἐλθεῖν. Φερεκύδης δέ φησιν αὐτὸν υἱὸν Ὠκεανοῦ καὶ Γῆς.

3. Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύσαντος ὁ Πλούτων, ἵνα μὴ πολὺν χρόνον παρὰ τῇ μητρὶ καταμείνῃ, ῥοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον, ἡ δὲ οὐ προειδομένη τὸ συμβησόμενον κατηνάλωσεν αὐτόν. καταμαρτυρήσαντος δὲ αὐτῆς Ἀσκαλάφου τοῦ Ἀχέροντος καὶ Γοργύρας, τούτῳ μὲν Δημήτηρ ἐν Ἅιδου βαρεῖαν ἐπέθηκε πέτραν, Περσεφόνη

1. περὶ PR^{abc}, ἐπὶ D. ‖ 4. καθέζεσθαι PR^{abc}M, καθίζεσθαι vulg. ‖ 5. τοῦτον libri. ‖ 6. τοῦ add. DR^{c}M. ‖ 7. ἔτρεφεν PR^{abc}VM, vulg. ἔτρεψεν: Heynius edidit ἔθρεψεν. ‖ 11. δημοφῶντος PR^{abc}O, δηφῶντος V, cett. δηιφῶντος, ut videtur. ‖ τὸ ὄνομα Heynius. ‖ ἐπετήρησεν ἡ libri, vulg. ἐπετήρησε. ‖ 12. Μετάνειρα τί πράξει θεά Aegius: πραξιθεά P, πραξιθεά cett.: τί πράττοι vel πράξοι θ. Faber, Coraes τί πράσσει ἡ θεά (cf. Schaef. ad Greg. p. 25), Heynius deleri voluit τί πράξει θεά. ‖ 15. Μετανείρας] πραξιθίας libri. ‖ 16. καὶ] τὸν Faber. ‖ 18. Δήμητραν vulg. ‖ 19. cf. Sturz. Pherec. fr. p. 153. ‖ αὐτὸν οὐρανοῦ ὠκεανοῦ PDR^{abc}: αὐτὸν υἱὸν Οὐρανοῦ Heynius. ‖ 22. τὸν λοιπὸν χρόνον Heynius. ‖ 24. συμμασόμενον PDR^{abc}, συμβασόμενον vel συμβησόμενον M, συμβασόμενον V, vulg. συμμασώμενον. ‖ 25. αὐτῆς] τοῦ V. ‖ γοργίας P. ‖

δὲ καθ' ἕκαστον ἐνιαυτὸν τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἠναγκάσθη μένειν, τὸ δὲ λοιπὸν παρὰ τοῖς θεοῖς. περὶ μὲν οὖν Δήμητρος ταῦτα λέγεται.

VI. 1. Γῆ δὲ περὶ Τιτάνων ἀγανακτοῦσα γεννᾷ Γίγαντας ἐξ Οὐρανοῦ, μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους, οἳ φοβεροὶ μὲν ταῖς ὄψεσι κατεφαίνοντο καθειμένοι βαθεῖαν κόμην ἐκ κεφαλῆς καὶ γενείων, εἶχον δὲ τὰς βάσεις φολίδας δρακόντων. ἐγένοντο δὲ ὡς μέν τινες λέγουσιν ἐν Φλέγραις, ὡς δὲ ἄλλοι ἐν Παλλήνῃ, ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. διέφερε δὲ πάντων Πορφυρίων τε καὶ Ἀλκυονεύς, ὃς δὴ καὶ ἀθάνατος ἦν ἐν ᾗπερ ἐγεννήθη γῇ μαχόμενος· οὗτος δὲ καὶ τὰς Ἡλίου βόας ἐξ Ἐρυθείας ἤλασε. τοῖς δὲ θεοῖς λόγιον ἦν, ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν. αἰσθομένη δὲ Γῆ τοῦτο ἐζήτει φάρμακον, ἵνα μηδ' ὑπὸ θνητοῦ δυνηθῶσιν ἀπολέσθαι. Ζεὺς δὲ ἀπειπὼν φαίνειν Ἠοῖ τε καὶ Σελήνῃ καὶ Ἡλίῳ τὸ μὲν φάρμακον αὐτὸς ἔταμε φθάσας, Ἡρακλέα δὲ σύμμαχον δι' Ἀθηνᾶς ἐπεκαλέσατο. κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα, αὐτὸς δὲ ἐπὶ τῆς γῆς μᾶλλον ἀνεθάλπετο· Ἀθηνᾶς δὲ ὑποθεμένης ἔξω τῆς Παλλήνης εἵλκυσεν αὐτόν. κἀκεῖνος μὲν οὕτω ἐτελεύτα. 2. Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ μάχην ἐφώρμησε καὶ Ἥρᾳ. Ζεὺς δὲ αὐτῷ πόθον Ἥρας ἐνέβαλεν, ἥτις καὶ καταρρηγνύντος αὐτοῦ τοὺς πέπλους καὶ βιάζεσθαι θέλοντος βοηθοὺς ἐπεκαλεῖτο· καὶ Διὸς κεραυνώσαντος αὐτὸν Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. τῶν δὲ λοιπῶν Ἀπόλλων μὲν Ἐφιάλτου τὸν ἀριστερὸν ἐτόξευσεν ὀφθαλμόν, Ἡρακλῆς δὲ τὸν δεξιόν, Εὔρυτον δὲ θυρσῷ Διόνυσος ἔκτεινε, Κλύτιον δέ, φασίν, Ἑκάτη, μᾶλλον δὲ Ἥφαιστος βαλὼν μύδροις. Ἀθηνᾶ δὲ Ἐγκελάδῳ φεύγοντι Σικελίαν ἐπέρριψε τὴν νῆσον, Πάλλαντος δὲ τὴν δορὰν ἐκτε-

6. ὄφεσι P. ‖ 7. καθήμενοι V. ‖ γενύων Faber. ‖ 8. φολιδωτὰς aut αἱ βάσεις voluit Heynius. ‖ 9. Πελλήνῃ vulg. ‖ 10. οὐρανοὺς vulg ‖ 20. αὐτὸς om. PR^{ab}: ὁ corr. Heynius, nisi mavis οὗτος. ‖ ἐπὶ] ὑπὸ Palmerius. ‖ 21. ἀθηνᾶ ὑποδραμοῦσα in mg. H. ‖ σελήνης libri, vulg. Πελλήνης. ‖ 24. καὶ om. V. ‖ 25. βόηθὸς vulg. ‖ 28. Εὔρυτον] Ῥοῖτον Bentl. ad Hor. od. 2. 19, 23. ‖ 29. Διόνυσος Faber: διὸς PDR^{abc}, cett. δριός. ‖ 30. Ἐγκελάδῳ Aegius: libri ἐν κεφάλῳ vel ἐγκεφάλῳ. ‖

μοῦσα ταύτῃ κατὰ τὴν μάχην τὸ ἴδιον ἐπέσκεπε σῶμα. Πολυβώτης δὲ διὰ τῆς θαλάσσης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος ἧκεν εἰς Κῶ, Ποσειδῶν δὲ τῆς νήσου μέρος ἀπορρήξας ἐπέρριψεν αὐτῷ τὸ λεγόμενον Νίσυρον. Ἑρμῆς δὲ τὴν Ἄϊδος κυ-
5 νέην ἔχων κατὰ τὴν μάχην Ἱππόλυτον ἀπέκτεινεν, Ἄρτεμις δὲ Γρατίωνα, Μοῖραι δὲ Ἄγριον καὶ Θόωνα χαλκέοις ῥοπάλοις μαχόμεναι. τοὺς δὲ ἄλλους κεραυνοῖς Ζεὺς βαλὼν διέφθειρε. πάντας δὲ Ἡρακλῆς ἀπολλυμένους ἐτόξευσεν.

3. Ὡς δὲ ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων, Γῆ μᾶλλον
10 χολωθεῖσα μίγνυται Ταρτάρῳ καὶ γεννᾷ Τυφῶνα ἐν Κιλικίᾳ μεμιγμένην ἔχοντα φύσιν ἀνδρὸς καὶ θηρίου. οὗτος μὲν καὶ μεγέθει καὶ δυνάμει πάντων διήνεγκεν, ὅσους ἐγέννησε Γῆ. ἦν δὲ αὐτῷ τὰ μὲν ἄχρι μηρῶν ἄπλετον μέγεθος ἀνδρόμορφον, ὥστε ὑπερέχειν μὲν πάντων τῶν ὀρῶν, ἡ δὲ κεφαλὴ
15 πολλάκις τῶν ἄστρων ἔψαυε, χεῖρας δὲ εἶχε τὴν μὲν ἐπὶ τὴν ἑσπέραν ἐκτεινομένην, τὴν δὲ ἐπὶ τὰς ἀνατολάς, ἐκ τούτων δὲ ἐξεῖχον ἑκατὸν κεφαλαὶ δρακόντων· τὰ δὲ ἀπὸ μηρῶν σπείρας εἶχεν ὑπερμεγέθεις ἐχιδνῶν, ὧν ὁλκοὶ πρὸς αὐτὴν ἐκτεινόμενοι κορυφὴν συριγμὸν πολὺν ἐξίεσαν. πᾶν δὲ αὐτοῦ
20 τὸ σῶμα κατεπτέρωτο, αὐχμηραὶ δὲ ἐκ κεφαλῆς καὶ γενείων τρίχες ἐξηνεμῶντο, πῦρ δὲ ἐδέρκετο τοῖς ὄμμασι. τοιοῦτος ὢν ὁ Τυφὼν καὶ τηλικοῦτος ἡμμένας βάλλων πέτρας ἐπ' αὐτὸν τὸν οὐρανὸν μετὰ συριγμῶν ὁμοῦ καὶ βοῆς ἐφέρετο, πολλὴ δὲ ἐκ τοῦ στόματος πυρὸς ἐξέβρασε ζάλη. θεοὶ δὲ ὡς
25 εἶδον αὐτὸν ἐπ' οὐρανὸν ὁρμώμενον εἰς Αἴγυπτον φυγάδες ἐφέροντο καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλλον εἰς ζῶα. Ζεὺς δὲ πόρρω μὲν ὄντα Τυφῶνα ἔβαλλε κεραυνοῖς, πλησίον δὲ γενόμενον ἀδαμαντίνῃ κατέπτησσεν ἅρπῃ καὶ φεύγοντα ἄχρι

1. πολυβότης P. ‖ 3. ἀπορρήξας DR[a]VOX, om. PR[be], vulg. διαρρήξας. ‖ ἀπέρριψεν R[abc]. ‖ 4. νήσουρον R[abc]VO, νήσιρον P. ‖ 6. Γρατίωνα] Ῥαιτίωνα Faber, Αἰγίωνα Galeus, Ἐλατίωνα vel Εἰλατίωνα Heynius. ‖ μοῖρα δ' R[abc]. ‖ 7. μαχόμεναι Heynius: μαχομένας PD, cett. μαχομένους. ‖ 10. Κιλικίᾳ Palmerius, vulg. Σικελίᾳ. ‖ 11. μιγνυμένην V. ‖ θηρίων Ruhnk. ad Tim. p. 260. ‖ 16. ἐκ τούτων — δρακόντων transponi voluit Visconti ap. Clav. post ἐξίεσαν. ‖ 21. ἐξηνεμῶντο PDR[abc]VM, legebatur ἐξηνεμοῦντο. ‖ 23. συριγμοῦ R[b]. ‖ 24. πολὺ V. ‖ 26. μετέβαλλον DR[abc]V, legebatur μετέβαλον. ‖ 27. ἔβαλλε idem, erat ἔβαλε. ‖ 28. κατέπτησεν libri; κατέπληξε Faber. ‖

τοῦ Κασίου ὄρους συνεδίωξε· τοῦτο δὲ ὑπέρκειται Συρίας. κεῖθι δὲ αὐτὸν κατατετρωμένον ἰδὼν εἰς χεῖρας συνέβαλε. Τυφὼν δὲ ταῖς σπείραις περιπλεχθεὶς κατέσχεν αὐτὸν καὶ τὴν ἅρπην περιελόμενος τά τε τῶν χειρῶν καὶ τῶν ποδῶν διέτεμε νεῦρα. ἀράμενος δὲ ἐπὶ τῶν ὤμων διεκόμισεν αὐτὸν διὰ τῆς θαλάσσης εἰς Κιλικίαν, καὶ παρελθὼν εἰς τὸ Κωρύκιον ἄντρον κατέθετο. ὁμοίως δὲ καὶ τὰ νεῦρα κρύψας ἄρκτου δορᾷ κεῖθι ἀπέθετο, καὶ κατέστησε Δελφύνην δράκαιναν· ἡμίθηρ δὲ ἦν αὕτη ἡ κόρη. Ἑρμῆς δὲ καὶ Αἰγίπαν ἐκκλέψαντες τὰ νεῦρα ἥρμοσαν τῷ Διὶ λαθόντες. Ζεὺς δὲ τὴν ἰδίαν ἀνακομισάμενος ἰσχὺν ἐξαίφνης ἐξ οὐρανοῦ ἐπὶ πτηνῶν ὀχούμενος ἵππων ἅρματι, βάλλων κεραυνοῖς ἐπ' ὄρος ἐδίωξε Τυφῶνα τὸ λεγόμενον Νύσσαν, ὅπου Μοῖραι αὐτὸν διωχθέντα ἠπάτησαν· πεισθεὶς γὰρ ὅτι ῥωσθήσεται μᾶλλον, ἐγεύσατο τῶν ἐφημέρων καρπῶν. διόπερ ἐπιδιωκόμενος αὖθις ἧκεν εἰς Θρᾴκην, καὶ μαχόμενος περὶ τὸν Αἶμον ὅλα ἔβαλεν ὄρη. τούτων δὲ ἐπ' αὐτὸν ὑπὸ τοῦ κεραυνοῦ πάλιν ὠθουμένων πολὺ ἐπὶ τοῦ ὄρους ἐξέκλυσεν αἷμα, καί φασιν ἐκ τούτου τὸ ὄρος κληθῆναι Αἷμον. φεύγειν δὲ ὁρμηθέντος αὐτοῦ διὰ τῆς Σικελικῆς θαλάσσης Ζεὺς ἐπέρριψεν Αἴτνην ὄρος ἐν Σικελίᾳ (τοῦτο δὲ ὑπερμέγεθές ἐστιν), ἐξ οὗ μέχρι δεῦρό φασιν ἀπὸ τῶν βληθέντων κεραυνῶν γίνεσθαι πυρὸς ἀναφυσήματα. ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λελέχθω.

VII. 1. Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ λάθρα Διὸς ἐν νάρθηκι κρύψας. ὡς δὲ ᾔσθετο Ζεὺς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο, καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτοῦ τοὺς λοβοὺς ἐνέμετο τῶν ἡπάτων αὐξανομένων διὰ

1. καυσίου PD et libri Aegil, καυκάσου R^abc O. ‖ 4. καὶ ποδῶν DR^abc M. ‖ 6. σικελίαν libri. ‖ κωρύβιον vel κορύβιον libri. ‖ 7. κρύφα V. ‖ 8. Δελφύνην] φύμην libri: φύλακα Δελφύνην Faber, Δελφίνην Brunck. ad Apollon. p. 82. ‖ 9. αἰγίπας DV. ‖ 11. ἐξ οὐρανοῦ susp. Fabro. ‖ 13. νύσσαν libri, legebatur Νύσαν. ‖ 14. γὰρ] δὲ V. ‖ 15. ἡμέρων vel ὡραίων Faber. ‖ 16. ἔβαλλεν D. ‖ 18. τοῦ ὄρους libri: τῷ ὄρει Aegius. ‖ 19. τοῦ ὄρους DV. ‖ 25. καὶ τὸ πῦρ Heynius. ‖ 28. δὴ DR^abc V, ceit. δὲ, et sic legebatur. ‖ 30. λοβοὺς αὐτῷ R^a. ‖

νυκτός. καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν τοῖς καθ' Ἡρακλέα δηλώσομεν.

2. Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. οὗτος βασι-
5 λεύων τῶν περὶ τὴν Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπι-
μηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα.
ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν γένος ἠθέλησεν, ὑποθε-
μένου Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ
ἐπιτήδεια ἐνθέμενος εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς
10 δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλ-
λάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους
ὀλίγων χωρίς, οἳ συνεφοίτων εἰς τὰ πλησίον ὑψηλὰ ὄρη.
τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη καὶ τὰ ἐκτὸς
Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχέθη πάντα. Δευκαλίων δὲ
15 ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα
καὶ νύκτας ἴσας τῷ Παρνασσῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων
παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμψας
Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι βούλεται, ὁ δὲ
αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. καὶ Διὸς εἰπόντος ὑπὲρ
20 κεφαλῆς αἴρων ἔβαλε λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων
ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα γυναῖκες. ὅθεν καὶ λαοὶ με-
ταφορικῶς ὠνομάσθησαν [ἀπὸ τοῦ λᾶας, ὁ λίθος].

Γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες, Ἕλλην μὲν
πρῶτος, ὃν ἐκ Διὸς γεγενῆσθαι λέγουσιν, Ἀμφικτύων [δὲ]
25 ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρω-
τογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος. 3. Ἕλληνος δὲ καὶ νύμ-
φης Ὀρσηίδος Δῶρος, Ξοῦθος, Αἴολος. αὐτὸς μὲν οὖν ἀφ'

1. μὲν] δὲ V. ‖ 5. τὸν — τόπον PRabcV. ‖ θίαν P. ‖ 7. τὸ χαλκοῦν ἤθελε γένος PDV. ‖ 9. εἰσέβη libri, vulg. ἀνέβη. ‖ 12. συνεφοίτων libri, erat συνέφυγον. ‖ 13. δὴ Ra. ‖ ἐντὸς P. ‖ 14. συνεχέθη libri, legebatur συνεχύθη: Commel. sic aut συνεχώσθη. cf. Lobeck. ad Phryn. p. 731. ‖ 15. ἐφ' om. DRabc. ‖ 17. θύει DRabcVM, ἐθύει P, vulg. ἔθυσε. ‖ 19. αἱρεῖται libri, vulg. αἰτεῖται, quod restituit Sommerus. ‖ 20. ἔβαλε λίθους V, cett. ἔβαλλε τοὺς λίθους. ‖ 21. μεταφορικῶς et ἀπὸ — λίθος pro glossa habuit Heyn. ‖ 23. πύρρας καὶ δευκαλίωνος P. ‖ 24. ἐκ Διὸς ἔνιοι γεγ. λέγουσι, δεύτερος δὲ Ἀμφικτύων ὁ vulg., sed nec ἔνιοι nec δεύτερος δὲ in libris est: itaque δὲ post Ἀμφ. adieci cum Heynio. ‖ 25. κραναὸν libri, vulg. Κραναοῦ. ‖ 27. ὀρσηίδος P: Ὀρειάδος Heynius. ‖ ἀπ' αὐτοῦ D. ‖

αὐτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν. καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται, Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους 5 ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε· καὶ γήμας Ἐναρέτην τὴν Δημάχου παῖδας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα, Σίσυφον, Ἀθάμαντα, Σαλμωνέα, Δηιόνα, Μάγνητα, Περιήρην, θυγατέρας δὲ πέντε, Κανάκην, Ἀλκυόνην, Πεισιδίκην, Καλύκην, Περιμήδην. 10

Περιμήδης μὲν οὖν καὶ Ἀχελῴου Ἱπποδάμας καὶ Ὀρέστης, Πεισιδίκης δὲ καὶ Μυρμιδόνος Ἄντιφος καὶ Ἄκτωρ. 4. Ἀλκυόνην δὲ Κῆυξ ἔγημεν Ἑωσφόρου παῖς. οὗτος δὲ δι' ὑπερηφάνειαν ἀπώλοντο· ὁ μὲν γὰρ τὴν γυναῖκα ἔλεγεν 15 Ἥραν, ἡ δὲ τὸν ἄνδρα Δία· Ζεὺς δὲ αὐτοὺς ἀπωρνέωσε καὶ τὴν μὲν ἀλκυόνα ἐποίησε, τὸν δὲ κήυκα. Κανάκη δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος Ὁπλέα καὶ Νηρέα καὶ Ἐπωπέα καὶ Ἀλωέα καὶ Τρίοπα. Ἀλωεὺς μὲν οὖν ἔγημεν Ἰφιμέδειαν τὴν Τρίοπος, ἥτις Ποσειδῶνος ἠράσθη καὶ συνεχῶς φοιτῶσα ἐπὶ 20 τὴν θάλασσαν χερσὶν ἀρυομένη τὰ κύματα τοῖς κόλποις ἐνεφόρει. συνελθὼν δὲ αὐτῇ Ποσειδῶν δύο ἐγέννησε παῖδας, Ὦτον καὶ Ἐφιάλτην, τοὺς Ἀλωείδας λεγομένους. οὗτοι κατ' ἐνιαυτὸν ηὔξανον πλάτος μὲν πηχυαῖον, μῆκος δὲ ὀργυιαῖον, ἐννέα δὲ ἐτῶν γενόμενοι καὶ τὸ μὲν πλάτος πηχῶν ἔχοντες 25 ἐννέα, τὸ δὲ μέγεθος ὀργυιῶν ἐννέα, πρὸς θεὸν μάχεσθαι διενοοῦντο, καὶ τὴν μὲν Ὄσσαν ἐπὶ τὸν Ὄλυμπον ἔθεσαν, ἐπὶ δὲ τὴν Ὄσσαν θέντες τὸ Πήλιον διὰ τῶν ὀρῶν τούτων ἠπείλουν εἰς οὐρανὸν ἀναβήσεσθαι, καὶ τὴν μὲν θάλασσαν χώσαντες τοῖς ὄρεσι ποιήσειν ἔλεγον ἤπειρον, τὴν δὲ γῆν θά- 30 λασσαν. ἐμνῶντο δὲ Ἐφιάλτης μὲν Ἥραν, Ὦτος δὲ Ἄρτεμιν. ἔδησαν δὲ καὶ Ἄρην. τοῦτον μὲν οὖν Ἑρμῆς ἐξέκλεψεν. ἀνεῖλε

1. τοὺς ὕστερον κεκλημένους H. ‖ 8. διμάχου P. ‖ 9. Κριθέα vulg., καὶ addit M. ‖ 10. κανάκην PDV, vulg. Κανάχην. ‖ 13. ἄκτων libri. ‖ 17. κανάχη libri. ‖ ἐγέννησεν Scaliger, ἐκύησεν Heynius: libri ἐποίησεν. ‖ 18. νίρεα καὶ ὁποπέα PV, νιρέα καὶ ὀπωπέα (hoc etiam D) Rc. ‖ 19. Τρίωπα vulg. ‖ 23. ἀλωάδας DRabcV X, ἀλωΐδας M et mox ἀλωάδας. ‖ 27. τοῦ ὀλύμπου PRc. ‖

δὲ τοὺς Ἀλωείδας ἐν Νάξῳ Ἄρτεμις δι' ἀπάτης· ἀλλάξασα γὰρ τὴν ἰδέαν εἰς ἔλαφον διὰ μέσου αὐτῶν ἐπήδησεν, οἱ δὲ βουλόμενοι εὐστοχῆσαι τὸ θηρίον ἐφ' ἑαυτοὺς ἠκόντισαν. 5. Καλύκης δὲ καὶ Ἀεθλίου παῖς Ἐνδυμίων γίνεται, ὅστις
5 ἐκ Θεσσαλίας Αἰολέας ἀγαγὼν Ἦλιν ᾤκισε. λέγουσι δὲ αὐτόν τινες ἐκ Διὸς γενέσθαι. τούτου κάλλει διενεγκόντος ἠράσθη Σελήνη. Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ βούλεται ἑλέσθαι, ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς ἀθάνατος καὶ ἀγήρως μένων. 6. Ἐνδυμίωνος δὲ καὶ Σηίδος νύμφης ἢ Νηίδος ἤ,
10 ὥς τινες, Ἰφιανάσσης Αἰτωλός, ὃς ἀποκτείνας Ἄπιν τὸν Φορωνέως καὶ φυγὼν εἰς τὴν Κουρήτιδα χώραν, κτείνας τοὺς ὑποδεξαμένους Φθίας καὶ Ἀπόλλωνος υἱοὺς Δῶρον καὶ Λαοδόκον καὶ Πολυποίτην, ἀφ' ἑαυτοῦ τὴν χώραν Αἰτωλίαν ἐπάλεσεν. 7. Αἰτωλοῦ δὲ καὶ Προνόης τῆς Φόρβου Πλευ-
15 ρῶν καὶ Καλυδῶν ἐγένετο, ἀφ' ὧν αἱ ἐν Αἰτωλίᾳ πόλεις ὠνομάσθησαν. Πλευρῶν μὲν οὖν γήμας Ξανθίππην τὴν Δώρου παῖδα ἐγέννησεν Ἀγήνορα, θυγατέρας δὲ Στερόπην καὶ Στρατονίκην καὶ Λαοφόντην. Καλυδῶνος δὲ καὶ Αἰολίας τῆς Ἀμυθάονος Ἐπικάστη [καὶ] Πρωτογένεια, ἐξ ἧς καὶ
20 Ἄρεος Ὄξυλος. Ἀγήνωρ δὲ ὁ Πλευρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε Πορθάονα καὶ Δημονίκην, ἧς καὶ Ἄρεος Εὔηνος, Μῶλος, Πύλος, Θέστιος. 8. Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν Ἀπόλλωνος μνηστευομένου Ἴδας ὁ Ἀφαρέως ἥρπασε, λαβὼν παρὰ Ποσειδῶνος ἅρμα ὑπόπτερον.
25 διώκων δὲ Εὔηνος ἐφ' ἅρματος ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμόν, καταλαβεῖν δὲ οὐ δυνάμενος τοὺς μὲν ἵππους ἀπέσφαξεν, ἑαυτὸν δὲ εἰς τὸν ποταμὸν ἔβαλε. καὶ καλεῖται Εὔηνος ὁ ποταμὸς παρ' ἐκείνου. 9. Ἴδας δὲ εἰς Μεσσήνην παραγίνεται, καὶ αὐτῷ ὁ Ἀπόλλων περιτυχὼν ἀφαιρεῖται τὴν
30 πόρην. μαχομένων δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς γάμων Ζεὺς διαλύσας ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ ἑλέσθαι ὁποτέρῳ

1. ἐν Νάξῳ Galeus, ἐν ἁμάξῳ VX, ἐν ἁμάξῳ D, vulg. ἐν ἁμάξῃ. ‖ 2. μέσων DR^abc. ‖ 3. τοῦ θηρίου Heynius. ‖ 9. Σηίδος νύμφης ἤ delevit Heynius, ἤ solum Clavier: νύμφης ἤ Νηίδος om. R^b. ‖ 13. ἐφ' V. ‖ 15. libri ἐγένετο, legebatur ἐγένοντο. ‖ 18. Λεοφόντην vulg. ‖ 19. καὶ ante Πρωτογένεια addidit Heynius. ‖ 24. ἀφάρεος PDR^abc. ‖ 27. ἐνέβαλε Heynius. ‖ 28. μεσήνην PDV. ‖ 29. αὐτῷ om. V. ‖ 30. τὸν — γάμον M. ‖

βούλεται συνοικεῖν, ἡ δὲ, δείσασα ὡς ἂν μὴ γηρῶσαν αὐτὴν Ἀπόλλων καταλίπῃ, τὸν Ἴδαν εἵλετο ἄνδρα. 10. Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο θυγατέρες μὲν Ἀλθαία, Λήδα, Ὑπερμνήστρα, ἄρρενες δὲ Ἴφικλος, Εὔιππος, Πλήξιππος, Εὐρύπυλος. Πορθάονος δὲ καὶ Εὐρύτης [τῆς] 5 Ἱπποδάμαντος ἐγένοντο παῖδες Οἰνεύς, Ἄγριος, Ἀλκάθοος, Μέλας, Λευκωπεύς, θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελῴου Σειρῆνας γενέσθαι λέγουσιν.

VIII. 1. Οἰνεὺς δὲ βασιλεύων Καλυδῶνος παρὰ Διονύσου φυτὸν ἀμπέλου πρῶτος ἔλαβε. γήμας δὲ Ἀλθαίαν τὴν 10 Θεστίου γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν ὑπερπηδήσαντα τὴν τάφρον, καὶ παρὰ τοῦτον Θυρέα καὶ Κλύμενον καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημε, καὶ Δηιάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεννῆσαι. αὐτὴ δὲ ἡνιόχει καὶ τὰ κατὰ πόλεμον ἤσκει. καὶ περὶ τῶν γάμων αὐτῆς Ἡρα- 15 κλῆς πρὸς Ἀχελῷον ἐπάλαισεν. 2. ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαγρον, ὃν ἐξ Ἄρεος γεγενῆσθαί φασι. τούτου δὲ ὄντος ἡμερῶν ἑπτὰ παραγενομένας τὰς Μοίρας φασὶν εἰπεῖν „τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ". τοῦτο ἀκούσασα τὸν δαλὸν ἀνεί- 20 λετο Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ ἀνὴρ ἄτρωτος καὶ γενναῖος γενόμενος τόνδε τὸν τρόπον ἐτελεύτησεν. ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομένων τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος ἐξελάθετο. μηνίσασα δὲ ἡ θεὸς κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, 25 ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. οἱ δὲ συνελθόντες ἐπὶ τὴν τοῦ κάπρου θήραν ἦσαν οἵδε· Μελέα- 30

1. βούλεσθαι V. ‖ γηρᾶσαν P. ‖ 3. Κλεοδαίου aut ἢ Κλεοβοίας Heynius. ‖ 5. πορθάονος PR^{abc}, vulg. Παρθάονος, et sic §. 7. ‖ τῆς adiecit Heynius. ‖ 10. πρῶτα R^{c}VM. ‖ 16. παῖδας libri. ‖ 18. φασὶν] φασὶ δὲ libri: malim δὲ ex ν ortum credere quam φασὶ δὲ delere cum Heynio: φασὶν ἀνελεῖν Faber. cf. Zenob. 5, 33. ‖ 19. τελευτήσειν M. ‖ 24. ἐπελάθετο Galeus. ‖ 28. συνεκάλεσε libri, vulg. ἐκάλεσε. ‖ κτείνοντι PR^{c}M. ‖ 29. τὸν] τὴν DR^{bc}. ‖

γρος Οἰνέως, Δρύας Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως ἐκ Μεσσήνης, Κάστωρ καὶ Πολυδεύκης Διὸς καὶ Λήδας ἐκ Λακεδαίμονος, Θησεὺς Αἰγέως ἐξ Ἀθηνῶν, Ἄδμητος Φέρητος ἐκ Φερῶν, Ἀγκαῖος καὶ Κηφεὺς Λυκ-
5 ούργου ἐξ Ἀρκαδίας, Ἰάσων Αἴσονος ἐξ Ἰωλκοῦ, Ἰφικλῆς Ἀμφιτρύωνος ἐκ Θηβῶν, Πειρίθοος Ἰξίονος ἐκ Λαρίσσης, Πηλεὺς Αἰακοῦ ἐκ Φθίας, Τελαμὼν Αἰακοῦ ἐκ Σαλαμῖνος, Εὐρυτίων Ἄκτορος ἐκ Φθίας, Ἀταλάντη Σχοινέως ἐξ Ἀρκαδίας, Ἀμφιάραος Οἰκλέους ἐξ Ἄργους. μετὰ τούτων καὶ
10 οἱ Θεστίου παῖδες. συνελθόντας δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε, τῇ δεκάτῃ δὲ, Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυγατέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάντης τεκνο-
15 ποιήσασθαι συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν θήραν μετὰ ταύτης ἐξιέναι. περιστάντων δὲ αὐτῶν τὸν κάπρον Ὑλεὺς μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθάρησαν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε, τὸν δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν
20 ὀφθαλμόν, Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες ἀδοξοῦντες, εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ δέρας αὐτῇ ἀφείλοντο, κατὰ γένος αὐτοῖς προσήκειν λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. 3. ὀρ-
25 γισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν. οἱ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι, ἀμφισβητούντων δὲ τοῦ θηρὸς τῶν Θεστίου παίδων,

1. Δρύας] γύμας O, cett. πύμας. ‖ ἄρεως PV. ‖ 2. λυγγεὺς P allique. ‖ ἀφαρέος D. ‖ 4. καὶ om. PR^cV: Κηφεὺς καὶ Ἀγκαῖος Λυκούργου ex Meziriaci corr. Clavier. ‖ 6. πειρίθοος P, cett. πειρίθους. ‖ 9. ἰοκλέους P cum aliis. ‖ 13. post ἔχων Sommerus addi voluit μέν. ‖ ἴδα libri, vulg. Ἴδου. ‖ 14. τέκνον ποιήσασθαι libri. ‖ 16. αὐτὸν DR^abc. ‖ πύλος libri: Ὑλεὺς Aegius, Ἰόλαος vel Κηφεὺς Galeus. ‖ 18. πηλεὺς P, πυλὸς D, γύλος O, πυλεὺς ed. pr. ‖ 19. ὦτα Pierson ad Moer. p. 267. ‖ 21. γέρας Commelin. ‖ 24. προαιρεῖτο V. ‖ 29. τῆς θήρας vulg. ‖ φασι, quod vulg. est post θηρός, om. P, ut videtur. ‖

ὡς Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδωνίοις πόλεμον ἐνστῆναι. ἐξελθόντος δὲ Μελεάγρου καί τινας τῶν Θεστίου παίδων φονεύσαντος, Ἀλθαίαν ἀράσασθαι κατ' αὐτοῦ, τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. ἤδη δὲ τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων καὶ τῶν πολιτῶν ἀξιούντων 5 μεθ' ἱκετηρίας βοηθεῖν, μόλις πεισθέντα ὑπὸ τῆς γυναικὸς ἐξελθεῖν, καὶ τοὺς λοιποὺς κτείναντα τῶν Θεστίου παίδων ἀποθανεῖν μαχόμενον. μετὰ δὲ τὸν Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεοπάτρα ἑαυτὰς ἀνήρτησαν, αἱ δὲ θρηνοῦσαι τὸν νεκρὸν γυναῖκες ἀπωρνεώθησαν. 10

4. Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω 15 τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι. 5. εἰσὶ δέ τινες οἱ λέγοντες, Ἱππόνουν ἐπιγνόντα τὴν ἰδίαν θυγατέρα ἐφθαρμένην ὑπὸ Οἰνέως ἔγκυον αὐτὴν πρὸς τοῦτον ἀποπέμψαι. ἐγεννήθη δὲ ἐκ ταύτης Οἰνεῖ Τυδεύς. Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ 20 τὴν βούλησιν Διὸς ἐρασθῆναι. Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα, Εὐρύαλον, Ὑπέρλαον, Ἀντιόχην, Εὐμήδην, Στέρνοπα, Ξάνθιππον, 25 Σθενέλαον, ὡς δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς Ἄργος ἧκε πρὸς Ἄδραστον, καὶ τὴν τούτου γήμας θυγατέρα Δηιπύλην ἐγέννησε Διομήδην. Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετὰ Ἀδράστου στρατευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν. 6. οἱ 30

9. ἀνήρπασαν libri praeter PR^{c}, qui ἀνήπασαν, sed R superscripto ρ, cui et adscriptum ἀνήρτησαν. ‖ 11. περιβίαν P. ‖ 13. cf. Marckscheffel Hes. fr. p. 310. ‖ 16. ἀποκτεῖναι Faber et Wessel. ad Diod. 4, 35: ἀποστεῖλαι libri, quod deleto ὄντα cum Sevino tuetur Clavier. ‖ 19. αὐτὴν vulg. ‖ 23. Ἀλκμαιωνίδα Bentl. ep. ad Mill. p. 468, libri ἀλκμαιονίδα. ‖ 25. Ὑπέρλαον] Πτερέλαον vel Περίλαον Heynius. ‖ Ἀντίοχον Faber. ‖ Στέροπα Heynius. ‖ 26. σθενέλαον libri, legebatur Σθένελον. ‖ 26. cf. Sturz. Pherec. fr. p. 156. ‖ 30. ὑπὲρ μεναλίππου P. ‖

δὲ Ἀγρίου παῖδες Θερσίτης, Ὀγχηστός, Πρόθοος, Κελεύτωρ, Λυκωπεύς, Μελάνιππος ἀφελόμενοι τὴν Οἰνέως βασιλείαν τῷ πατρὶ ἔδωκαν, καὶ προσέτι ζῶντα τὸν Οἰνέα καθείρξαντες ἠκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ Ἄργους παραγενόμενος μετ' ἄλλου κρύφα τοὺς μὲν Ἀγρίου παῖδας χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου πάντας ἀπέκτεινεν (οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόννησον ἔφυγον), τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως γήμαντι δέδωκε, τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν. οἱ δὲ διαφυγόντες Ἀγρίου παῖδες ἐνεδρεύσαντες περὶ τὴν Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν πρεσβύτην ἀπέκτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας ἔθαψεν, ἔνθα νῦν πόλις ἀπ' ἐκείνου Οἰνόη καλεῖται, καὶ γήμας Αἰγιάλειαν τὴν Ἀδράστου, ὡς [δὲ] ἔνιοί φασι τὴν Αἰγιαλέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.

IX. 1. Τῶν δὲ Αἰόλου παίδων Ἀθάμας, δυναστεύων Βοιωτίας, ἐκ Νεφέλης τεκνοῖ μὲν παῖδα Φρίξον, θυγατέρα δὲ Ἕλλην. αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν. λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον. γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου. διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν, ὡς εἴη κεχρησμένον παύσασθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας Ἀθάμας συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων τῷ βωμῷ παρέστησε Φρίξον, Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε, καὶ παρὰ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ τὴν μεταξὺ γῆν ὑπερέβησαν καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο κατὰ

1. θέρσιππος libri. ‖ πρόθος V. ‖ 3. ἔδωσαν DR^{b}, ἔδοσαν R^{c}. ‖ 5. ἄλλου] Ἀδράστου Faber, Εὐρυάλου Galeus ex Paus. 10. 10, 4, Ἀλκμαίωνος Heynius ex Strab. 7. p. 325 et 10. p. 462. ‖ 6. θαρσίτου P. ‖ 8. οἰνέω R^{abc}. ‖ 10. Τέλφουσσαν Galeus. ‖ 14. ὡς libri: ὡς δὲ vel ἢ ὡς Heynius. ‖ 16. Ἀθάμας μὲν Siebelis in comm. soc. phil. Lips. 2, 1. p. 99. ‖ βοιωτίας δυναστεύων R^{abc}V. ‖ 19. ἐγίνοντο PR^{c}. ‖ 20. φυγεῖν et mox πεφυρμένους V. ‖ 21. τῶν ἀνδρῶν om. R^{b}. ‖ 25. ἀκάρπειαν P. ‖ 29. χρυσόμηλον PR^{c}. ‖ 30. μεταξὺ susp. Heynio. ‖ ἐγένετο PR^{c}. ‖

τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὥλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη, κἀκεῖ θανούσης αὐτῆς ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε παῖς Ἡλίου καὶ Περσηίδος, ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης, ἣν Μίνως ἔγημεν. 5 οὗτος αὐτὸν ὑποδέχεται καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην δίδωσιν, ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει Φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δίδωσιν. ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει καθήλωσεν. ἐγένοντο δὲ ἐκ Χαλκιόπης Φρίξῳ παῖδες Ἄργος, Μέλας, Φρόντις, Κυτίσωρος. 2. Ἀθάμας δὲ 10 ὕστερον διὰ μῆνιν Ἥρας καὶ τῶν ἐξ Ἰνοῦς ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτόξευσε Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ' ἑαυτῆς εἰς πέλαγος ἔριψεν. ἐκπεσὼν δὲ τῆς Βοιωτίας ἐπυνθάνετο τοῦ θεοῦ, ποῦ κατοικήσει· χρησθέντος δὲ αὐτῷ κατοικεῖν ἐν ᾧπερ ἂν τόπῳ ὑπὸ ζώων ἀγρίων ξενισθῇ, πολ- 15 λὴν χώραν διελθὼν ἐνέτυχε λύκοις προβάτων μοίρας νεμομένοις, οἱ δὲ θεωρήσαντες αὐτὸν ἃ διηροῦντο ἀπολιπόντες ἔφυγον. Ἀθάμας δὲ κτίσας τὴν χώραν Ἀθαμαντίαν ἀφ' ἑαυτοῦ προσηγόρευσε, καὶ γήμας Θεμιστὼ τὴν Ὑψέως ἐγέννησε Λεύκωνα, Ἐρύθριον, Σχοινέα, Πτῶον. 20

3. Σίσυφος δὲ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν λεγομένην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος. ἐξ αὐτῶν παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης ἐξ Εὐρυμέδης ἐγεννήθη, ὃς ἔκτεινε τὴν πυρίπνουν Χίμαιραν. κολάζεται δὲ Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων 25 καὶ τοῦτον ὑπερβάλλειν θέλων, οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω. τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα Δία Ἀσωπῷ μηνύσαι ζητοῦντι λέγεται. 4. Δηιὼν δὲ

4. ἀλήτης et mox ἀλήτῃ P. ‖ ὧν om. PR^c. ‖ 5. ἀδελφὸς Scaliger et Ruhnk. ep. cr. p. 12: libri ἀδελφῆς. ‖ 8. δέρος R^abc. ‖ 9. τῆς Αἰήτου τέσσαρες, quod post Χαλκιόπης legebatur, videtur intulisse Aegius, om. libri. ‖ 10. φρόνης libri. ‖ κυτιασωρὸς libri, vulg. Κύτωρος: correctum est ex Apollon. 2, 1159 sq. ‖ 12. κλέαρχον P. ‖ 14. αὐτοῦ PR^abc. ‖ 16. μοίρας libri, legebatur μηροὺς. ‖ 20. Ἐρυθρόην vulg., corr. est ex Apoll. 2, 1147. ‖ Πτῶον Heynius ex Paus. 9. 23, 5, Πτόον Aegius: libri πτύον. ‖ 21. Αἰόλου deleri voluit Siebelis p. 100. ‖

βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν Ξούθου γαμεῖ, καὶ αὐτῷ γίνεται θυγάτηρ μὲν Ἀστερόπεια, παῖδες δὲ Αἰνετός, Ἄκτωρ, Φύλακος, Κέφαλος, ὃς γαμεῖ Πρόκριν τὴν Ἐρεχθέως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν ἁρπάζει ἐρασθεῖσα. 5. Πε-
5 ριήρης δὲ Μεσσήνην κατασχὼν Γοργοφόνην τὴν Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. πολλοὶ δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα, ἀλλὰ Κυνόρτα τοῦ Ἀμύκλα· διόπερ τὰ περὶ τῶν Περιήρου ἐκγόνων ἐν τῷ Ἀτλαντικῷ γένει
10 δηλώσομεν. 6. Μάγνης δὲ [Αἰόλου] γαμεῖ νύμφην Ναΐδα, καὶ γίνονται αὐτῷ παῖδες Πολυδέκτης καὶ Δίκτυς. οὗτοι Σέριφον ᾤκισαν. 7. Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν κατῴκει, παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν ἐκεῖ πόλιν ἔκτισεν. ὑβριστὴς δὲ ὢν καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων
15 διὰ τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία, καὶ τὰς ἐκείνου ἀφελόμενος θυσίας ἑαυτῷ προσέτασσε θύειν, καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν
20 κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας. 8. Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκιδίκης παρὰ Κρηθεῖ [τῷ Σαλμωνέως ἀδελφῷ] τρεφομένη ἔρωτα ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ, καὶ συνεχῶς ἐπὶ τὰ τούτου ῥεῖθρα φοιτῶσα τούτοις ἀπωδύρετο. Ποσειδῶν δὲ εἰκασθεὶς
25 Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ, ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν. ἐκκειμένων δὲ τῶν βρεφῶν, παριόντων ἱπποφορβῶν ἵππος μία προσαψαμένη τῇ χηλῇ θατέρου τῶν

1. Φθιώτιδος Galeus. ‖ 2. αὐτοῦ P alique. ‖ ἀστεροπία PV. ‖ ἀνετὸς P. ‖ 3. πρόκνην PDR^{abc}. ‖ 5. μεσήνην DVM. ‖ 6. καὶ T. — Ἰκάριος susp. Heynio. ‖ 8. κυνόρτου DVM. ‖ ἀμύκλου P. ‖ 10. δὲ] δὲ ὁ R^{c}. ‖ Αἰόλου deleri voluit Heynius. ‖ νηίδα, ut videtur, D. ‖ 11. πολυδεύκτης D, πολυδεύκης R^{abc}VM, πολυδεύκους P. ‖ 12. ᾤκησαν vulg. ‖ 13. θεσσαλίας M. ‖ περιγενόμενος PR^{abc}. ‖ 14. ᾤκησεν VM. ‖ 16. θυσίας ἀφελόμενος R^{abc}V. ‖ 17. ἐξηραμμένας PR^{abc}V, cett. ἐξῃρημένας. ‖ 21. ἀλκίκης P, ἀλκίδης VM. ‖ 22. κριθεῖ P alique. ‖ τῷ — ἀδελφῷ om. D R^{abc}VM: ex P nihil notatum est: f. add. Aegius ex Schol. Lyc. 175. ‖ τρεφομένη om. M. ‖ 23. ἴσχεν V. ‖ 24. ἐπωδύρετο Faber. ‖ 25. δὲ] δέ γε R^{abc}. ‖ 26. ἐγκειμένων libri. ‖ 27. θηλῇ libri. ‖

βρεφῶν πέλιόν τι τοῦ προσώπου μέρος ἐποίησεν, ὁ δὲ ἱπποφορβὸς ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν μὲν πελιωθέντα Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα καὶ τὴν μητρυιὰν ἀπέκτειναν· Σιδηρῷ· κακουμένην γὰρ γνόντες ὑπ' αὐτῆς τὴν μητέρα ὥρμησαν ἐπ' αὐτήν, ἡ δὲ φθάσασα εἰς τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ' αὐτῶν τῶν βωμῶν αὐτὴν κατέσφαξε. καὶ καθόλου διετέλει τὴν Ἥραν ἀτιμάζων. 9. ἐστασίασαν δὲ ὕστερον πρὸς ἀλλήλους, καὶ Νηλεὺς μὲν ἐκπεσὼν ἧκεν εἰς Μεσσήνην καὶ Πύλον κτίζει καὶ γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς αὐτῷ γίνεται θυγάτηρ μὲν Ἠρώ, ἄρρενες δὲ Ταῦρος καὶ Ἀστέριος, Πυλάων, Δημαχος, Εὐρύβιος, Ἐπίδαος, Ῥάδιος, Εὐρυμένης, Εὐαγόρας, Ἀλάστωρ, Νέστωρ, Περικλύμενος, ᾧ δὴ Ποσειδῶν δίδωσι μεταβάλλειν τὰς μορφάς· καὶ μαχόμενος, ὅτε Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινόμενος ὁτὲ μὲν λέων, ὁτὲ δὲ ὄφις, ὁτὲ δὲ μέλισσα, ὑφ' Ἡρακλέους μετὰ τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν. ἐσώθη δὲ Νέστωρ μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέφετο· ὃς γήμας Ἀναξιβοίαν τὴν Κρατιέως θυγατέρας μὲν Πεισιδίκην καὶ Πολυκάστην ἐγέννησε, παῖδας δὲ Περσέα, Στράτιχον, Ἄρητον, Ἐχέφρονα, Πεισίστρατον, Ἀντίλοχον, Θρασυμήδην. 10. Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει, καὶ γήμας Ἀναξιβοίαν τὴν Βίαντος, ὡς δὲ ἔνιοι λέγουσι, Φιλομάχην τὴν Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον, θυγατέρας δὲ Πεισιδίκην, Πελόπειαν, Ἱπποθόην, Ἄλκηστιν. 11. Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν γαμεῖ Τυρὼ τὴν Σαλμωνέως, ἐξ ἧς αὐτῷ γίνονται παῖδες Αἴσων, Ἀμυθάων, Φέρης. Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον Εἰδομένην γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας καὶ Μελάμπους. ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης πρὸ τῆς οἰκήσεως αὐτοῦ δρυός, ἐν ᾗ φωλεὸς ὄφεων

5. Σιδηρῷ Wessel. ad Diod. 4, 68: libri σιδηρῷ. ‖ 10. ἧκει Heynius. ‖ 12. cf. Schol. Apollon. 1, 156. ‖ 13. ἀλάστων P, ἀλάτωρ V. ‖ 15. ὅτε Ἡρακλῆς — ὁτὲ δὲ om. P. ‖ ἐξεπόρθει DR^abc V, vulg. ἐξεπόρθη. ‖ 19. ἀναξιβοίαν libri, erat Ἀναξιβίαν. ‖ τὴν Ἀτρέως Meziriac., τῆς Κατρέως Heynius. ‖ 20. Στράτιον Sommerus. ‖ 23. ἀνίβοιαν P, ἀνοιβίαν cett., erat Ἀναξιβίαν. ‖ 26. τὴν αὐτοῦ ἀδελφιδῆν, quod post Σαλμωνέως legebatur illatum ex Schol. Lycophr. 175 ab Aegio, ut videtur, om. libri. ‖ 28. πύλην libri. ‖ εἴδοι μένην libri. ‖

ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις, τὰ μὲν ἑρπετὰ ξύλα συμφορήσας ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων νεοσσοὺς ἔθρεψεν. οἱ δὲ γενόμενοι τέλειοι περιστάντες αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου τὰς ἀκοὰς ταῖς γλώσσαις ἐξεκάθαιρον, ὁ δὲ ἀναστὰς καὶ γενόμενος περιδεὴς τῶν ὑπερπετομένων ὀρνέων τὰς φωνὰς συνίει, καὶ παρ' ἐκείνων μανθάνων προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. προσέλαβε δὲ καὶ τὴν ἐπὶ τῶν ἱερῶν μαντικήν. περὶ δὲ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι τὸ λοιπὸν ἄριστος ἦν μάντις. 12. Βίας δὲ ὁ Ἀμυθάονος ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως. ὁ δὲ πολλῶν αὐτῷ μνηστευομένων τὴν θυγατέρα δώσειν ἔφη τῷ τὰς Φυλάκου βόας κομίσαντι αὐτῷ. αὗται δὲ ἦσαν ἐν Φυλάκῃ, καὶ κύων ἐφύλασσεν αὐτάς. ὧν οὔτε ἄνθρωπος οὔτε θηρίον πέλας ἐλθεῖν ἠδύνατο. ταύτας ἀδυνατῶν Βίας τὰς βόας κλέψαι παρεκάλει τὸν ἀδελφὸν συλλαβέσθαι. Μελάμπους δὲ ὑπέσχετο καὶ προεῖπεν, ὅτι φωραθήσεται κλέπτων, καὶ δεθεὶς ἐνιαυτὸν οὕτω τὰς βόας λήψεται. μετὰ δὲ τὴν ὑπόσχεσιν εἰς Φυλάκην ἀπῄει, καὶ καθάπερ προεῖπε φωραθεὶς ἐπὶ τῇ κλοπῇ δεσμοῖς ἐν οἰκήματι ἐφυλάσσετο. λειπομένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου τῶν κατὰ τὸ κρυφαῖον τῆς στέγης σκωλήκων ἀκούει, τοῦ μὲν ἐρωτῶντος πόσον ἤδη μέρος τοῦ δοκοῦ διαβέβρωται, τῶν δὲ ἀποκριναμένων λοιπὸν ἐλάχιστον εἶναι. καὶ ταχέως ἐκέλευσεν αὐτὸν εἰς ἕτερον οἴκημα μεταγαγεῖν, γενομένου δὲ τούτου μετ' οὐ πολὺ συνέπεσε τὸ οἴκημα. θαυμάσας δὲ Φύλακος καὶ μαθὼν ὅτι ἐστὶ μάντις ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν ὅπως αὐτοῦ τῷ παιδὶ Ἰφίκλῳ παῖδες γένωνται, ὁ δὲ ὑπέσχετο ἐφ' ᾧ τὰς βόας λήψεται. καὶ καταθύσας ταύρους δύο καὶ μελεΐσας τοὺς οἰωνοὺς προσεκα-

8. ἐπὶ] διὰ Piers. ad Moer. p. 281. ‖ ἱερῶν libri, vulg. ἱερείων. ‖ ἀδελφειὸν P. ‖ 10. ὁ Ἀμυθάονος susp. Heynio. ‖ 11. αὐτοῦ D. ‖ φυλάκου libri plurimi, φυλάκων $R^{b}V$ apposito o super ω, legebatur Ἰφίκλου: Galeus Ἰφίκλου τοῦ Φυλάκου. ‖ 12. φυλάκου M. ‖ 13. ὧν V, vulg. ὅν. ‖ οὔτε ἄνθρωπος om. P. ‖ 14. ἠδύνατο DR^{abc}, vulg. ἐδύνατο. ‖ ἀδύνατον ed. pr. ‖ τὰς βόας] βίᾳ V. ‖ 16. καὶ προεῖπεν] προεῖπε δὲ Heynius. ‖ 19. ἐφυλάσσετο PD, erat ἐφυλάττετο. ‖ 20. κρυφαῖον P R^{abc}; κορυφαῖον ed. pr. et Clavier, ὀροφαῖον Faber. ‖ 21. πόσον ἤδη μέρος P R^{abc}, vulg. πόσον μέρος ἤδη. ‖ 26. παῖδας $R^{abc}V$. ‖ 27. γένωνται $PR^{abc}V$, γένωνται D. ‖ 28. μελλείσας PR^{c}, μελίσσας $R^{b}V$. ‖

λέσατο· παραγενομένου δὲ αἰγυπιοῦ παρὰ τούτου μανθάνει δὴ ὅτι Φύλακός ποτε κριοὺς τέμνων ἐπὶ τῶν ἀγρῶν παρὰ τῷ Ἰφίκλῳ τὴν μάχαιραν ἠμαγμένην ἔτι κατέθετο, δείσαντος δὲ τοῦ παιδὸς καὶ φυγόντος αὖθις κατὰ τῆς ἱερᾶς δρυὸς αὐτὴν ἔπηξε, καὶ ταύτην ἀμφιτροχώσας ἐκάλυψεν ὁ φλοιός. 5 ἔλεγεν οὖν εὑρεθείσης τῆς μαχαίρας, εἰ ξύων τὸν ἰὸν ἐπὶ ἡμέρας δέκα Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεννήσειν. ταῦτα μαθὼν παρ' αἰγυπιοῦ Μελάμπους τὴν μὲν μάχαιραν εὗρε, τῷ δὲ Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ ἡμέρας δέκα δέδωκε πιεῖν, καὶ παῖς αὐτῷ Ποδάρκης ἐγένετο. τὰς δὲ βόας εἰς Πύλον ἤλασε, 10 καὶ τῷ ἀδελφῷ τὴν Νηλέως θυγατέρα λαβὼν ἔδωκε. καὶ μέχρι μέν τινος ἐν Μεσσήνῃ κατῴκει, ὡς δὲ τὰς ἐν Ἄργει γυναῖκας ἐξέμηνε Διόνυσος, ἐπὶ μέρει τῆς βασιλείας ἰασάμενος αὐτὰς ἐκεῖ μετὰ Βίαντος κατῴκησε. 13. Βίαντος δὲ καὶ Πηροῦς Ταλαός, οὗ καὶ Λυσιμάχης τῆς Ἄβαντος τοῦ Μελάμ- 15 ποδος Ἄδραστος, Παρθενοπαῖος, Πρώναξ, Μηκιστεύς, Ἀριστόμαχος, Ἐριφύλη, ἣν Ἀμφιάραος γαμεῖ. Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς μετὰ τῶν Ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη, Μηκιστέως δὲ Εὐρύαλος, ὃς ἧκεν εἰς Τροίαν, Πρώνακτος δὲ ἐγένετο Λυκοῦργος, Ἀδράστου δὲ καὶ Ἀμφι- 20 θέας τῆς Πρώνακτος θυγατέρες μὲν Ἀργεία, Δηιπύλη, Αἰγιάλεια, παῖδες δὲ Αἰγιαλεύς, Κυάνιππος.

14. Φέρης δὲ ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν οὖν περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς δὲ ἔνιοί φασιν 25 Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην, κληθέντα Ἀρχέμορον. 15. Ἀδμήτου δὲ βασιλεύοντος τῶν Φερῶν ἐθήτευσεν Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. ἐκείνῳ δὲ δώσειν ἐπαγγειλαμένου Πελίου τὴν θυγατέρα τῷ καταζεύξαντι ἅρμα λεόντων καὶ κάπρων, Ἀπόλλων ζεύξας 30 ἔδωκεν. ὁ δὲ κομίσας πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει. θύων δὲ ἐν τοῖς γάμοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο τὸν

2. ἀγρῶν] αἰβίων tres libri Aegii. ‖ περὶ PRabc. ‖ 6. ξύων RbV, vulg. ξύσων. ‖ 13. ὑπὸ vulg. ‖ 15. τῆς] τοῦ P aliique. ‖ 18. τῶν] τὴν PRc. ‖ 21. μὲν οἱ P. ‖ Ἀργία vulg., cf. 3. 6, 1, ‖ 22. παῖς δὲ Αἰγιαλεύς, οὗ Κυαν. Heynius. ‖ 23. κρεθέως libri. ‖ 29. ἐκείνου V, quod Πελίου omisso probat Heynius. ‖

θάλαμον ἀνοίξας εὗρε δρακόντων σπειράμασι πεπληρωμένον. Ἀπόλλων δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν θεόν, ᾐτήσατο παρὰ Μοιρῶν, ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾷν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται πα-
5 τὴρ ἢ μήτηρ ἢ γυνή. ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων Ἄλκηστις ὑπεραπέθανε. καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη, ὡς δὲ ἔνιοι λέγουσιν Ἡρακλῆς μαχεσάμενος Ἅιδῃ.

16. Αἴσσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐ-
10 τολύκου Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευσε μετὰ Κρηθέα. ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν ἄλλους
15 τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο, ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν. διαβαίνων δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσελθών,
20 τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. ὁ δὲ εἴτε ἐπελθὼν ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἂν φέρειν αὐτῷ. τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας
25 ἐλθεῖν ἐκέλευσεν αὐτόν. τοῦτο ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου. ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν

1. σπειράμασι Heynius, vulg. σπείραμα: cf. Schaef. ad Greg. p. 524. ‖ πεπληρωμένον libri, vulg. πεπληρωμένων: Faber πεπιλωμένων, Sommerus πεπλεγμένον, Clavier συμπεπλεγμένων. ‖ 2. περὶ vulg. ‖ 3. μέλλῃ libri, vulg. μέλλει. ‖ 4. πατὴρ — γυνή susp. Heynio. ‖ 7. ὑπεραπέθανε libri, vulg. ὑπὲρ αὐτοῦ ἀπέθανε. ‖ 14. θυσίας libri. ‖ 17. ἄναββρον P. ‖ 19. συμβάλλων Aegius. ‖ 21. ἐπελθὼν RbVMX, ἐπελθὼν PRc, vulg. ἐπῆλθεν. ‖ 22. ἵν' — Πελίᾳ ex mg. inserta credidit Mitscherl. ep. cr. p. 8. ‖ ἔλθῃ Rb. ‖ μηδεῖ D, μήδει Rabc, μηδὲς V, μηδὲν ed. pr. ‖ 23. δέρος libri nescio qui, δέξας libri Aegii. ‖ 24. ἀναφέρειν ed. pr. ‖ 27. τούτῳ Ra. ‖ τὸν Φρίξου susp. Heynio. ‖

κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ, κατὰ δὲ τὴν πρώραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, καὶ χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. οἱ δὲ συναθροισθέντες εἰσὶν 5 οἵδε· Τίφυς Ἀγνίου, τὴν ναῦν ὃς ἐκυβέρνα, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κάλαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Οἰκλέους, Καινεὺς Κορώνου, Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ, Κη- 10 φεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεισίου, Αὐτόλυκος Ἑρμοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ Ἱππάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυτος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου, Εὔφημος Ποσειδῶνος, Ποίας Θαυμάκου, Βούτης Τελέοντος, Φάνος καὶ Στάφυλος 15 Διονύσου, Ἐργῖνος Ποσειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφικλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως, Πηνέλεως Ἱππάλμου, Λήιτος Ἀλέκτορος, Ἴφιτος Ναυβόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἀστέριος Κομήτου, Πολύφημος Ἐλάτου. 17. οὗτοι ναυαρχοῦντος Ἰάσο- 20 νος ἀναχθέντες προσίσχουσι Λήμνῳ. ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος δι' αἰτίαν τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων, ἡ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες αἰχμαλω- 25 τίδας συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ αἱ Λήμνιαι τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι, μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα Θόαντα. προσσχόντες οὖν

2. φωνῇ vulg. ‖ 3. ἡ om. P. ‖ 4. καὶ susp. Heynio. ‖ αὐτῷ inserunt R^{abc}VM, αὐτὰ D. ‖ ἀπέτρεψε idem. ‖ 6. ἀγρίου libri. ‖ τὴν ναῦν ὃς ἐκυβέρνα libri: ὃς ἐκυβέρνα τὴν ναῦν Heynius. ‖ 8. αἰγεὺς θησέως libri. ‖ 9. ἰοκλέους libri. ‖ 10. Καινέως Κόρωνος ex Apollon. 1, 57 Aegius, inverso ordine Clavier. ‖ 11. ἀκεισίου libri. ‖ 15. Φυλάκου Burmann. in Valer. Fl. ‖ Φάνος] Φλίας ex Apoll. Rhod. 1, 115 Hemsterh. ‖ 16. Ἐργῖνος] Εὔφημος Galeus. ‖ μηλέως V et libri Aegii, μνηλέως P. ‖ 17. Ἠλείου ex Paus. 5. 1, 9 Galeus. ‖ 18. Ἱππαλκίμου et Ἠλεκτρύονος v. Ἀλεκτρύονος Wessel. ad Diod. 4, 67. ‖ ἔρητος R^{c}, Ἴριτος vulg. ‖ 19. Ἄλμενος vulg. ‖ ἀστεάριος VM. ‖ 21. ἀνενεχθέντος vulg. ‖ 22. ποτε vulg. ‖

τότε γυναικοκρατουμένῃ τῇ Λήμνῳ μίσγονται ταῖς γυναιξίν, Ὑψιπύλῃ δὲ Ἰάσονι συνευνάζεται καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον. 18. ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσι, ὧν ἐβασίλευε Κύζικος. οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. νυκτὸς [δὲ] ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις, ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν. οἱ δὲ νομίζοντες Πελασγικὸν εἶναι στρατόν (ἔτυχον γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι), μάχην τῆς νυκτὸς συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκείραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν. καὶ μετὰ τὴν ταφὴν πλεύσαντες Μυσίᾳ προσίσχουσιν. 19. ἐνταῦθα δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον. Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμενος, ἀποσταλεὶς ὑδρεύσασθαι διὰ κάλλος ὑπὸ Νυμφῶν ἡρπάγη. Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοήσαντος, σπασάμενος τὸ ξίφος ἐδίωξεν ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων, καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. ζητούντων δὲ ἀμφοτέρων τὸν Ὕλαν ἡ ναῦς ἀνήχθη. καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτίσας πόλιν Κίου ἐβασίλευσεν, Ἡρακλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος δὲ αὐτὸν οὐδὲ τὴν ἀρχὴν φησι πλεῦσαι τότε, ἀλλὰ παρ' Ὀμφάλῃ δουλεύειν· Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφέταις τῆς Θεσσαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης μὴ δύνασθαι φέρειν τούτου τὸ βάρος· Δημάρατος δὲ αὐτὸν εἰς Κόλχους πεπλευκότα παρέδωκε· Διονύσιος μὲν γὰρ αὐτὸν καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν γενέσθαι. 20. ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς ἐβασίλευσεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος. γενναῖος δὲ ὢν οὗ-

2. εὔνηον DR^{abc}, vulg. Εὔηνον. ‖ 3. νευροφόρον R^{b}. ‖ δολίοις libri. ‖ 5. δὲ excidisse vidit Heynius. ‖ 7. πελαστικὸν et πλαστικὸν libri. ‖ ἔτυχον] εἴθισαν ex libris notat Aegius. ‖ πελαστῶν libri. ‖ εἶναι στρανάπτουσιν omissis mediis R^{c}. ‖ 10. τὸν vel αὐτὸν τὸν Κύζικον Heynius. ‖ 11. ἀποδυράμενοι PDR^{abc}V, legebatur ἀποδυρόμενοι. ‖ 13. ἐνταῦθατε DR^{abc}VM, legebatur ἐνταῦθα. ‖ 20. ἡρόδοτος libri. ‖ 22. cf. Sturz. Pherec. fr. p. 169. ‖ 24. τούτου τὸ PR^{abc}, erat τὸ τούτου. ‖ δημαρέτης libri. ‖ 27. ἀπῆλθεν libri. ‖ ἣν ἐβούλευσεν PR^{c}: ἧς ἐβασίλευεν Faber. ‖ 28. post Βιθυνίδος excidisse νύμφης vel Μελίης ex Apollon. 2, 5 collegit Heynius. ‖

τος τοὺς προσσχόντας ξένους ἠνάγκαζε πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προυκαλεῖτο, Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύσειν πρὸς αὐτὸν πλήξας κατὰ τὸν αὐχένα ἀπέκτεινε. τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτὸν 5 ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν. 21. ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τῆς Θρᾴκης Σαλμυδησσόν. ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις πεπηρωμένος. τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν. καὶ πηρωθῆναί φασιν αὐτὸν οἱ μὲν ὑπὸ 10 θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί. πτερωταὶ δὲ 15 ἦσαν αὗται, καὶ ἐπειδὰν τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐ- 20 τὸν ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἁρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπαζον. θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. ἦν δὲ ταῖς Ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέου 25 παίδων, τοῖς δὲ Βορέου παισὶ τότε τελευτήσειν, ὅταν διώκοντες μὴ καταλάβωσι. διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν· ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ 30 ἔνιοι Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κα-

3. προσεκαλεῖτο vulg. ‖ 4. αὐχένα Palmerius: libri ἀγκῶνα. ‖ 6. οὐ φεύγοντας Siebelis p. 100. ‖ 7. τῆς P allique, legebatur τὴν. ‖ 12. Βορεαδῶν Clavier. ‖ 24. ἀέρος DR^{abc}MX, ἀέρων P, ἀέρα vulg. ‖ 26. τελευτήσει R^{b}. ‖ ὅταν R^{ac}, ὅτ' ἂν R^{b}, legebatur ὅτε ἂν. ‖ 27. κατὰ Πελοπόννησον susp. Heynio. ‖ 31. Ἡσίοδος — Ὠκυπόδην deleri voluit idem: cf. Muetzell d. em. Theog. p. 445. Marckscheffel Hes. fr. p. 304. ‖ κατὰ] παρὰ Faber ‖

τὰ τὴν Προποντίδα φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γὰρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠιόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος δὲ ἐν τοῖς Ἀργο-
5 ναύταις ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι καὶ μηδὲν παθεῖν, δούσας ὅρκον τὸν Φινέα μηκέτι ἀδικῆσαι. 22. ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. ἦσαν δὲ ὑπερμεγέθεις αὗται,
10 συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. ἐφέρετο δὲ πολλὴ μὲν ὑπ' αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν,
15 διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι. ταῦτα ἀνήγοντο ἀκούσαντες, καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρώρας πελειάδα· τῆς δὲ ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' εἰρε-
20 σίας ἐντόνου συλλαβομένης Ἥρας διῆλθον τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης. αἱ μὲν οὖν Συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς νηὸς περαιωθείσης στῆναι παντελῶς. 23. οἱ δὲ Ἀργοναῦται πρὸς Μαριανδυνοὺς παρεγένοντο, κἀκεῖ φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο Λύ-
25 κος. ἔνθα θνήσκει μὲν Ἴδμων ὁ μάντις πλήξαντος αὐτὸν κάπρου, θνήσκει δὲ καὶ Τῖφυς, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυβερνᾷν. παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον. οὗτος τῆς Κολχικῆς ἐστι γῆς. καθορμισθείσης δὲ τῆς νηὸς ἧκε καὶ πρὸς Αἰήτην Ἰά-
30 σων, καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ, ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας

3. ταύτης P. ‖ ἠιόνια P : κ. τὸ Ἰόνιον Heynius. ‖ 4. Apoll. Arg. 2, 284. ‖ 9. τῶν κατὰ θάλασσαν deleri voluit Faber. ‖ 13. πετηνοῖς ed. pr. ‖ 15. καταφοροῦντας J. ‖ ἀπολλυμένην PDR^{abc}, ἀπολυμένην ed. pr. ‖ 23. μαριανδηνοὺς libri. ‖ 29. καθορμισθείσης PDR^{abc}VO, vulg. καθορμηθείσης. ‖ καὶ post ἧκε abesse maluit Heynius. ‖ 31. ὁ δὲ Heynius, vulg. ὃ. ‖ ὑπισχεῖται M. ‖

ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἱ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. τούτους αὐτῷ ζεύξαντι ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις ὧν Κάδμος ἔσπειρεν 5 ἐν Θήβαις. ἀποροῦντος δὲ τοῦ Ἰάσονος πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει. ἦν δὲ αὕτη θυγάτηρ Αἰήτου καὶ Εἰδυίας τῆς Ὠκεανοῦ, φάρμακίς. δεδοικυῖα δὲ μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο, καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμώσῃ αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. ὀμόσαντος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γάρ χρισθέντα ἔφη πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι μήτε ὑπὸ σιδήρου. ἐδήλωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν, ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεῶ ἄλσος ἐμάστευε τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι, ὁ δὲ ὅπου πλείονας ἑώρα βάλλων ἀφανεῖς λίθους, πρὸς αὐτοὺς μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. καὶ καταζευγνυμένων τῶν ταύρων οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε, καὶ τὸν φυ-

1. ἄγριοι et οὗτοι deleri voluit Heynius. ‖ αὐτῶν vulg. ‖ 3. τούτους R^{b}, cett. τούτοις. ‖ 4. ἐπετάξατο Faber, ἐπέτασσε Heynius. ‖ 7. ἔχει D. ‖ 8. καὶ εἰδυῖα τοῖς ὠκεανοῦ φαρμάκοις libri: legebatur Ἰδυίας. ‖ 11. ἐγχειριεῖ DR^{c}. ‖ 13. μέλλοντα τοὺς libri, vulg. τοὺς μέλλοντα. ‖ 14. χρίσθαι P, χρῆσαι libri Aegii. ‖ 18. ἃς DM. ‖ ἐπειδὴ PD. ‖ ἀθρόως libri. ‖ 19. βάλλῃ libri et sic legebatur, βάλῃ ed. pr. ‖ λίθοις m. pr. V. ‖ 23. σπείραντος Heynius. ‖ ἀνέτελον libri. ‖ 25. ἀφανῶς aut ἐξ ἀφανοῦς cum Fabro Heynius, ἀφανὴς Clavier et Siebelis p. 100. ‖ 26. καὶ κατ.] κατεζευγμένων δὲ cum Fabro Heynius. ‖

λάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργὼ παρεγένετο. συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν. 24. Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμη-
5 μένα ὥρμησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια τὸν ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησε. διόπερ ὑποστρέψας καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας τὸν τόπον προσηγόρευσε Τόμους. πολλοὺς
10 δὲ τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς Ἀργοῦς ἐξέπεμψεν ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ ἐκείνης. οἱ δὲ διασχεθέντες ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο. τοῖς Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη παραπλέουσι μηνίσας δὲ Ζεὺς ὑπὲρ τοῦ φονευθέντος Ἀψύρτου χειμῶνα λά-
15 βρον ἐπιπέμψας ἐμβάλλει πλάνην. καὶ αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς φθέγγεται, μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, εἰ μὴ πορευθέντες εἰς τὴν Αὐσονίαν τὸν Ἀψύρτου φόνον καθαρθῶσιν ὑπὸ Κίρκης. οἱ δὲ παραπλεύσαντες τὰ Λιγύων καὶ Κελτῶν ἔθνη καὶ διὰ τοῦ Σαρδονίου πελά-
20 γους κομισθέντες, παραμειψάμενοι Τυρρηνίαν ἦλθον εἰς Αἰαίαν. ἔνθα Κίρκῃ ἱκέται γενόμενοι καθαίρονται. 25. παραπλεόντων δὲ Σειρῆνας αὐτῶν Ὀρφεὺς τὴν ἐναντίαν μοῦσαν μελῳδῶν τοὺς Ἀργοναύτας κατέσχε. μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτάς, ὃν ἁρπάσασα Ἀφροδίτη ἐν Λιλυβαίῳ
25 κατῴκισε. μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο καὶ Σκύλλα καὶ Πέτραι Πλαγκταί, ὑπὲρ ὧν φλὸξ πολλὴ καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. ἀλλὰ διὰ τούτων διεκόμισε τὴν ναῦν σὺν Νηρηΐσι Θέτις παρακληθεῖσα ὑπὸ Ἥρας.

1. κατακοιμίσασα R^{abc}, vulg. κατακοιμήσασα. ‖ 3. μετὰ τούτων νυκτὸς V. ‖ 6. μελεΐσασα Faber. ‖ κ. τοῦ βυθοῦ idem. ‖ 9. βάψας PDR^{c}VM. ‖ 11. εἰ μηδείαν ἕξουσι PR^{bc}. ‖ 12. σχεθέντες PDR^{abc}VX: διασκεδασθέντες vel διασχισθέντες vel διαχυθέντες Faber et Galeus. ‖ 14. δὲ post τοῖς v. 12 transtulit Heynius. ‖ 15. συρτίδας libri. ‖ 16. περιπλεόντων P aliique. ‖ 17. ἐὰν Sommerus. ‖ 19. λιβύων libri. ‖ Σαρδωνίου vulg. ‖ 20. αἴην PDX et in litura αἴ-ην R^{c}, αἰαιήνην V. ‖ 21. κίρκης PDR^{abc}V. ‖ 22. τὴν delevit Siebelis p. 100. ‖ 24. λυβαίῳ libri. ‖ 25. κατῴκησε ed. pr. ‖ ἐδέχετο V. ‖ 26. πέτραι κυάνεαι πλαγκταί libri. ‖ 28. νηρηΐσι PD R^{abc}, cett. νηρεῖσι, ut videtur. ‖ Θέτις om. DR^{bc}. ‖ περικληθεῖσα P. ‖

παραμειψάμενοι δὲ Θρινακίαν νῆσον Ἡλίου βοῦς ἔχουσαν εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἦκον, ἧς βασιλεὺς ἦν Ἀλκίνοος. τῶν δὲ Κόλχων τὴν ναῦν εὑρεῖν μὴ δυναμένων οἱ μὲν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν, οἱ δὲ εἰς τὴν Ἰλλυρίδα κομισθέντες ἔκτισαν Ἀψυρτίδας νήσους, ἔνιοι δὲ πρὸς Φαίακας ἐλθόντες τὴν Ἀργὼ κατέλαβον καὶ τὴν Μήδειαν ἀπῄτουν παρὰ Ἀλκινόου. ὁ δὲ εἶπεν, εἰ μὲν ἤδη συνελήλυθεν Ἰάσονι, δώσειν αὐτὴν ἐκείνῳ, εἰ δὲ ἔτι παρθένος ἐστί, τῷ πατρὶ ἀναπέμψειν. Ἀρήτη δὲ ἡ Ἀλκινόου γυνὴ φθάσασα Μήδειαν Ἰάσονι συνέζευξεν. 26. ὅθεν οἱ μὲν Κόλχοι μετὰ Φαιάκων κατῴκησαν, οἱ δὲ Ἀργοναῦται μετὰ τῆς Μηδείας ἀνήχθησαν. πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειράς, τοξεύσας τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. ἱδρυσάμενοι δὲ βωμὸν Ἀπόλλωνος Αἰγλήτου καὶ θυσιάσαντες ἐπ' εὐωχίαν ἐτράπησαν. δοθεῖσαι δὲ ὑπὸ Ἀρήτης Μηδείᾳ δώδεκα θεράπαιναι τοὺς ἀριστέας ἔσκωπτον μετὰ παιγνίας, ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ σύνηθές ἐστι σκώπτειν [ταῖς] γυναιξίν. ἐντεῦθεν ἀναχθέντες κωλύονται Κρήτῃ προσίσχειν ὑπὸ Τάλω. τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέγουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι, ὃς ἦν χαλκοῦς ἀνήρ, οἱ δὲ Ταῦρον αὐτὸν λέγουσιν. εἶχε δὲ φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν, κατὰ δὲ τὸ δέρμα τῆς φλεβὸς ἦλος διήρειστο χαλκοῦς. οὗτος ὁ Τάλως τρὶς ἑκάστης ἡμέρας τὴν νῆσον πε-

3. κόλχων libri, vulg. Κολχικῶν. ‖ 4. libri κερκυραίοις et κερκυρέοις. ‖ Ἰλλυρίδα Galeus ex Schol. Lyc. 175 et Apoll. 4, 513: libri ἁλμυρίδα. ‖ 8. δώσειν PD Rabc, cett. οὐ δώσειν, quod restitui Sommerus voluit: οὐ δώσειν αὐτὴν ἐκείνοις Faber et Galeus. ‖ δὲ ἔτι V, δέ τι PD, δ' ἔτι Rabc, cett. om. ἔτι. ‖ 9. ἀναπέμψειν Sommerus, vulg. ἀντιπέμψειν, Heynius ἀνταποπέμψειν aut ἀποπέμψειν. ‖ 10. κόλχοι PRabc, vulg. Κολχικοί. ‖ 13. τὰς μενοιτίου δειρὰς DRabVMO, τὰς μ. δόρας PRc, vulg. τὴν Μενοιτίου δειρὰν. ‖ 14. κατήστραψεν Galeus ex Apoll. 4, 1710: libri κατέστρεψεν. ‖ 15. τῷ δὲ] τότε Siebelis p. 100. ‖ 17. αἰγαίου libri: αἰγλαίου Aegius. ‖ 20. ταῖς addidit Galeus. ‖ 23. ὃς — ἀνὴρ ex mg. illata putavit Heynius. ‖ Ταῦρον] οὖρον Mitscherl. ep. cr. p. 9. ‖ 25. τέρμα ex Fabri coni. Clavier. ‖ διήρειστο Scaliger ex Zenob. 5, 85: διηρήσθω Rb, vulg. διήριστο. ‖ 26. τάλος libri. ‖

ριτροχάζων ἐτήρει. διὸ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν θεωρῶν [τοῖς] λίθοις ἔβαλλεν. ἐξαπατηθεὶς δὲ ὑπὸ Μηδείας ἀπέθανεν, ὡς μὲν ἔνιοι λέγουσι, διὰ φαρμάκων αὐτῷ μανίαν Μηδείας ἐμβαλούσης, ὡς δέ τινες, ὑποσχομένης ποιήσειν
5 ἀθάνατον αὐτὸν καὶ τὸν ἥλιον ἐξελούσης, ἐκρυέντος τοῦ παντὸς ἰχῶρος ἀποθανεῖν· τινὲς δὲ αὐτὸν τοξευθέντα ὑπὸ Ποίαντος εἰς τὸ σφυρὸν τελευτῆσαι λέγουσι. μίαν δὲ ἐνταῦθα νύκτα μείναντες Αἰγίνῃ προσίσχουσιν ὑδρεύσασθαι θέλοντες, καὶ γίνεται περὶ τῆς ὑδρείας αὐτοῖς ἅμιλλα. ἐκεῖθεν δὲ
10 διὰ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πλεύσαντες εἰς Ἰωλκὸν ἦλθον, τὸν πάντα πλοῦν ἐν τέσσαρσι μησὶ τελειώσαντες.

27. Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν τὸν Αἴσονα κτείνειν ἤθελεν, ὁ δὲ αἰτησάμενος ἑαυτὸν ἀνελεῖν, θυσίας ἐπιτελῶν ἀδεῶς τοῦ ταύρου αἷμα σπασάμενος
15 ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρασαμένη Πελίᾳ, νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον, ἑαυτὴν ἀνήρτησε, Πελίας δὲ καὶ τὸν καταλειφθέντα παῖδα ἀπέκτεινεν αὐτῆς. ὁ δὲ Ἰάσων κατελθὼν τὸ μὲν δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων καιρὸν ἐξεδέχετο. καὶ τότε μὲν εἰς Ἰσθμὸν μετὰ τῶν
20 ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι. αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν ὅπως Πελίας αὐτῷ δίκας ὑποσχῇ. ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον, καὶ τοῦ πι-
25 στεῦσαι χάριν κριὸν μελίσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα. αἱ δὲ πιστεύσασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθεψοῦσιν.

28. Ἅκαστος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει. οἱ δὲ ἧκον εἰς Κόρινθον καὶ δέκα μὲν ἔτη
30 διετέλουν εὐτυχοῦντες, αὖθις δὲ τοῦ τῆς Κορίνθου βασιλέως

2. τοῖς delevit Heynius. ‖ ἔβαλλεν PDR^{b}V, cett. ἔβαλεν. ‖ 6. ἀπέθανεν Faber. ‖ 12. ὑποστροφὴν PR^{ac}VO, ἀποστροφὴν R^{b}, vulg. ἐπιστροφήν. ‖ 13. ἠθέλησεν R^{b}. ‖ 14. θυσίας libri: θυσίαν edidit Heynius. ‖ 15. Πελίαν vulg. ‖ 16. παῖδα ὡς πρὸς πόλεμον πρόμαχον vulg., cf. Wessel. ad Diod. p. 293. ‖ 23. quod vulg. post αὐτοῦ legitur Ἀστερόπειαν δηλαδὴ καὶ Ἀντινόην om. libri. cf. Paus. 8. 11, 3. ‖ 24. πιστῶσαι Faber, πιστευθῆναι Siebelis. ‖ 26. καθέψουσι PDR^{abc}V. ‖ 27. ἄδραστος libri. ‖

Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος παραπεμψάμενος Ἰάσων Μήδειαν ἐγάμει. ἡ δὲ οὕς τε ὤμοσεν Ἰάσων θεοὺς ἐπικαλεσαμένη καὶ τὴν Ἰάσονος ἀχαριστίαν μεμψαμένη πολλάκις, τῇ μὲν γαμουμένῃ πέπλον μεμαγευμένον φαρμάκῳ ἔπεμψεν, ὃν ἀμφιεσαμένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ καταφλέγει, τοὺς δὲ παῖδας οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ Φέρητα, ἀπέκτεινε, καὶ λαβοῦσα παρὰ Ἡλίου ἅρμα πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀθήνας. λέγεται δὲ ὅτι φεύγουσα τοὺς παῖδας ἔτι νηπίους ὄντας κατέλιπεν, ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς Ἀκραίας, Κορίνθιοι δὲ αὐτοὺς ἀναστήσαντες κατετραυμάτισαν. Μήδεια δὲ ἧκεν εἰς Ἀθήνας, κἀκεῖ γαμηθεῖσα Αἰγεῖ παῖδα γεννᾷ Μῆδον. ἐπιβουλεύουσα δὲ ὕστερον Θησεῖ φυγὰς ἐξ Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐκβάλλεται. ἀλλὰ οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ' ἑαυτὸν χώραν ἅπασαν Μηδίαν ἐκάλεσε, καὶ στρατευόμενος ἐπὶ Ἰνδοὺς ἀπέθανε, Μήδεια δὲ εἰς Κόλχους ἦλθεν ἄγνωστος, καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ ἀδελφοῦ Πέρσου τῆς βασιλείας ἐστερημένον, κτείνασα τοῦτον τῷ πατρὶ τὴν βασιλείαν ἀποκατέστησεν.

4. μεμαγευμένον libri: μεμαγμένον Aegius. ‖ 5. φάρμακόν PDR^{abc}VM. ‖ ἀμφιεσαμένη R^{c}, cett. ἀμφιάσαμένη. ‖ 6. καταφλέγεται Faber, κατεφλέγη Siebelis. ‖ τε vulg. ‖ 7. μέρμενον ἠφέρητα M, ὑφέρητα R^{b}, ὀφέρητα pr. m. R^{c}. ‖ 8. πτηνὸν D. ‖ 9. ἦλθεν — φεύγουσα om. ed. pr. ‖ δὲ καὶ Heynius. ‖ ἔτι νηπίους PR^{abc}, erat νηπίους ἔτι. ‖ 11. Ἀκραίας Aegius ex Paus. 2. 24, 1: libri ἀκρίας. ‖ 14. Θησεῖ om. R^{b}. ‖ δὲ libri: ἐξ Faber et Galeus (cf. Elmsl. ad Eur. Med. 10), φυγὰς δὲ susp. Heynio. ‖ 15. ὑπ' αὐτὸν Galeus. ‖ 16. μηδείαν DR^{abc} aliique. ‖ 19. ἀποκατέστησεν O, ἀπεκατέστησεν R^{b}, vulg. κατέστησεν. ‖

ΑΠΟΛΛΟΔΩΡΟΥ

ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΒΙΒΛΙΟΘΗΚΗΣ

ΒΙΒΛΙΟΝ Β.

I. 1. Ἐπειδὴ δὲ τὸ τοῦ Δευκαλίωνος διεξεληλύθαμεν γένος, ἑχομένως λέγωμεν τὸ Ἰνάχειον. Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. τούτου καὶ Μελίας τῆς Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγένοντο. Αἰγιαλέως μὲν οὖν ἄπαιδος ἀποθανόντος ἡ χώρα ἅπασα Αἰγιάλεια ἐκλήθη. Φορωνεὺς δὲ ἁπάσης τῆς ὕστερον Πελοποννήσου προσαγορευθείσης δυναστεύων ἐκ Τηλεδίκης νύμφης Ἄπιν καὶ Νιόβην ἐγέννησεν. Ἄπις μὲν οὖν εἰς τυραννίδα τὴν ἑαυτοῦ μεταστήσας δύναμιν καὶ βίαιος ὢν τύραννος, ὀνομάσας ἀφ' ἑαυτοῦ τὴν Πελοπόννησον Ἀπίαν, ὑπὸ Θελξίονος καὶ Τελχῖνος ἐπιβουλευθεὶς ἄπαις ἀπέθανε, καὶ νομισθεὶς θεὸς ἐκλήθη Σάραπις. Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν

2. λέγομεν PDRcV. ‖ ἰνάχειον O, ἰνάχιον PDRcV: Ἰνάχου Heynius. cf. 3. 1, 1. ‖ 4. Μελίσσης vulg. ‖ 5. αἰγιαλία V, αἰκαλεὺς et αἰκαλέως alii nescio qui. ‖ 7. δυναστεύων, quod vulg. legitur post νύμφης, huc retraxit cum Fabro Heynius. ‖ 8. ἐκ τηλεδίκης X (et sic scribere iussit G. Hermann. opp. 2. p. 203), ἐκ τηλοδίκης MO, ἐκ τῆς λαδίκης PRc, vulg. ἐκ τῆς Λαοδίκης. ‖ 9. καὶ — τύραννος delet Siebelis. ‖ 11. καὶ] ἢ Galeus. ‖ 12. Διὸς δὲ καὶ Νιόβης Heynius. ‖ 13. ἐσμίγη PDRcV. ‖ σάραπις παῖς ἄργος P. ‖ 14. cf. Sturz. Acus. fr. p. 223. ‖ 15. cf. Marckscheffel Hes. fr. p. 301. ‖

Πελασχὸν αὐτόχθονά φησιν εἶναι. ἀλλὰ περὶ μὲν τούτου πάλιν ἐροῦμεν. 2. Ἄργος δὲ λαβὼν παρὰ Φορωνέως τὴν βασιλείαν ἀφ' ἑαυτοῦ τὴν Πελοπόννησον ἐκάλεσεν Ἄργος. καὶ γήμας Εὐάδνην τὴν Στρυμόνος καὶ Νεαίρας ἐτέκνωσεν Ἔκβασον, Πείραντα, Ἐπίδαυρον, Κρίασον, ὃς καὶ τὴν βασι- 5 λείαν παρέλαβεν. ἐξ Ἐκβάσου δὲ Ἀγήνωρ γίνεται. τούτου δὲ Ἄργος ὁ Πανόπτης λεγόμενος. εἶχε δὲ οὗτος ὀφθαλμοὺς μὲν ἐν παντὶ τῷ σώματι. ὑπερβάλλων δὲ δυνάμει, τὸν μὲν τὴν Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνελὼν τὴν τούτου δορὰν ἠμφιέσατο, Σάτυρον δὲ τοὺς Ἀρκάδας ἀδικοῦντα καὶ 10 ἀφαιρούμενον τὰ βοσκήματα ὑποστὰς ἀπέκτεινε. λέγεται δὲ ὅτι καὶ τὴν Ταρτάρου καὶ Γῆς Ἔχιδναν, ἣ τοὺς παριόντας συνήρπαζεν, ἐπιτηρήσας κοιμωμένην ἀπέκτεινεν. ἐξεδίκησε δὲ καὶ τὸν Ἄπιδος φόνον τοὺς αἰτίους ἀποκτείνας. 3. Ἄργου δὲ καὶ Ἰσμήνης τῆς Ἀσωποῦ παῖς Ἴασος, οὗ φασιν Ἰὼ γενέ- 15 σθαι. Κάστωρ δὲ ὁ συγγράψας τὰ χρονικὰ καὶ πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγουσιν, Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς [δὲ] ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, αὐτὴν δὲ 20 ἀπωμόσατο μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος, οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος. Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην, ὃν Ἀσκληπιάδης μὲν

2. πάλιν] 3. 8, 1. ‖ παρὰ Φορωνέως susp. Heynio, λαβὼν τὴν τοῦ Φορωνέως βασιλείαν Siebelis. ‖ 4. Ἔκβασον Sevinus ex Schol. Eur. Or. 930 et G. Hermann. opp. 2. p. 204: ἕκοστον ἴσως ἔκβασιν V, ἄκασον super scripto ἄκαστον P, ἄκασδον R^a et m. sec. R^c, cett. ἔκασσον, legebatur Ἴασον. ‖ 5. πείραντα PVM, πείραντι D, πείραντος pr. m. R^c: Πείρανθον Aegius. ‖ 6. ἐκβάσου libri, legebatur Ἰάσου. ‖ post Ἀγήνωρ Galeus καὶ Ἀρέστωρ inserei voluit. ‖ 8. τῷ om. PDR abcV. ‖ 9. καρδίαν libri. ‖ 10. ἠμφιάσατο libri. ‖ 12. ὅτι add. Faber, καὶ ὅτι maluit Heynius. ‖ 15. ἴσος vel ἴσσος libri. ‖ 16. ἀγνοήματα, quod vulg. add. post χρονικά, om. libri, ac videtur e Suida ab Aegio illatum. ‖ 17. cf. Marckscheffel Hes. fr. p. 348. et Sturz. Acus. fr. p. 223. ‖ 18. φησιν PDV. ‖ 19. δὲ add. Faber. ‖ 20. αὐτὴν libri: αὐτῇ Faber, αὐτὸς Heynius. ‖ 21. cf. Marckscheffel Hes. fr. p. 349. ‖ 24. Ἀσκληπιάδης μὲν Ἰνάχου λέγει υἱόν, Φερεκύδης δὲ Ἀρέστορος transposuit Valcken. ad Eur. Phoen. p. 733, cf. Sturz. Pherec. fr. p. 161. ‖ ὃν et υἱὸν om. R^{abc}VM. ‖

Ἀρέστορος λέγει υἱόν, Φερεκύδης δὲ Ἰνάχου, Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός, Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει. οὗτος ἐκ τῆς ἐλαίας ἐδέσμευεν αὐτήν, ἥτις ἐν τῷ Μυκηναίων ὑπῆρχεν ἄλσει. Διὸς δὲ ἐπιτάξαντος Ἑρμῇ κλέψαι τὴν βοῦν, μηνύσαντος Ἱέρακος, ἐπειδὴ λαθεῖν οὐκ ἠδύνατο, λίθῳ βαλὼν ἀπέκτεινε τὸν Ἄργον, ὅθεν Ἀργειφόντης ἐκλήθη. Ἥρα δὲ τῇ βοὶ οἶστρον ἐμβάλλει. ἡ δὲ πρῶτον ἧκεν εἰς τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον κληθέντα, ἔπειτα διὰ τῆς Ἰλλυρίδος πορευθεῖσα καὶ τὸν Αἷμον ὑπερβαλοῦσα διέβη τὸν τότε μὲν καλούμενον πόρον Θρᾴκιον, νῦν δὲ ἀπ' ἐκείνης Βόσπορον. ἐπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν Κιμμερίδα γῆν, πολλὴν χέρσον πλανηθεῖσα καὶ πολλὴν διανηξαμένη θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας τελευταῖον ἧκεν εἰς Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα γεννᾷ παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. τοῦτον δὲ Ἥρα δεῖται Κουρήτων ἀφανῆ ποιῆσαι, οἱ δὲ ἠφάνισαν αὐτόν. καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει Κούρητας, Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. πλανωμένη δὲ κατὰ Συρίαν ἅπασαν (ἐκεῖ γὰρ ἐμηνύετο, [ὡς] τοῦ Βυβλίων βασιλέως γυνὴ ἐτιθήνει τὸν υἱόν) καὶ τὸν Ἔπαφον εὑροῦσα, εἰς Αἴγυπτον ἐλθοῦσα ἐγαμήθη Τηλεγόνῳ τῷ βασιλεύοντι τότε Αἰγυπτίων. ἱδρύσατο δὲ ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσαν Ἶσιν Αἰγύπτιοι, καὶ τὴν Ἰὼ Ἶσιν ὁμοίως προσηγόρευσαν. 4. Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων γαμεῖ Μέμφιν τὴν Νείλου θυγατέρα, καὶ ἀπὸ ταύτης κτίζει Μέμφιν πόλιν καὶ τεκνοῖ θυγατέρα Λιβύην, ἀφ' ἧς ἡ χώρα Λιβύη ἐκλήθη. Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται παῖδες δίδυμοι, Ἀγήνωρ καὶ Βῆλος. Ἀγήνωρ μὲν οὖν εἰς Φοινίκην ἀπαλλαγεὶς ἐβασίλευσε, κἀκεῖ τῆς μεγάλης ῥίζης ἐγένετο γενεάρχης· ὅθεν ὑπερθησόμεθα περὶ

1. κέκροψ vulg. hic et infra. ‖ 3. γηγενῆ αὐτὸν λέγει PR^{abc}V, ἐκ γεγενῆσθαι D, vulg. ἐκ γῆς γεγενῆσθαι. ‖ 4. μυκηναίων libri, vulg. Μυκηναίῳ. ‖ 5. λαβεῖν Sommerus. ‖ 8. κληθέντα ἰόνιον κόλπον M. ‖ 11. ἐπεξελθοῦσα aut ἐλθοῦσα Heynius. ‖ 19. γὰρ delet Wyttenb. ad Plut. Mor. 3. p. 191. ‖ ὡς adiecit cum Fabro Heynius, qui item voluit ὡς ἡ τοῦ, omisso γυνὴ, quod om. PDR^{c}V. ‖ βιβλίων libri. ‖ 21. ἐγαμήθητε PDR^{c}V. ‖ 25. ἀπὸ ταύτης κληθεῖσαν scribi aut deleri ἀπὸ ταύτης voluit Heynius. ‖ 28. τῆς delet cum Heynio Clavier. ‖ 29. γενεάρχης J, cett. γενέαρχος. ‖

τούτου. Βῆλος δὲ ὑπομείνας ἐν Αἰγύπτῳ βασιλεύει μὲν Αἰγύπτου, γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγατέρα, καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός, ὡς δέ φησιν Εὐριπίδης, καὶ Κηφεὺς καὶ Φινεὺς προσέτι. Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ, ὃς καὶ κατασκαψάμενος τὴν Μελαμπόδων χώραν ἀφ' ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ Δαναῷ πεντήκοντα. στασιασάντων δὲ αὐτῶν περὶ τῆς ἀρχῆς ὕστερον Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικὼς, ὑποθεμένης Ἀθηνᾶς αὐτῷ, ναῦν κατεσκεύασε πρῶτος πεντηκόντορον καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε. προσάγων δὲ Ῥόδῳ τὸ τῆς Λινδίας Ἀθηνᾶς ἄγαλμα ἱδρύσατο. ἐντεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων. ἀνύδρου δὲ τῆς χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Ποσειδῶν, μηνίων Ἰνάχῳ διότι τὴν χώραν Ἀθηνᾶς ἐμαρτύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψε. μία δὲ αὐτῶν Ἀμυμώνη ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ ἔλαφον καὶ κοιμωμένου Σατύρου τυγχάνει, κἀκεῖνος περιαναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ ἐπιφανέντος ὁ Σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ τούτῳ συνευνάζεται, καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ πηγὰς ἐμήνυσεν. 5. Ὁ

2. Ἀγχιρόην Heynius. ‖ 5. κατῴκισεν et κατοικίζει libri Aegii, vulg. κατῴκησεν. ‖ ἀρραβίᾳ PV. ‖ 6. κατασκαψάμενος libri: καταστρεψάμενος ex Schol. Hom. Iliad. 1, 42 edidit Heynius. ‖ τὴν μὲν λαμπάδων M, cett. τὴν μὲν λαμπόδην. ‖ ἀφ' ἑαυτοῦ om. DR^cM. ‖ 9. post αὐτῶν quod vulg. additur, πρὸς ἀλλήλους, depromptum ex Schol. Hom. Iliad. 1, 42, om. libri: περὶ τῆς ἀρχῆς soli, ut videtur, habent R^abc, om. Heynius. ‖ 10. inserui post παῖδας ex eod. Schol. Aegius πλὴν ἑνὸς ἢ δυοῖν διὰ τῶν τοῦ αὐτοῦ θυγατέρων ἀνεῖλε, et post δεδοικὼς haec, καθότι καὶ ἐκ χρησμοῦ [ἠκηκόει] ὅτι φονευθήσεται ὑπὸ ἑνὸς αὐτῶν καὶ, et post κατεσκεύασε rursus, τὴν κληθεῖσαν ὡς ἀπὸ τοῦ ἀριθμοῦ τῶν θυγατέρων αὐτοῦ. ‖ 11. αὐτῶν P. ‖ κατεσκεύασε πρῶτος PDR^cV, vulg. πρῶτος κατεσκεύασε. ‖ καὶ τὰς θυγατέρας libri: ἐν ᾗ τὰς κόρας ex Schol. Hom. Aegius. ‖ 12. προσίσχων O, προσσχὼν Schol. Hom., quod probat Sommerus. ‖ λυνδίας et λυδίας libri. ‖ 13. Ἀθηνᾶς om. PV. ‖ 14. ἑλλάνωρ PO, cett. πελάνωρ: Aegius ex Schol. Hom. Ἑλάνωρ, Heynius ex Paus. 2. 16, 1 et 19, 3 Γελάνωρ. ‖ post βασιλεύων ex Schol. Hom. inserui Aegius αὐτὸς δὲ κρατήσας τῆς χώρας ἀφ' ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασεν. ‖ 17. Ἀθηνᾶς] Ἥρας Heynius et Clavier. ‖ ὑδρευσαμένας PV. ‖ 19. περιεξαναστὰς Faber, μὲν ἀναστὰς Heynius. ‖

δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς Ἄργος τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν καὶ τὰς θυγατέρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησικακῶν περὶ φυγῆς ὡμολόγει τοὺς γάμους καὶ διεκλήρου τὰς κόρας. Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλον Λυγκεῖ καὶ Γοργοφόνην Πρωτεῖ· οὗτοι γὰρ ἐκ βασιλίδος γυναικὸς Ἀργυφίης ἐγεγόνεισαν Αἰγύπτῳ. τῶν δὲ λοιπῶν ἔλαχον Βούσιρις μὲν καὶ Ἐγκέλαδος καὶ Λύκος καὶ Δαΐφρων τὰς Δαναῷ γεννηθείσας ἐξ Εὐρώπης Αὐτομάτην, Ἀμυμώνην, Ἀγαύην, Σκαιήν. αὗται δὲ ἐκ βασιλίδος ἐγένοντο Δαναῷ, ἐκ δὲ Ἐλεφαντίδος Γοργοφόνη καὶ Ὑπερμνήστρα. Λυγκεὺς δὲ καὶ Καλύκην ἔλαχεν, Ἴστρος δὲ Ἱπποδάμειαν, Χαλκώδων Ῥοδίαν, Ἀγήνωρ Κλεοπάτραν, Χαῖτος Ἀστερίαν, Διοκορυστὴς Ἱπποδάμειαν, Ἄλκις Γλαύκην, Ἀλκμήνωρ Ἱππομέδουσαν, Ἱππόθοος Γόργην, Εὐχήνωρ Ἰφιμέδουσαν, Ἱππόλυτος Ῥόδην. οὗτοι μὲν οἱ δέκα ἐξ Ἀραβίας γυναικός, αἱ δὲ παρθένοι ἐξ Ἀμαδρυάδων νυμφῶν, αἱ μὲν [ἐξ] Ἀτλαντείης, αἱ δὲ ἐκ Φοίβης. Ἀγαπτόλεμος δὲ ἔλαχε Πειρήνην, Κερκέστης δὲ Δώριον, Εὐρυδάμας Φάρτην, Αἴγιος Μνήστραν, Ἄργιος Εὐίππην, Ἀρχέλαος Ἀνεξιβίην, Μέναχος Νηλώ. οἱ δὲ ἑπτὰ ἐκ Φοινίσσης γυναικός, αἱ δὲ παρθένοι [ἐξ] Αἰθιοπίδος. ἀκληρωτὶ δὲ ἔλαχον δι' ὁμωνυμίαν τὰς Μέμφιδος οἱ ἐκ Τυρίας, Κλειτὸς Κλειτήν, Σθένελος Σθενέλην, Χρύσιππος Χρυσίππην. οἱ δὲ ἐκ Καλιάνδης νύμφης παῖδες δώδεκα ἐκληρώσαντο περὶ τῶν ἐκ Πολυξοῦς Ναΐδος· ἦσαν δὲ οἱ μὲν παῖδες Εὐρύλοχος, Φάντης, Περισθένης, Ἕρμος, Δρύας, Ποτα-

3. ἐπαγγελλομένοις R[b]. ‖ 5. κῆρας libri Aegii, ut videtur. ‖ 6. ἐξεῖλον PDR[c]V M, legebatur ἐξεῖλε. ‖ γοργοφόντην libri. ‖ 7. Ἀργύφης ex Tzetz. Chil. 7, 372 Heynius. ‖ 12. καὶ λύκην vel καὶ λύχην libri: Λυγκεὺς — ἔλαχεν susp. Heynio sive potius totus locus ab αὗται — ἔλαχεν. ‖ Ἱπποδάμειαν] Κλεοδάμειαν vel Φιλοδάμειαν hic aut v. 14 ex Paus. 4. 30, 2 Heynius. ‖ 13. ῥοδίαν DR[c]: Ῥοδείαν Ruhnk. ad h. in Cer. 398. ‖ Χαίτης Heynius. ‖ 14. Ἀλκμήνων et Ἱππόθεος vulg. ‖ 16. ἀρραβίας PD, ἀρραβείας R[c]. ‖ 17. ἁμαδονάδων vel ἁμαδονάδον libri. ‖ ἐξ addidit Heynius. ‖ 18. κερκέστης P, cett. κέρκηστις. ‖ 19. Δώτιον Faber. ‖ Φάρην v. Φαρίαν v. Φάντην Heynius. ‖ αἴτιος PR[c]T, ἄργιος libri quidam Aegii, αἴγιος P in mg. ‖ 20. Ἀναξιβίαν Heynius. ‖ δὲ om. PDR[c]. ‖ 21. ἐξ addidit Heynius. ‖ 24. Καλιάδνης idem. ‖ νύμφης PR[ac], vulg. καὶ Νηίδος νύμφης: Faber τῆς Ν. ν. ‖ 25. παρὰ vulg. ‖

μών, Κισσεύς, Λίξος, Ἴμβρος, Βρόμιος, Πολύκτωρ, Χθόνιος, αἱ δὲ κόραι νύμφης Αὐτονόη, Θεανώ, Ἠλέκτρα, Κλεοπάτρα, Εὐρυδίκη, Γλαυκίππη, Ἀνθήλεια, Κλεοδώρη, Εὐίππη, Εὐρωτώ, Στύγνη καὶ Βρύκη. οἱ δὲ [ἐκ] Γοργόνων Αἰγύπτῳ γενόμενοι ἐκληρώσαντο περὶ τῶν ἐκ Πιερείας, καὶ λαγχάνει 5 Περίφας μὲν Ἀκταίην, Οἰνεὺς Ποδάρκην, Αἴγυπτος Διωξίππην, Μετάλκης δὲ Ἀδύτην, Λάμπος Ὠκυπέτην, Πυλάργην Ἴδμων· οὗτοι δέ εἰσι νεώτατοι· Ἴδας Ἱπποδίκην, Δαΐφρων Ἀδιάντην· αὗται δὲ ἐκ μητρὸς ἐγένοντο Ἕρσης· Πανδίων Καλλιδίκην, Ἄρβηλος Οἴμην, Ὑπέρβιος Κελαινώ, Ἱπποκορυ- 10 στὴς Ὑπερίπτην. οὗτοι ἐξ Ἡφαιστίνης, αἱ δὲ ἐκ Κρινοῦς. ὡς δὲ ἐκληρώσαντο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια διαδίδωσι ταῖς θυγατράσιν, αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας· αὕτη δὲ Λυγκέα διέσωσε παρθένον αὐτὴν φυλάξαντα, διὸ καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. 15 αἱ δὲ ἄλλαι τῶν Δαναοῦ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς Διὸς κελεύσαντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε, τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν 20 ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν. Ἀμυμώνη δὲ ἐκ Ποσειδῶνος ἐγέννησε Ναύπλιον. οὗτος μακρόβιος γενόμενος, πλέων τὴν θάλασσαν τοῖς ἐμπίπτουσιν ἐπὶ θανάτῳ ἐδυσφόρει. συνέβη οὖν καὶ αὐτὸν τελευτῆσαι ἐκείνῳ τῷ θανάτῳ, ᾧπερ ἄλλων τελευτησάντων ἐδυσφόρει. πρὶν δὲ τελευτῆσαι ἔγημεν ὡς μὲν 25 οἱ τραγικοὶ λέγουσι Κλυμένην τὴν Κατρέως, ὡς δὲ ὁ τοὺς νόστους γράψας Φιλύραν, ὡς δὲ Κέρκωψ Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην, Οἴακα, Ναυσιμέδοντα.

1. κισεὺς P. ‖ 2. κόραι νύμφης susp. Heynio. ‖ αὐγονόη vel ἀγονόη PDM. ‖ 3. Κλεοδώρα Heynius. ‖ Πληξίππη idem. ‖ εὐρωτώ PDM, Ἐρατώ vulg. ‖ 4. Βεβρύκη Galeus ex Eust. ad Dion. 805. ‖ ἐκ add. ex Fabri coni. Heynius, qui et Γοργόνος voluit. ‖ 5. Πιερίας idem. ‖ 7. μετάλκης, μεγακλῆς, μελάλκης libri: Μενάλκης Aegius. ‖ ἀδίτην libri. ‖ πηλάργην PR^c. ‖ 8. οὗτοι Galeus, libri ὀκτώ. ‖ 10. ἄρβυλος P. ‖ 11. Ὑπαρέτην ex Hygino Heynius. ‖ κρηνοῦς PDR^c. ‖ 12. δίδωσι PD. ‖ 13. κοιμώμεναι VM. ‖ 16. τῶν μὲν vulg. ‖ 20. συνῴκισε P, vulg. συνῴκησε. ‖ 23 et 25. ἐπυρσοφόρει Kuhn. ad Paus. 2, 25 p. 168, ἐπυρφόρει Clavier. ‖ 24. αὐτῷ V. ‖ 26. Κατρέως ex 3, 2, 2 Heynius, Ἀτρέως Aegius: libri καστρέως. ‖ 27. νόμους VT. ‖ φίλαραν PR^c. ‖ κέρκοψ idem. ‖

II. 1. Λυγκεὺς δὲ μετὰ Δαναὸν Ἄργους δυναστεύων ἐξ Ὑπερμνήστρας τεκνοῖ παῖδα Ἄβαντα. τούτου δὲ καὶ Ἀγλαΐας τῆς Μαντινέως δίδυμοι παῖδες ἐγένοντο Ἀκρίσιος καὶ Προῖτος. οὗτοι καὶ κατὰ γαστρὸς μὲν ἔτι ὄντες ἐστασίαζον πρὸς ἀλλήλους, ὡς δὲ ἀνετράφησαν, περὶ τῆς βασιλείας ἐπολέμουν καὶ πολεμοῦντες εὗρον ἀσπίδας πρῶτοι. καὶ κρατήσας Ἀκρίσιος Προῖτον Ἄργους ἐξελαύνει. ὁ δὲ ἧκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δέ τινές φασι πρὸς Ἀμφιάνακτα, καὶ γαμεῖ τὴν τούτου θυγατέρα, ὡς μὲν Ὅμηρος Ἀντειαν, ὡς δὲ οἱ τραγικοὶ Σθενέβοιαν. κατάγει δὲ αὐτὸν ὁ κηδεστὴς μετὰ στρατοῦ Λυκίων καὶ καταλαμβάνει Τίρυνθα, ταύτην αὐτῷ Κυκλώπων τειχισάντων. μερισάμενοι δὲ τὴν Ἀργείαν ἅπασαν κατῴκουν. καὶ Ἀκρίσιος μὲν Ἄργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. 2. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφιάνασσα. αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν. γενόμεναι δὲ ἐμμανεῖς ἐπλανῶντο ἀνὰ τὴν Ἀργείαν ἅπασαν, αὖθις δὲ τὴν Ἀρκαδίαν καὶ τὴν Πελοπόννησον διελθοῦσαι μετὰ ἀκοσμίας ἁπάσης διὰ τῆς ἐρημίας ἐτρόχαζον. Μελάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαντος, μάντις ὢν καὶ τὴν διὰ φαρμάκων καὶ καθαρμῶν θεραπείαν πρῶτος εὑρηκώς, ὑπισχνεῖται θεραπεύειν τὰς παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας. οὐκ ἐπιτρέποντος δὲ Προίτου θεραπεύειν ἐπὶ μισθοῖς τηλικούτοις, ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι καὶ προσέτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες· καὶ γὰρ αὗται τὰς οἰκίας ἀπολιποῦσαι τοὺς ἰδίους

1. γλυκεὺς D. ‖ 2. Ἀγλαΐας ex Schol. Eur. Or. 965 Heynius, Ὠκαλείας Aegius: ἀγαλλείας PO, cett. ἀγαλλίας. ‖ 8. Ἰοβάτην] Ἀφείδαντα Clavier. ‖ 9. Iliad. 6, 160. ‖ 12. ἅπασαν—τίρυνθος καὶ om. V: ἅπασαν κατῴκουν susp. Heynio, totum locum sic constituit Siebelis, μ. δ. τ. Ἀ. ἅπασαν, κατῴκουν Ἀκρίσιος μὲν ἐν Ἄργει, Προῖτος δὲ ἐν Τίρυνθι. ‖ 13. τιρύνθου M, τίρυνθον P et cett. ‖ 16. ἰφιόνη P et libri Aegii. ‖ 17. cf. Marckscheffel Hes. fr. p. 364. ‖ 18. cf. Sturz. Acus. fr. p. 224. ‖ 20. καὶ τ. Π. susp. Heynio. ‖ 24. εὑρηκὼς πρῶτον P. ‖ θεραπεύσειν ex H hic et infra Heynius, cett. θεράπεύειν. ‖ 25. τὸ δὲ τὸ τρ. V. ‖ 26. μισθῷ τηλικούτῳ Heynius. ‖

ἀπώλλυον παῖδας καὶ εἰς τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπιπλεῖστον τῆς συμφορᾶς τοὺς αἰτηθέντας μισθοὺς ὁ Προῖτος ἐδίδου, ὁ δὲ ὑπέσχετο θεραπεύειν, ὅταν ἕτερον τοσοῦτον τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖτος δὲ εὐλαβηθεὶς μὴ βραδυνούσης τῆς θεραπείας αἰτηθείη καὶ πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις. Μελάμπους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν νεανιῶν μετ' ἀλαλαγμοῦ καί τινος ἐνθέου χορείας ἐκ τῶν ὀρῶν αὐτὰς ἐς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν διωγμὸν ἡ πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλλαξεν, ταῖς δὲ λοιπαῖς τυχούσαις καθαρμῶν σωφρονῆσαι συνέβη, καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι καὶ Βίαντι. παῖδα δὲ ὕστερον ἐγέννησε Μεγαπένθην.

III. 1. Βελλεροφόντης δὲ ὁ Γλαύκου τοῦ Σισύφου κτείνας ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δέ τινές φασι Πειρῆνα, ἄλλοι δὲ Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται. καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει καὶ προσπέμπει λόγους περὶ συνουσίας. τοῦ δὲ ἀπαρνουμένου λέγει πρὸς Προῖτον, ὅτι Βελλεροφόντης αὐτῇ περὶ φθορᾶς προσεπέμψατο λόγους. Προῖτος δὲ πιστεύσας ἔδωκεν ἐπιστολὰς αὐτῷ πρὸς Ἰοβάτην κομίζειν, ἐν αἷς ἐνεγέγραπτο Βελλεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἐπιγνοὺς ἐπέταξεν αὐτῷ Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι. ἦν γὰρ οὐ μόνον ἐνὶ, ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον. εἶχε δὲ προτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην αἰγός, δι' ἧς πῦρ ἀνίει. καὶ τὴν χώραν διέφθειρε καὶ τὰ βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δύναμιν. λέγεται δὲ καὶ τὴν Χίμαιραν ταύτην τραφῆναι μὲν ὑπὸ Ἀμισω-

7. ἀλαγμοῦ libri. ‖ 8. ἐκτικυῶνος P, ἐκ σικυῶνος R^c. ‖ 10. ἰφιόνη libri Aegii. ‖ καθαρμῶν libri, vulg. καθαρμοῦ, quod restituit Sommerus. ‖ 14. Βέλλερόν τινα ἢ ante ἀδελφὸν excidisse credidit Heynius. ‖ Δηλιάδην ex Schol. Lycoph. 17 Aegius: ἰλιάδαν P, cett. ἰλιάδην. ‖ πήρην R^a, cett. πείρην. ‖ 15. ἀλκιμένου P. ‖ εἰς Ἄργος inseruit ante πρὸς Aegius ex Schol. Hom. Iliad. 6, 155, om. libri. ‖ 16. ab eodem inserta γυνὴ post αὐτοῦ et ἢ καὶ Ἄντεια post Σθενέβοια ignorant libri. ‖ προσπέμπει ex Zeneb. 2, 87 Heynius: libri προπέμπει. ‖ 19. τὸν πένθερὸν post Ἰοβάτην vulg. insertum om. libri. ‖ 20. κομίζειν P, legebatur κομίσειν, ex Zen. κομίσαι Heyn. ‖ 24. τρίτον V. ‖ τὴν μέσην αἰγός Faber. ‖ 27. δὲ καὶ om. M. ‖ τὴν Χίμαιραν ταύτην susp. Heynio. ‖ ἀμισοδάρου PDR^cV. ‖

δάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γεννηθῆναί δὲ ἐκ Τυφῶνος καὶ Ἐχίδνης, καθὼς Ἡσίοδος ἱστορεῖ. 2. ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγασον, ὃν εἶχεν ἵππον ἐκ Μεδούσης πτηνὸν γεγεννημένον καὶ Ποσειδῶνος, ἀρθεὶς εἰς ὕψος ἀπὸ τούτου κατετόξευσε τὴν Χίμαιραν. μετὰ δὲ τὸν ἀγῶνα τοῦτον ἐπέταξεν αὐτῷ Σολύμοις μαχεσθῆναι. ὡς δὲ ἐτελεύτησε καὶ τοῦτον, Ἀμαζόσιν ἐπέταξεν ἀγωνίζεσθαι αὐτόν. ὡς δὲ καὶ ταύτας ἀπέκτεινε, τοὺς τότε νεότητι Λυκίων διαφέρειν δοκοῦντας ἐπιλέξας ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας. ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης τά τε γράμματα ἔδειξε καὶ παρ' αὐτῷ μένειν ἠξίωσε, δοὺς τὴν θυγατέρα Φιλονόην, καὶ θνήσκων τὴν βασιλείαν κατέλιπεν αὐτῷ.

IV. 1. Ἀκρισίῳ δὲ περὶ παίδων γενέσεως ἀρρένων χρηστηριαζομένῳ ὁ θεὸς ἔφη, γενέσθαι παῖδα ἐκ τῆς θυγατρός, ὃς αὐτὸν ἀποκτείνῃ. δείσας οὖν Ἀκρίσιος τοῦτο, ὑπὸ γῆν θάλαμον κατασκευάσας χάλκεον τὴν Δανάην ἐφρούρει. ταύτην μέν, ὡς ἔνιοι λέγουσιν, ἔφθειρε Προῖτος, ὅθεν αὐτοῖς καὶ ἡ στάσις ἐκινήθη, ὡς δὲ ἔνιοί φασι Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰς τοὺς Δανάης εἰσρυεὶς κόλπους συνῆλθεν. αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς θάλασσαν. προσενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ Δίκτυς ἄρας ἀνέτρεφε τοῦτον. 2. βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης, ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθεὶς καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος αὐτῇ συνελθεῖν, συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα, λέγων ἔρανον συνάγειν ἐπὶ τοὺς

1. Iliad. 16, 328. ‖ 2. Theog. 319. ‖ 3. τὰς πηγὰς ὃν εἶχεν libri: τὸν Πήγασον εἶχεν Aegius, ὃν addidit Commelin. ‖ 6. μαχεσθῆναι libri: μαχέσασθαι ex Galei corr. ed. Heynius: cf. Lobeck. Phryn. p. 732. ‖ 8. τότε ex Zenobio add. Galeus, τούς τε vulg., τοὺς τῇ Faber, τοὺς edidit Heynius: libri quid habeant non liquet. ‖ 15. ὁ θεὸς om. P. ‖ 16. ἀποκτινεῖ Aegius. ‖ 25. ἀνέτρεψε Commelin., unde ἀνέθρεψε Faber. ‖ πολυδέκτος D, cett. πολυδεύκτης. ‖ 26. post ἀδελφὸς Aegius ex Schol. Apoll. 4, 1515 add. ὁμομήτριος. ‖ 28. λόγων ἐράνων D, λόγων ἔρανον R^c. ‖ τοὺς τῆς ἐ. R^ab. ‖

Ἱπποδαμείας τῆς Οἰνομάου γάμους. τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργόνος οὐκ ἀντερεῖν, παρὰ μὲν τῶν λοιπῶν ᾔτησεν ἵππους, παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων ἐπὶ τὰς Φόρκου γίνεται θυγατέρας Ἐνυώ, Πεφρηδὼ καὶ Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε καὶ Φόρκου, Γοργόνων ἀδελφαί, γραῖαι ἐκ γενετῆς. ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἤμειβον ἀλλήλαις. ὧν κυριεύσας ὁ Περσεὺς, ὡς ἀπῄτουν, ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς νύμφας φέρουσαν. αὗται δὲ αἱ νύμφαι πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν. εἶχον δὲ καὶ τὴν κυνῆν. ὑφηγησαμένων δὲ τῶν Φορκίδων, ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς καὶ παραγενόμενος πρὸς τὰς νύμφας καὶ τυχὼν ὧν ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπέθετο. ταύτην ἔχων αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ αδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν ὠκεανὸν ἧκε καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας. ἦσαν δὲ αὗται Σθενώ, Εὐρυάλη, Μέδουσα. μόνη δὲ ἦν θνητὴ Μέδουσα, διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη. εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς,

1. post εἰπόντος Aegius ex Schol. Apollon. temere intulit haec, ἐπὶ τίνι ὁ ἔρανος εὐωχεῖται; τοῦ δὲ φήσαντος, ἐπὶ ἵππῳ, Περσεὺς δὲ εἶπεν, et post Γοργόνος iterum οὐκ ἀντερεῖ Πολυδέκτης, παρὰ μὲν οὖν τῶν λοιπῶν. ‖ 2. ἀντέρειν libri Aegii, cett. ἀνταίρειν. ‖ περὶ μὲν — περὶ δὲ libri. ‖ 5. παραγίνεται ex Zenobio Faber. ‖ 6. ἐντὼ libri Aegii. ‖ μεμφρηδώ libri. ‖ δὲ om. ed. pr. ‖ 7. Κητοῦς τε καὶ Φόρκου susp. Heynio. ‖ 8. τε] δὲ idem. ‖ 9. ἐν ἀλλ. vel ἐπήμειβον s. ἀντήμειβον idem. ‖ 10. ἀποδώσειν ex Schol. Apoll. Aegius. ‖ ὑφηγήσονται DR^c. ‖ 12. κίσσισιν DR^cV, cett. κύβισιν. ‖ φασὶν M, φασί τινες vulg.: sed ἥν — πήραν susp. Heynio. ‖ post πήραν vulg. interposita leguntur haec: Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν ἀσπίδι [223] ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κύβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν. in versibus Hesiodi πᾶν δέτι P, πᾶν δέτε DR^a, κάρα et γοργοῦς om. libri ac totum hemistichium D. ‖ εἶχον libri: εἶχε Aegius, qui et ex Schol. Apoll. dedit τὴν Ἄϊδος κυνῆν. ‖ 15. ἐσπούδαζε libri, vulg. ἐσπούδασε. ‖ 21. ἦν om. V. ‖ 24. χρυσᾶς susp. Heynio. ‖

δι' ὧν ἐπέτοντο· τοὺς δὲ ἰδόντας λίθους ἐποίουν. ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. ἀποτμηθείσης δὲ τῆς κεφαλῆς ἐκ τῆς Γοργόνος ἐξέθορε Πήγασος, πτηνὸς ἵππος, καὶ Χρυσάωρ ὁ Γηρυόνου πατήρ. τούτους δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος. 3. ὁ μὲν οὖν Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης ὀπίσω πάλιν ἐχώρει, αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον, καὶ συνιδεῖν αὐτὸν οὐκ ἐδύναντο διὰ τὴν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ' αὐτῆς. παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κηφεύς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρακειμένην βορᾶν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ Κηφέως γυνὴ Νηρηΐσιν ἤρισε περὶ κάλλους, καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν. ὅθεν αἱ Νηρηΐδες ἐμήνισαν. καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλημμύραν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε, καὶ προσέδησε τὴν θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος ὁ Περσεὺς καὶ ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν γυναῖκα. ἐπὶ τούτοις γενομένων ὅρκων ὑποστὰς τὸ κῆτος ἔκτεινε καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως, ἐγγυώμενος πρῶτος τὴν Ἀνδρομέδαν, μαθὼν τὴν ἐπιβουλήν, τὴν Γοργόνα δείξας μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἐλίθωσε παραχρῆμα.

Παραγενόμενος δὲ εἰς Σέριφον καὶ καταλαβὼν προσπεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὸν βασιλέα συγκαλέσαντος τοῦ Πολυδέκτου τοὺς φίλους, ἀπεστραμμένος τὴν κεφαλὴν Γοργόνος ἔδειξε, τῶν δὲ ἰδόντων ὁποῖον ἕκαστος ἔτυχε σχῆμα

1. ὀδόντας V. ‖ 2. τὴν χεῖρα libri, vulg. τὰς χεῖρας. ‖ 13. κασσιέπεια libri, vulg. Κασσιόπεια. ‖ 25. ἐγγενόμενος PH. ‖ πρῶτον H. ‖ 29. προπεφευγυῖαν vulg. ‖ 32. ἀπεστρεμμένος libri. ‖

ἔχων ἀπελιθώθη. καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα ἀπέδωκε τὰ μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα πάλιν ἀπέδωκε ταῖς νύμφαις, Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκε. λέγεται 5 δὲ καὶ ὑπ' ἐνίων, ὅτι καὶ δι' Ἀθηνᾶν ἡ Μέδουσα ἐκαρατομήθη. φασὶ δὲ ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ Γοργὼ αὐτῇ συγκριθῆναι. 4. Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. ὁ δὲ δεδοικὼς τὸν χρησμόν, ἀπολιπὼν Ἄργος εἰς τὴν Πελασγιῶτιν ἐχώ- 10 ρησε γῆν. Τευταμία δὲ τοῦ Λαρισσαίων βασιλέως ἐπὶ κατοιχομένῳ τῷ πατρὶ διατιθέντος γυμνικὸν ἀγῶνα παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων. ἀγωνιζόμενος δὲ πένταθλον, τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν παραχρῆμα ἀπέκτεινεν αὐτόν. αἰσθόμενος δὲ τὸν χρησμὸν τετελεσμένον 15 τὸν μὲν Ἀκρίσιον ἔξω τῆς πόλεως ἔθαψεν, αἰσχυνόμενος δὲ εἰς Ἄργος ἐπανελθεῖν ἐπὶ τὸν κλῆρον τοῦ δι' αὐτοῦ τετελευτηκότος, παραγενόμενος εἰς Τίρυνθα πρὸς τὸν Προίτου παῖδα Μεγαπένθην ἠλλάξατο, τούτῳ δὲ τὸ Ἄργος ἐνεχείρισε. καὶ Μεγαπένθης μὲν ἐβασίλευσεν Ἀργείων, Περσεὺς δὲ Τίρυν- 20 θος, προστειχίσας Μίδεαν καὶ Μυκήνας. 5. ἐγένοντο δὲ ἐξ Ἀνδρομέδας παῖδες αὐτῷ, πρὶν μὲν ἐλθεῖν εἰς τὴν Ἑλλάδα [Πέρσης], ὃν παρὰ Κηφεῖ κατέλιπεν (ἀπὸ τούτου δὲ τοὺς Περσῶν βασιλέας λέγεται γενέσθαι), ἐν Μυκήναις δὲ Ἀλκαῖος καὶ Σθένελος καὶ Ἔλειος, Μήστωρ τε καὶ Ἠλεκτρύων, 25 καὶ θυγάτηρ Γοργοφόνη, ἣν Περιήρης ἔγημεν. πάλιν ἐξ Ἀλκαίου καὶ Ἱπποδάμης τῆς Μενοικέως Ἀμφιτρύων ἐγένετο καὶ θυγάτηρ Ἀναξώ. ἐκ δὲ Μήστορος καὶ Λυσιδίκης τῆς Πέλο-

5. ἐνέθηκε Heynius. ‖ 6. καὶ susp. Heynio, om. Sommerus. ‖ ἀθηνᾶν libri: Ἀθηνᾶς Faber. ‖ 7. αὐτῇ συγκριθῆναι] ἀντισυγκριθῆναι V. ‖ 11. τευταμία libri, legebatur Τευταμίου: Galeus Τευδαμίδου. ‖ 12. διατεθέντος vulg. ‖ 13. πένταθλον delendum aut aliquid deesse censuit Heynius. ‖ 14. παραχρῆμα] ἄκων Mitscherl. ep. cr. p. 11, κατὰ χρέος Koelerus, susp. Heynio. ‖ 15. ἀπέθανεν libri Aegii. ‖ 18. τίρυνθον libri. ‖ 19. δὲ Sommerus, vulg. τε. ‖ 21. μήδειαν libri. ‖ 23. Πέρσης (nisi quod Πέρσην) supplevit Aegius ex Herod. 7, 61. ‖ 25. ἕλλας libri, vulg. Ἕλας. ‖ 26. πάλιν ἐξ Ἀλκαίου καὶ Ἱπποδάμης Galeus, π. Ἀλκέως Ἱ. Aegius, π. Ἀλκέως Ἱ. τε Faber: libri πάλιν ἱππογόμης. ‖

πος Ἱπποθόη. ταύτην ἁρπάσας Ποσειδῶν καὶ κομίσας ἐπὶ τὰς Ἐχινάδας νήσους μίγνυται, καὶ γεννᾷ Τάφιον, ὃς ᾤκισε Τάφον, καὶ τοὺς λαοὺς Τηλεβόας ἐκάλεσεν, ὅτι τηλοῦ τῆς πατρίδος ἔβη. ἐκ Ταφίου δὲ παῖς Πτερέλαος ἐγένετο. τοῦτον ἀθάνατον ἐποίησε Ποσειδῶν ἐν τῇ κεφαλῇ χρυσῆν ἐνθεὶς τρίχα. Πτερελάῳ δὲ ἐγένοντο παῖδες Χρόμιος, Τύραννος, Ἀντίοχος, Χερσιδάμας, Μήστωρ, Εὐήρης. Ἠλεκτρύων δὲ γήμας τὴν Ἀλκαίου θυγατέρα Ἀναξὼ ἐγέννησε θυγατέρα μὲν Ἀλκμήνην, παῖδας δὲ Γοργοφόνον, Φιλόνομον, Κελαινέα, Ἀμφίμαχον, Λυσίνομον, Χειρόμαχον, Ἀνάκτορα, Ἀρχέλαον, μετὰ δὲ τούτους καὶ νόθον ἐκ Φρυγίας γυναικὸς Μιδέας Λικύμνιον. Σθενέλου δὲ καὶ Νικίππης τῆς Πέλοπος Ἀλκινόη καὶ Μέδουσα, ὕστερον δὲ καὶ Εὐρυσθεὺς ἐγένετο, ὃς καὶ Μυκηνῶν ἐβασίλευσεν. ὅτε γὰρ Ἡρακλῆς ἔμελλε γεννᾶσθαι, Ζεὺς ἐν θεοῖς ἔφη, τὸν ἀπὸ Περσέως γεννηθησόμενον τότε βασιλεύσειν Μυκηνῶν. Ἥρα δὲ διὰ τὸν ζῆλον Εἰλείθυιαν ἔπεισε τὸν μὲν Ἀλκμήνης τόκον ἐπισχεῖν, Εὐρυσθέα δὲ τὸν Σθενέλου παρασκευάσαι γεννηθῆναι ἑπταμηνιαῖον ὄντα.

6. Ἠλεκτρύονος δὲ βασιλεύοντος Μυκηνῶν μετὰ Ταφίου οἱ Πτερελάου παῖδες ἐλθόντες τὴν Μήστορος ἀρχὴν τῷ μητροπάτορι ἀπῄτουν, καὶ μὴ προσέχοντος Ἠλεκτρύονος ἀπήλαυνον τὰς βόας, ἀμυνομένων δὲ τῶν Ἠλεκτρύονος παίδων ἐκ προκλήσεως ἀλλήλους ἀπέκτειναν. ἐσώθη δὲ τῶν Ἠλεκτρύονος παίδων Λικύμνιος ἔτι νέος ὑπάρχων, τῶν δὲ Πτερελάου Εὐήρης, ὃς καὶ τὰς ναῦς ἐφύλασσε. τῶν δὲ Ταφίων οἱ διαφυγόντες ἀπέπλευσαν τὰς ἐλαθείσας βόας ἑλόντες καὶ παρέθεντο τῷ βασιλεῖ τῶν Ἠλείων Πολυξένῳ. Ἀμφιτρύων δὲ παρὰ Πολυξένου λυτρωσάμενος αὐτὰς ἤγαγεν εἰς Μυκή-

5. ἀήττητον ex Schol. Lycoph. 932 Staver. ad Hyg. fab. 198. ‖ 6. post ἐγένοντο quod ex Schol. Lycophr. 932 intulit Aegius et servavit Heynius, θυγάτηρ Κομαιθὼ καὶ ἄρρενες, om. libri. ‖ 8. θυγατέρα Meurs. exerc. crit. l. 1. p. 6: libri θυγατέρας. ‖ 9. post δὲ ex Schol. Lyc. Στρατοβάτην addidit Aegius retinuitque Heynius. ‖ φυλονόμον Rc. ‖ 10. χειρίμαχον DR^{c}. ‖ 11. μηδείας vel μηδίας libri. ‖ 16. βασιλεύσειν cum Heynio Sommerus, vulg. βασιλεύειν. ‖ 17. ὑποσχεῖν R^{a}. ‖ 18. παρασκευάσαι V, legebatur παρεσκεύασε. ‖ 19. ταφίου libri: Ταφίων Heynius, cui tamen et hoc et τῷ μητροπάτορι (τοῦ μητροπάτορος Clavier) suspectum. ‖ 21. προσέχοντες PV, cett. προσέχοντας. ‖ 23. προβλήσεως vulg. ‖ 28. Μυκήνας Heynius: libri μυκήνην. ‖

νας. ὁ δὲ Ἠλεκτρύων τὸν τῶν παίδων θάνατον βουλόμενος ἐκδικῆσαι, παραδοὺς τὴν βασιλείαν Ἀμφιτρύωνι καὶ τὴν θυγατέρα Ἀλκμήνην ἐξορκίσας, ἵνα μέχρι τῆς ἐπανόδου παρθένον αὐτὴν φυλάξῃ, στρατεύειν ἐπὶ Τηλεβόας διενοεῖτο. ἀπολαμβάνοντος δὲ αὐτοῦ τὰς βόας, μιᾶς ἐκθορούσης Ἀμφιτρύων ἐπ' αὐτὴν ἀφῆκεν ὃ μετὰ χεῖρας εἶχε ῥόπαλον, τὸ δὲ ἀποκρουσθὲν ἀπὸ τῶν κεράτων εἰς τὴν Ἠλεκτρύονος κεφαλὴν ἐλθὸν ἀπέκτεινεν αὐτόν. ὅθεν λαβὼν ταύτην τὴν πρόφασιν Σθένελος παντὸς Ἄργους ἐξέβαλεν Ἀμφιτρύωνα καὶ τὴν ἀρχὴν τῶν Μυκηνῶν καὶ τῆς Τίρυνθος αὐτὸς κατέσχε, τὴν δὲ Μίδειαν μεταπεμψάμενος τοὺς Πέλοπος παῖδας Ἀτρέα καὶ Θυέστην παρέθετο τούτοις. Ἀμφιτρύων δὲ σὺν Ἀλκμήνῃ καὶ Λικυμνίῳ παραγενόμενος ἐπὶ Θήβας ὑπὸ Κρέοντος ἡγνίσθη, καὶ δίδωσι τὴν ἀδελφὴν Περιμήδην Λικυμνίῳ. λεγούσης δὲ Ἀλκμήνης γαμηθήσεσθαι τῷ τῶν ἀδελφῶν αὐτῆς ἐκδικήσαντι τὸν θάνατον, ὑποσχόμενος ἐπὶ Τηλεβόας στρατεύειν Ἀμφιτρύων καὶ παρεκάλει συλλαβέσθαι Κρέοντα. ὁ δὲ ἔφη στρατεύσειν, ἐὰν πρότερον ἐκεῖνος τὴν Καδμείαν τῆς ἀλώπεκος ἀπαλλάξῃ· ἔφθειρε γὰρ τὴν Καδμείαν ἀλώπηξ θηρίον. ὑποστάντος δὲ ὅμως εἱμαρμένον ἦν αὐτὴν μηδέ τινα καταλαβεῖν. 7. ἀδικουμένης δὲ τῆς χώρας ἕνα τῶν ἀστῶν παῖδα οἱ Θηβαῖοι κατὰ μῆνα προετίθεσαν αὐτῇ πολλοὺς ἁρπαξούσῃ, τοῦτο εἰ μὴ γένοιτο. ἀπαλλαγεὶς οὖν Ἀμφιτρύων εἰς Ἀθήνας πρὸς Κέφαλον τὸν Δηιονέως συνέπειθεν ἐπὶ μέρει τῶν ἀπὸ Τηλεβοῶν λαφύρων ἄγειν ἐπὶ τὴν θήραν τὸν κύνα, ὃν Πρόκρις ἤγαγεν ἐκ Κρήτης παρὰ Μίνωος λαβοῦσα· ἦν δὲ καὶ τούτῳ πεπρωμένον, πᾶν ὅ τι ἂν διώκῃ λαμβάνειν. διωκομένης οὖν ὑπὸ τοῦ κυνὸς τῆς ἀλώπεκος Ζεὺς ἀμφοτέρους λίθους ἐποίησεν. Ἀμφιτρύων δὲ ἔχων ἐκ μὲν Θορικοῦ τῆς Ἀττικῆς Κέφαλον συμμαχοῦντα, ἐκ δὲ Φωκέων Πανοπέα, ἐκ δὲ Ἔλους τῆς Ἀργείας Ἔλειον τὸν Περσέως, ἐκ δὲ Θηβῶν Κρέοντα, τὰς τῶν Ταφίων νήσους ἐπόρθει. ἄχρι μὲν οὖν ἔζη

7. καὶ εἰς scribendum aut ἐλθὸν delendum censuit Heynius. ‖ 10. Μίδειαν vulg. ‖ 16. στρατεύει DR^c^O. ‖ 17. καὶ susp. Heynio. ‖ συλλαβέσθαι PDR^c^VOX, vulg. συμβάλλεσθαι. ‖ 18. καδμείαν libri, Καδμίαν vulg. ‖ 20. αὐτῇ V. ‖ 22. ἁρπαξούσης D, vulg. ἁρπαζούσῃ. ‖ 27. τοῦτο V. ‖ 31. ἑλούσης τῆς libri, vulg. Ἔλους τῆς. ‖

Πτερέλαος, οὐκ ἐδύνατο τὴν Τάφον ἑλεῖν· ὡς δὲ ἡ Πτερελάου θυγάτηρ Κομαιθὼ ἐρασθεῖσα Ἀμφιτρύωνος τὴν χρυσῆν τρίχα τοῦ πατρὸς ἐκ τῆς κεφαλῆς ἐξείλετο, Πτερελάου τελευτήσαντος ἐχειρώσατο τὰς νήσους ἁπάσας. τὴν μὲν οὖν Κομαιθὼ κτείνας Ἀμφιτρύων καὶ τὴν λείαν ἔχων εἰς Θήβας ἔπλει, καὶ τὰς νήσους Ἐλείῳ καὶ Κεφάλῳ δίδωσι. κἀκεῖνοι πόλεις αὐτῶν ἐπωνύμους κτίσαντες κατῴκησαν.

8. Πρὸ τοῦ δὲ Ἀμφιτρύωνα παραγενέσθαι εἰς Θήβας Ζεὺς διὰ νυκτὸς ἐλθὼν καὶ τὴν μίαν τριπλασιάσας νύκτα, ὅμοιος Ἀμφιτρύωνι γενόμενος Ἀλκμήνῃ συνευνάσθη, καὶ τὰ γενόμενα παρὰ Τηλεβοῶν διηγήσατο. Ἀμφιτρύων δὲ παραγενόμενος ὡς οὐχ ἑώρα φιλοφρονουμένην πρὸς αὐτὸν τὴν γυναῖκα, ἐπυνθάνετο τὴν αἰτίαν· εἰπούσης δὲ ὅτι τῇ προτέρᾳ νυκτὶ παραγενόμενος αὐτῇ συγκεκοίμηται, μανθάνει παρὰ Τειρεσίου τὴν γενομένην τοῦ Διὸς συνουσίαν. Ἀλκμήνη δὲ δύο ἐγέννησε παῖδας, Διὶ μὲν Ἡρακλέα, μιᾷ νυκτὶ πρεσβύτερον, Ἀμφιτρύωνι δὲ Ἰφικλέα. τοῦ δὲ παιδὸς ὄντος ὀκταμηνιαίου δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἔπεμψε διαφθαρῆναι τὸ βρέφος θέλουσα, ἐπιβωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνι Ἡρακλῆς διαναστὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέφθειρε. Φερεκύδης δέ φησιν, Ἀμφιτρύωνα βουλόμενον μαθεῖν ὁπότερος ἦν τῶν παίδων ἐκείνου, τοὺς δράκοντας εἰς τὴν εὐνὴν ἐμβαλεῖν, καὶ τοῦ μὲν Ἰφικλέους φυγόντος, τοῦ δὲ Ἡρακλέους ὑποστάντος μαθεῖν ὡς Ἰφικλῆς ἐξ αὐτοῦ γεγέννηται. 9. ἐδιδάχθη μὲν Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφιτρύωνος, παλαίειν δὲ ὑπὸ Αὐτολύκου, τοξεύειν δὲ ὑπὸ Εὐρύτου, ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος, κιθαρῳδεῖν δὲ ὑπὸ Λίνου. οὗτος δὲ ἦν ἀδελφὸς Ὀρφέως, ἀφικόμενος δὲ εἰς Θήβας καὶ Θηβαῖος γενόμενος ὑπὸ Ἡρακλέους τῇ κιθάρᾳ πληγεὶς ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν ὀργισθεὶς ἀπέκτεινε. δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ φόνου παρανέγνω νόμον Ῥαδαμάνθυος λέγοντος, ὃς ἂν ἀμύνηται τὸν χειρῶν ἀδίκων ἄρξαντα ἀθῷον εἶναι, καὶ οὕτως ἀπελύθη.

6. ἐλείῳ, ἐλίῳ, ἐλίῳ libri. ‖ 7. κατῴκισαν V. ‖ 12. αὐτὸν D. ‖ 20. ἀναστὰς Heynius. ‖ 21. αὐτοῦ V. ‖ cf. Sturz. Pherec. fr. p. 101. ‖ 29. καὶ Θ. γεν. susp. Heynio. ‖ 32. Ῥαδαμάνθους vulg. ‖ 33. ἀδίκην D. ‖ ἄρξαντα PR^{abc}X, ἄρξαντι vulg. ‖ οὕτος V. ‖ ἀπελύθη PO, ἀπελάθη DR^{c}VX, vulg. ἀπηλάθη. ‖

δείσας δὲ Ἀμφιτρύων μὴ πάλιν τι ποιήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βουφόρβια, κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διήνεγκεν. ἦν δὲ καὶ θεωρηθεὶς φανερὸς ὅτι παῖς Διὸς ἦν· τετραπηχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς δὲ ἐξ ὀμμάτων ἔλαμπεν αὔγλην. οὐκ ἠστόχει δὲ οὔτε τοξεύων 5 οὔτε ἀκοντίζων. ἐν δὲ τοῖς βουκολίοις ὑπάρχων ὀκτωκαιδεκαέτης τὸν Κιθαιρώνειον ἀνεῖλε λέοντα. οὗτος ὁρμώμενος ἐκ τοῦ Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βόας καὶ τὰς Θεστίου. 10. βασιλεὺς δὲ ἦν οὗτος Θεσπιῶν. πρὸς ὃν ἀφίκετο Ἡρακλῆς ἑλεῖν βουλόμενος τὸν λέοντα. ὁ δὲ αὐτὸν ἐξέ- 10 νισε πεντήκοντα ἡμέρας καὶ ἐπὶ τὴν θήραν ἐξιόντες νυκτὸς ἑκάστης μίαν συνεύναζε θυγατέρα (πεντήκοντα δὲ αὐτῷ ἦσαν ἐκ Μεγαμήδης γεγεννημέναι τῆς Ἀρνέου)· ἐσπούδαζε γὰρ πάσας ἐξ Ἡρακλέους τεκνοποιήσασθαι. Ἡρακλῆς δὲ μίαν νομίζων εἶναι τὴν ἀεὶ συνευναζομένην συνῆλθε πάσαις. καὶ χει- 15 ρωσάμενος τὸν λέοντα τὴν μὲν δορὰν ἠμφιέσατο, τῷ χάσματι δὲ ἐχρήσατο κόρυθι. 11. ἀνακάμπτοντι δὲ αὐτῷ ἀπὸ τῆς θήρας συνήντησαν κήρυκες παρὰ Ἐργίνου πεμφθέντες, ἵνα παρὰ Θηβαίων τὸν δασμὸν λάβωσιν. ἐτέλουν δὲ οἱ Θηβαῖοι τὸν δασμὸν Ἐργίνῳ δι' αἰτίαν τήνδε. Κλύμενον τὸν Μινυῶν 20 βασιλέα λίθῳ βαλὼν Μενοικέως ἡνίοχος ὄνομα Περιήρης ἐν Ὀγχηστῷ, Ποσειδῶνος τεμένει, τιτρώσκει, ὁ δὲ κομισθεὶς εἰς Ὀρχομενὸν ἡμιθνὴς ἐπισκήπτει τελευτῶν Ἐργίνῳ τῷ παιδὶ ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ. στρατευσάμενος δὲ Ἐργῖνος ἐπὶ Θήβας, κτείνας οὐκ ὀλίγους ἐσπείσατο μεθ' ὅρκων, ὅπως 25 πέμπωσιν αὐτῷ Θηβαῖοι δασμὸν ἐπὶ εἴκοσιν ἔτη, κατὰ ἔτος ἑκατὸν βόας. ἐπὶ τοῦτον τὸν δασμὸν εἰς Θήβας τοὺς κήρυκας ἀπιόντας συντυχὼν Ἡρακλῆς ἐλωβήσατο· ἀποταμὼν γὰρ αὐτῶν τὰ ὦτα καὶ τὰς ῥῖνας καὶ διὰ σχοινίων τὰς χεῖρας δήσας ἐκ τῶν τραχήλων ἔφη τοῦτον Ἐργίνῳ καὶ Μινύαις δα- 30

3. φανερὸς Clavier et Sommerus, libri φοβερός. ‖ ὅτι — ἦν susp. Heynio. ‖ 4. δ' P. ‖ 7. κιθαιρώνιον R^c. ‖ 9. θεστιῶν P, cett. θεστίων: Galeus Θεσπιέων. ‖ 12. ἑκάστῃ VM, ἑκάστη D. ‖ 13. ἀρνέου libri: Ἀρναίου edidit Heynius. ‖ 16. ἡμφιέσατο P et R^c corr., vulg. ἡμφιάσατο. ‖ 19. οἱ om. R^c. ‖ θῆβαι V. ‖ 20. τῶν vulg. ‖ 22. ὀρχηστῷ libri Aegii. ‖ 23. ἡμιθνὴς PR^abc MX, vulg. ἡμιθανής. ‖ 27. εἰς θήβας τοὺς κήρυκας PR^c V, legebatur τ. κ. ε. θ. ‖ 29. διὰ σχοινίων susp. Heynio. ‖

σμὸν κομίζειν. ἐφ' οἷς ἀγανακτῶν ἐστράτευσεν ἐπὶ Θήβας. Ἡρακλῆς δὲ λαβὼν ὅπλα παρ' Ἀθηνᾶς καὶ πολεμαρχῶν Ἐργῖνον μὲν ἔκτεινε, τοὺς δὲ Μινύας ἐτρέψατο καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε Θηβαίοις φέρειν. συνέβη δὲ κατὰ μάχην Ἀμφιτρύωνα γενναίως μαχόμενον τελευτῆσαι. λαμβάνει δὲ Ἡρακλῆς παρὰ Κρέοντος ἀριστεῖον τὴν πρεσβυτάτην θυγατέρα Μέγαραν, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρίμαχος, Κρεοντιάδης, Δηικόων. τὴν δὲ νεωτέραν θυγατέρα Κρέων Ἰφίκλῳ δίδωσιν ἤδη παῖδα Ἰόλαον ἔχοντι ἐξ Αὐτομεδούσης τῆς Ἀλκάθου. ἔγημε δὲ καὶ Ἀλκμήνην μετὰ τὸν Ἀμφιτρύωνος θάνατον Διὸς παῖς Ῥαδάμανθυς, κατῴκει δὲ ἐν Ὠκαλείᾳ τῆς Βοιωτίας πεφευγώς. προμαθὼν δὲ παρ' Εὐρύτου τὴν τοξικὴν Ἡρακλῆς ἔλαβε παρὰ Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα, παρὰ Ἡφαίστου [δὲ] θώρακα χρυσοῦν, παρὰ δὲ Ἀθηνᾶς πέπλον· ῥόπαλον μὲν γὰρ αὐτὸς ἔτεμεν ἐκ Νεμέας. 12. μετὰ δὲ τὴν πρὸς Μινύας αὐτῷ μάχην συνέβη κατὰ ζῆλον Ἥρας μανῆναι καὶ τούς τε ἰδίους παῖδας, οὓς ἐκ Μεγάρας εἶχεν, εἰς πῦρ ἐμβαλεῖν, καὶ τῶν Ἰφίκλου δύο. διὸ καταδικάσας ἑαυτοῦ φυγὴν καθαίρεται μὲν ὑπὸ Θεστίου· παραγενόμενος δὲ εἰς Δελφοὺς πυνθάνεται τοῦ θεοῦ, ποῦ κατοικήσει. ἡ δὲ Πυθία τότε πρῶτον Ἡρακλέα αὐτὸν προσηγόρευσε (τὸ δὲ πρῶτον Ἀλκείδης προσηγορεύετο), κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν Τίρυνθι Εὐρυσθεῖ λατρεύοντα ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους ἄθλους δώδεκα ἐπιτελεῖν, καὶ οὕτως ἔφη τῶν ἄθλων συντελεσθέντων ἀθάνατον αὐτὸν ἔσεσθαι.

V. 1. Τοῦτο ἀκούσας ὁ Ἡρακλῆς εἰς Τίρυνθα ἦλθε καὶ τὸ προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει. πρῶτον μὲν οὖν ἐπέταξεν αὐτῷ τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν. τοῦτο δὲ ζῶον ἦν ἄτρωτον ἐκ Τυφῶνος γεγεννημένον. πο-

1. post ἀγανακτῶν excidisse ἐκεῖνος vel Ἐργῖνος visum eidem. ‖ 7. Μέγαραν om. R^c. ‖ 8. δημάδης. δηικόων P. ‖ 11. ὠκαλέαις P aliique, ὠκαλείαις R^c. ‖ 12. παρ' αὐτοῦ libri. ‖ 14. δὲ addidi post Ἡφαίστου. ‖ 15. πέπλον libri: πέλτον Aegius, sic vel παλτὸν Galeus. ‖ 21. πρῶτον delendum aut πρότερον scribendum censuit Heynius. ‖ 22. τὸ δὲ πρῶτον libri: ὁ δὲ γὰρ πρῶτον Commelin. ‖ ἀλκείδης R^c, vulg. Ἀλκίδης. ‖ 25. οὕτως libri, scribebatur οὕτω. ‖ 29. Νεμεαίου Faber. ‖

ρευόμενος οὖν ἐπὶ τὸν λέοντα ἦλθεν εἰς Κλεωνάς, καὶ ξενίζεται παρὰ ἀνδρὶ χερνήτῃ Μολόρχῳ. καὶ θύειν ἱερεῖον θέλοντι εἰς ἡμέραν ἔφη τηρεῖν τριακοστήν, καὶ ἂν μὲν ἀπὸ τῆς θήρας σῶος ἐπανέλθῃ, Διὶ Σωτῆρι θύειν, ἐὰν δὲ ἀποθάνῃ, τότε ὡς ἥρωι ἐναγίζειν. εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος καὶ τὸν λέοντα μαστεύσας ἐτόξευσε πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα, ἀνατεινάμενος τὸ ῥόπαλον ἐδίωκε. συμφυγόντος δὲ εἰς ἀμφίστομον σπήλαιον αὐτοῦ τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ κατέσχεν ἄγχων ἕως ἔπνιξε, καὶ θέμενος ἐπὶ τῶν ὤμων ἐκόμιζεν εἰς Μυκήνας. καταλαβὼν δὲ τὸν Μόλορχον ἐν τῇ τελευταίᾳ τῶν ἡμερῶν ὡς νεκρῷ μέλλοντα τὸ ἱερεῖον ἐναγίζειν, Σωτῆρι θύσας Διὶ ἦγεν εἰς Μυκήνας τὸν λέοντα. Εὐρυσθεὺς δὲ καταλαβὼν αὐτοῦ τὴν ἀνδρίαν ἀπείπατο λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι, δεικνύειν δὲ πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς ἄθλους. φασὶ δὲ ὅτι δείσας καὶ πίθον αὐτῷ χαλκοῦν εἰσκρυβῆναι ὑπὸ γῆς κατεσκεύασε, καὶ πέμπων κήρυκα Κοπρέα Πέλοπος τοῦ Ἠλείου ἐπέταττε τοὺς ἄθλους. οὗτος δὲ Ἴφιτον κτείνας, φυγὼν εἰς Μυκήνας καὶ τυχὼν παρ' Εὐρυσθέως καθαρσίων ἐκεῖ κατῴκει.

2. Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν ὕδραν κτεῖναι. αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. ἐπιβὰς οὖν ἅρματος ἡνιοχοῦντος Ἰολάου παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης, ὅπου ὁ φωλεὸς

1. ἦλθεν εἰς κλεωνάς PRcV, scribebatur εἰς κλ. ἦ. ‖ 2. μολόκρῳ hic et infra libri. ‖ ῷ vel τούτῳ δὲ θύειν Heynius. ‖ 5. τῷ τέως V. ‖ 7. ἐντεινάμενος Heynius. ‖ 8. τὴν μὲν ἑ. idem. ‖ ἀπῳκοδόμησεν Duker. ad Thuc. 3, 81 : libri ἀνῳκοδόμησεν. ‖ 9. ἐπῆλθε τῷ θηρίῳ καὶ aut ἐπεισῆλθε καὶ τῷ θηρίῳ περιθεὶς Heynius. ‖ 10. ἀπέπνιξεν exspectabat idem. ‖ 11. Μυκήνας] Κλεωνὰς Pierson. veris. 2, 7. p. 228 et Koen. ad Greg. p. 244. ‖ 12. νεκρὸν M. ‖ 13. τὸ ἱερεῖον susp. Heynio. ‖ post ἐναγίζειν P habet λέοντα ἀρι θύσας. ‖ 17. εἰσκρῦναι DX : εἰς τὸ κρυβῆναι Emperius. ‖ 19. ἡλίου libri : Αἰλίου τοῦ Πέλοπος Palmer. ‖ 29. λόφῳ libri : τόπῳ Aegius, qui et coni. χώρῳ. ‖ ταῖς πηγαῖς Heynius. ‖

αὐτῆς ὑπῆρχε, βάλλων βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. ἡ δὲ θατέρῳ τῶν ποδῶν ἠνείχετο περιπλακεῖσα, τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων οὐδὲν ἀνύειν ἐδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς δύο ἀνεφύοντο. ἐπεβοήθει δὲ καρκῖνος τῇ ὕδρᾳ ὑπερμεγέθης δάκνων τὸν πόδα. διὸ τοῦτον ἀποκτείνας ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν Ἰόλαον, ὃς μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης, τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν ἀναφυομένων κεφαλῶν ἐκώλυεν ἀνιέναι. κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν περιγενόμενος τὴν ἀθάνατον ἀποκόψας κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ Λέρνης εἰς Ἐλεοῦντα· τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς ὀϊστοὺς ἔβαψεν. Εὐρυσθεὺς δὲ ἔφη μὴ δεῖν καταριθμῆσαι ἐν τοῖς δώδεκα τὸν ἆθλον· οὐ γὰρ μόνος, ἀλλὰ καὶ μετὰ Ἰολάου τῆς ὕδρας περιεγένετο.

3. Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ τὴν Κερυνῖτιν ἔλαφον εἰς Μυκήνας ἔμπνουν ἐνεγκεῖν. ἦν δὲ ἡ ἔλαφος ἐν Οἰνόῃ, χρυσόκερως, Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλόμενος αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι συνεδίωξεν ὅλον ἐνιαυτόν. ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ διώξει συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον, κἀκεῖθεν ἐπὶ ποταμὸν Λάδωνα, καὶ τοῦτον διαβαίνειν μέλλουσαν τοξεύσας συνέλαβε καὶ θέμενος ἐπὶ τῶν ὤμων διὰ τῆς Ἀρκαδίας ἠπείγετο. μετὰ Ἀπόλλωνος δὲ Ἄρτεμις συντυχοῦσα ἀφῃρεῖτο καὶ τὸ ἱερὸν ζῶον αὐτῆς κτείναντα κατεμέμφετο. ὁ δὲ ὑποτιμησάμενος τὴν ἀνάγκην καὶ τὸν αἴτιον εἰπὼν Εὐρυσθέα γεγονέναι, πραΰνας τὴν ὀργὴν τῆς θεοῦ τὸ θηρίον ἐκόμισεν· ἔμπνουν εἰς Μυκήνας.

4. Τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον κάπρον ζῶντα κομίζειν. τοῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν Ψωφῖδα, ὁρμώμενον ἐξ ὄρους ὃ καλοῦσιν Ἐρύμανθον. διερχόμενος οὖν

1. βάλλων DR^c, legebatur βαλὼν. ‖ πεπηρωμένοις libri. ‖ 2. θᾶττον libri. ‖ 3. ἠνείχετο PR^cV, vulg. ἐνείχετο. ‖ 6. διὸ] δὶς DR^cM. ‖ 8. τῆς ἐκ γῆς ὕλης V. ‖ ἀναφυομένων susp. Heynio. ‖ 10. περιγενόμενος PR^c, vulg. περιγινόμενος. ‖ 11. ἀποκρύψας P. ‖ 17. κερνήτην libri: Κεράστην Aegius. ‖ 23. τοξεύσας susp. Heynio, ex Anon. Allatii c. 3 conicias φθάσας. ‖ 26. προτιμάμενος Faber, προφασισάμενος vel ὑποτιμάμενος Galeus. ‖

Φολόην ἐπιξενοῦται Κενταύρῳ Φόλῳ, Σιληνοῦ καὶ νύμφης Μελίας παιδί. οὗτος Ἡρακλεῖ μὲν ὀπτὰ παρεῖχε τὰ κρέα, αὐτὸς δὲ ὠμοῖς ἐχρῆτο· αἰτοῦντος δὲ οἶνον Ἡρακλέους ἔφη δεδοικέναι τὸν κοινὸν τῶν Κενταύρων ἀνοῖξαι πίθον· θαρρεῖν δὲ παρακελευσάμενος Ἡρακλῆς αὐτὸν ἤνοιξε, καὶ μετ' οὐ πολὺ διὰ τῆς ὀσμῆς αἰσθόμενοι παρῆσαν οἱ Κένταυροι πέτραις ὡπλισμένοι καὶ ἐλάταις ἐπὶ τὸ τοῦ Φόλου σπήλαιον. τοὺς μὲν οὖν πρώτους τολμήσαντας εἴσω παρελθεῖν Ἄγχιον καὶ Ἄγριον Ἡρακλῆς ἐτρέψατο βάλλων δαλοῖς, τοὺς δὲ λοιποὺς ἐτόξευσε διώκων ἄχρι τῆς Μαλέας. ἐκεῖθεν δὲ πρὸς Χείρωνα συνέφυγον, ὃς ἐξελαθεὶς ὑπὸ Λαπιθῶν ὄρους Πηλίου παρὰ Μαλέαν κατῴκησε. τούτῳ περιπεπτωκότας τοὺς Κενταύρους τοξεύων ἵησι βέλος, τὸ δὲ ἐνεχθὲν Ἐλάτου διὰ τοῦ βραχίονος τῷ γόνατι Χείρωνος ἐμπήγνυται. ἀνιαθεὶς δὲ Ἡρακλῆς, προσδραμὼν τό τε βέλος ἐξείλκυσε καὶ δόντος Χείρωνος φάρμακον ἐπέθηκεν. ἀνίατον [δὲ] ἔχων τὸ ἕλκος εἰς τὸ σπήλαιον ἀλλάσσεται, κἀκεῖ τελευτῆσαι βουλόμενος καὶ μὴ δυνάμενος, ἐπείπερ ἀθάνατος ἦν, ἀντιδόντος Διὶ Προμηθέως τὸν ἀντ' αὐτοῦ γενησόμενον ἀθάνατον, οὕτως ἀπέθανε. οἱ λοιποὶ δὲ τῶν Κενταύρων φεύγουσιν ἄλλος ἀλλαχῇ· καί τινες μὲν παρεγένοντο εἰς ὄρος Μαλέαν, Εὐρυτίων δὲ εἰς Φολόην, Νέσσος δὲ ἐπὶ ποταμὸν Εὔηνον, τοὺς δὲ λοιποὺς ὑποδεξάμενος Ποσειδῶν εἰς Ἐλευσῖνα ὄρει κατεκάλυψεν. ἐπανελθὼν δὲ εἰς Φολόην Ἡρακλῆς, καὶ Φόλον τελευτῶντα

5. αὐτὸς Clavier. ‖ 6. διὰ susp. Heynio. ‖ 9. βάλλων DR^{c}, legebatur βαλὼν. ‖ 10. μελέας libri. ‖ ἐκεῖ Heynius. ‖ 12. παρὰ μαλέαν X, περὶ μαλέαν PV, vulg. παρὰ Μελέαν. ‖ 13. ἐνεχθὲν D, cett. ἐνεγχθέν. ‖ αἰλάτου PR^{e}. ‖ 14. γόνατον libri, vulg. τὸ γόνας τοῦ: Faber τῷ γόνατι vel εἰς τὸ γόνας, alii aliter. ‖ 16. δὲ addiderunt Scaliger et Galeus, ὁ δ' ἀνίατον ἔχων cum Fabro Sommerus. ‖ ἕλκος] βέλος MV. ‖ 17. ἀπαλλάσσεται Scaliger. ‖ 18. ἀντιδόντος libri, vulg. ἀντιδόντος δὲ: Heynius coll. 2.5, 11 ἀντιδόντος δὲ Διὶ Προμηθέα Ἡρακλέους τὸν, Hemsterh. ad Luc. dial. mort. 26 ἀντιδοὺς τῷ Διὶ Προμηθέα τὸν, et sic Clavier, probatque Sommerus. ‖ 21. Μαλέαν Aegius incertum an ex libris: μεθέην PR^{e}M, μισθέην R^{ab}V, μιθέην alii: Μαλιέων vel Μαλιῶν Heynius. ‖ 22. Φολόην] Ὄμολον sive Ὁμόλην Mitscherl. ep. cr. p. 14, Ὤλενον Galeus. ‖ 23. ἐλευσῖνα ὄρει PDO, ἐλ. ὄρη V, ἐλ. ὄρος vulg.: τὰ Λευκώσια ὄρη Mitscherl. p. 15, Λευκωσίαν ὄρει vel ἐν ὄρει Heynius. ‖ 24. Φόλος τελευτῶντας θεασάμενος Palmerius, Φόλον τελευτῶντα ἐθεάσατο μετὰ καὶ ἄλλων πολλῶν· ἑλκύσας γὰρ Sevinus, θεασάμενος μ. κ. ἀ.

θεασάμενος μετὰ καὶ ἄλλων πολλῶν, ἑλκύσας τε ἐκ νεκροῦ τὸ βέλος ἐθαύμαζεν, εἰ τοὺς τηλικούτους τὸ μικρὸν διέφθειρε· τὸ δὲ τῆς χειρὸς ὀλισθῆσαν ἦλθεν ἐπὶ τὸν πόδα καὶ παραχρῆμα ἀπέκτεινεν αὐτόν. θάψας δὲ Φόλον Ἡρακλῆς
5 ἐπὶ τὴν τοῦ κάπρου θήραν παραγίνεται, καὶ διώξας αὐτὸν ἔκ τινος λόχμης μετὰ κραυγῆς εἰς χιόνα πολλήν, παρειμένον ἐμβροχίσας ἐκόμισεν εἰς Μυκήνας.

5. Πέμπτον μὲν ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγέου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν ὄνθον. ἦν δὲ
10 ὁ Αὐγέας βασιλεὺς Ἤλιδος, ὡς μέν τινες εἶπον παῖς Ἡλίου, ὡς δέ τινες Ποσειδῶνος, ὡς δὲ ἔνιοι Φόρβαντος, πολλὰς δὲ εἶχε βοσκημάτων ποίμνας. τούτῳ προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπιταγὴν ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει τὴν δεκάτην αὐτῷ τῶν βοσκη-
15 μάτων. Αὐγέας δὲ ἀπιστῶν ὑπισχνεῖται. μαρτυρούμενος δὲ Ἡρακλῆς τὸν Αὐγέου παῖδα Φυλέα τῆς τε αὐλῆς τὸ θεμέλιον διεῖλε καὶ τὸν Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνειὸν σύνεγγυς ῥέοντας παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξόδου ποιήσας. μαθὼν δὲ Αὐγέας ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως
20 τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου, προσέτι δὲ ἠρνεῖτο καὶ μισθὸν ὑποσχέσθαι δώσειν, καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι. καθεζομένων δὲ τῶν δικαστῶν κληθεὶς ὁ Φυλεὺς ὑπὸ Ἡρακλέους τοῦ πατρὸς κατεμαρτύρησεν, εἰπὼν ὁμολογῆσαι μισθὸν δώσειν αὐτῷ. ὀργισθεὶς δὲ
25 Αὐγέας πρὶν τὴν ψῆφον ἐνεχθῆναι τόν τε Φυλέα καὶ τὸν Ἡρακλέα βαδίζειν ἐξ Ἤλιδος ἐκέλευσε. Φυλεὺς μὲν οὖν εἰς Δουλίχιον ἦλθε κἀκεῖ κατῴκει, Ἡρακλῆς δὲ εἰς Ὤλενον πρὸς

πολλῶν (ἑλκύσας γὰρ — αὐτὸν), θάψας τὸν Φ. Ἡ. Heynius, καὶ Φόλον τελευτῶντα ἐθεάσατο· θάπτων γὰρ οὗτός τινα μετὰ καὶ ἄλλων πολλῶν, ἑλκύσας τε Sommerus. ‖ 1. τε om. PR^c. ‖ 3. τὸ]τι PR^c. ‖ ὀλίσθησαν D, ὀλισθήσαν PV, ὀλισθῆσαν R^c, vulg. ὀλισθεῖσαν. ‖ ἦλθον ἐπὶ τὸν παῖδα PDR^abcV. ‖ 4. αὐτὸν om. R^c. ‖ 6. λόγχης D, cett. λόγχμης. ‖ 7. post ἐμβροχίσας quod vulg. erat τε delevit Heynius. ‖ ἐκόμισεν ἔμπνουν εἰς Galeus. ‖ 8. αὐγέου DM, vulg. Αὐγείου et sic infra. ‖ 9. δὲ ὁ αὐγ. PR^cV, scribebatur δὲ Αὐγ. ‖ 10. Ἠλείου Galeus. ‖ 16. τὸ]τὸν MO. ‖ 17. Πηλειὸν vulg. praeter ed. pr. ‖ 18. ῥέοντας PDR^cX, vulg. ῥέοντα. ‖ ἔκρουν R^cV, ἔκκρουν P, vulg. ἐκρεῖν. ‖ 20. ἐπιτετέλεσται PR^cVX, vulg. ἐπεκτετελέσθαι. ‖ 25. ἐνεχθῆναι V, cett. ἐνεγχθῆναι. ‖ 27. δολίχιον libri. ‖

δεξαμενὸν ἧκε κἀκεῖ κατῴκει, καὶ κατέλαβε τοῦτον μέλλοντα δι' ἀνάγκην μνηστεύειν Εὐρυτίωνι Κενταύρῳ Μνησιμάχην τὴν θυγατέρα· ὑφ' οὗ παρακληθεὶς βοηθεῖν ἐλθόντα ἐπὶ τὴν νύμφην Εὐρυτίωνα ἀπέκτεινεν. Εὐρυσθεὺς δὲ οὐδὲ τοῦτον ἐν τοῖς δώδεκα προσεδέξατο ἆθλον, λέγων ἐπὶ μισθῷ πεπραχέναι.

6. Ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι. ἦν δὲ ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας Στυμφαλὶς λεγομένη λίμνη πολλῇ συνηρεφὴς ὕλῃ. εἰς ταύτην ὄρνεις συνέφυγον ἄπλετοι τὴν ἀπὸ τῶν λύκων ἁρπαγὴν δεδοικυῖαι. ἀμηχανοῦντος οὖν Ἡρακλέους πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα. ταῦτα κρούων ὑπό τινος ὄρους τῇ λίμνῃ περικειμένου τὰς ὄρνιθας ἐφόβει, αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

7. Ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. τοῦτον Ἀκουσίλαος μὲν εἶναί φησι τὸν διαπορθμεύσαντα Εὐρώπην Διί, τινὲς δὲ τὸν ὑπὸ Ποσειδῶνος ἀναδοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. καί φασι θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν εἰς τὰ βουκόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι, ἐφ' οἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον. ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ λαβεῖν ἀξιοῦντι Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγωνισαμένῳ, καὶ λαβὼν πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε καὶ τὸ λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν καὶ διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους διελυμαίνετο.

8. Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν. ἦν δὲ οὗτος Ἄρεος καὶ

1. προσδεξάμενον libri. ‖ 10. ἄπλετοι] πλωΐδες [immo πλωάδες] ex Apollon. 2, 1054 Aegius. ‖ 13. ὑπὸ libri, legebatur ἐπὶ. ‖ 14. περικειμένου libri, legebatur παρακειμένου. ‖ 15. ἀφίπτατο Galeus. ‖ 18. cf. Sturz. Acus. fr. p. 220. ‖ φησι M, vulg. φασι. ‖ 20. ὅτε DVM, vulg. ὅτι. ‖ 21. φασὶ δὲ Heynius. ‖ 25. ἀξιοῦντι libri, legebatur ex Fabri corr. ἠξίου. ‖ 26. prius καὶ non opus est ut deleatur cum Heynio. ‖ 27. Σπάρτην — ἅπασαν susp. Heynio. ‖

Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳκίου καὶ μαχιμωτάτου· εἶχε δὲ ἀνθρωποφάγους ἵππους. πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν. τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ φυλάσσειν (οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦντος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι), πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος καὶ Διομήδην ἀποκτείνας τοὺς λοιποὺς ἠνάγκαζε φεύγειν, καὶ κτίσας πόλιν Ἄβδηρον παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου τὰς ἵππους κομίσας Εὐρυσθεῖ ἔδωκε· μεθέντος δὲ αὐτὰς Εὐρυσθέως εἰς τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

9. Ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν τὸν Ἱπολύτης. αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγιστον τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν. καὶ εἴποτε μιγεῖσαι γεννήσειαν, τὰ θήλεα ἔτρεφον, καὶ τοὺς μὲν δεξιοὺς μαστοὺς ἐξέθλιβον, ἵνα μὴ κωλύωνται ἀκοντίζειν, τοὺς δὲ ἀριστεροὺς εἴων ἵνα τρέφοιεν. εἶχε δὲ Ἱπολύτη τὸν Ἄρεος ζωστῆρα σύμβολον τοῦ πρωτεύειν ἁπασῶν. ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης. παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν μιᾷ νηὶ ἔπλει, καὶ προσίσχει νήσῳ Πάρῳ, ἣν κατῴκουν οἱ Μίνωος υἱοὶ Εὐρυμέδων, Χρύσης, Νηφαλίων, Φιλόλαος. ἀπὸ πάντων τῶν ἐν νηὶ δύο συνέβη τελευτῆσαι ὑπὸ τῶν Μίνωος υἱῶν. ὑπὲρ ὧν ἀγανακτῶν Ἡρακλῆς τούτους μὲν παραχρῆμα ἀπέκτεινε, τοὺς δὲ λοιποὺς κατακλείσας ἐπολιόρκει, ἕως ἐπιπρεσβευσάμενοι παρεκάλουν ἀντὶ τῶν ἀναιρεθέντων δύο λαβεῖν, οὓς ἂν αὐτὸς θελήσειεν. ὁ δὲ λύσας τὴν πολιορκίαν καὶ τοὺς Μίνωος υἱοὺς ἀνελόμενος Ἀλκαῖον καὶ Σθένελον ἦκεν εἰς Μυσίαν πρὸς Λύκον τὸν Δασκύλου, καὶ ξενισθεὶς ὑπὸ

4. ὑπάρχοντας susp. Heynio. ‖ 6. ἠρίμου S. cf. Steph. Byz. s. v. Ἄβδηρα. ‖ 10. ἄνδηρον VM, cett. αὔδηρον. ‖ 11. τὰς P, cett. τοὺς. ‖ 19. εἴων om. V. ‖ 24. ἣν] καὶ vulg., ἐν ᾗ Faber. ‖ 25. χρύσης O, cett. καὶ χρύσης. ‖ ὑπὸ τούτων τῶν deletis ὑπὸ τῶν Μίνωος υἱῶν, aut ἀπαντώντων δὲ αὐτῶν τῶν vel ἀποβάντων vel ἐκβάντων Heynius: malim ἀποβάντων δὲ. ‖ 32. δασκύλου libri Aegii. ‖ ὑπὸ Ἀμύκου

*** τοῦ Βεβρύκων βασιλέως συμβαλόντων, βοηθῶν Λύκῳ πολλοὺς ἀπέκτεινε, μεθ' ὧν καὶ τὸν βασιλέα Μύγδονα ἀδελφὸν Ἀμύκου. καὶ τὴν Βεβρύκων πόλιν ἀποτεμόμενος γῆν ἔδωκε Λύκῳ, ὁ δὲ πᾶσαν ἐκείνην ἐκάλεσεν Ἡράκλειαν. καταπλεύσαντος δὲ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, παραγενομένης 5 ὡς αὐτὸν Ἱπολύτης καὶ τίνος ἥκοι χάριν πυθομένης καὶ δώσειν τὸν ζωστῆρα ὑπισχνουμένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος ἐπεφοίτα, λέγουσα „τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσελθόντες ξένοι". αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν ἵπποις. ὡς δὲ εἶδεν αὐτὰς καθωπλισμέ- 10 νας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱπολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ καὶ προσίσχει Τροίᾳ. συνεβεβήκει δὲ τότε κατὰ μῆνιν Ἀπόλλωνος καὶ Ποσειδῶνος ἀτυχεῖν τὴν πόλιν. Ἀπόλλων γὰρ καὶ Ποσειδῶν τὴν Λαομέδοντος 15 ὕβριν πειράσαι θέλοντες, εἰκασθέντες ἀνθρώποις ὑπέσχοντο ἐπὶ μισθῷ τειχιεῖν τὸ Πέργαμον, τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπεδίδου. διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσειδῶν δὲ κῆτος ἀναφερόμενον ὑπὸ πλημμυρίδος, ὃ τοὺς ἐν τῷ πεδίῳ συνήρπαζεν ἀνθρώπους. χρησμῶν δὲ λεγόντων 20 ἀπαλλαγὴν ἔσεσθαι τῶν συμφορῶν, ἐὰν προθῇ Λαομέδων Ἡσιόνην τὴν θυγατέρα αὐτοῦ βορὰν κήτει, ὁ δὲ προὔθηκε ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας. ταύτην ἰδὼν ἐκκειμένην Ἡρακλῆς ὑπέσχετο σώσειν αὐτήν, εἰ τὰς ἵππους παρὰ Λαομέδοντος λήψεται, ἃς ὁ Ζεὺς ποινὴν τῆς Γα- 25 νυμήδους ἁρπαγῆς ἔδωκε. δώσειν δὲ Λαομέδοντος εἰπόντος κτείνας τὸ κῆτος Ἡσιόνην ἔσωσε. μὴ βουλομένου δὲ τὸν μισθὸν ἀποδοῦναι πολεμήσειν Τροίαν ἀπειλήσας ἀνήχθη, καὶ

τοῦ vulg., ὑπ' αὐτοῦ τοῦ Β. βασιλέως συμβαλόντος aut τῶν Β. μετὰ τοῦ β. συμβαλόντων Sevinus, ὑπ' αὐτοῦ τοῦ Β. β. εἰσβαλόντος εἰς τὴν γῆν Heynius, ὑπ' αὐτοῦ, τούτου τε καὶ τοῦ Βεβρ. Sommerus. ‖ 1. λύκων D. ‖ 2. μυγάονα libri. ‖ 3. πολλὴν Heynius. ‖ 4. κατάπλεύσας DR^cVM. ‖ 5. τὸν ἐν μισκύρα libri Aegii et DR^c, τὸν ἐν μισώρᾳ VM, τὴν εὐμισκύρα P, vulg. τὸν Θεμισκύραν. ‖ παραγενομένης R^cVO, vulg. καὶ παραγενομένης. ‖ 6. ὡς DR^cO, vulg. εἰς. ‖ καὶ—ὑπισχνουμένης ex tribus libris addidit Aegius. ‖ 11. δήλου libri. ‖ 16. πειρᾶσθαι V. ‖ ὑπίσχοντο PVMX, vulg. ὑπίσχετο. ‖ 21. προσθῇ vulg. ‖ 22. ὅ γε Heynius. ‖ 25. ὁ om. R^c. ‖

Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳκίου καὶ μαχιμωτάτου· εἶχε δὲ ἀνθρωποφάγους ἵππους. πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν. τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ φυλάσσειν (οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦντος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι), πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος καὶ Διομήδην ἀποκτείνας τοὺς λοιποὺς ἠνάγκαζε φεύγειν, καὶ κτίσας πόλιν Ἄβδηρον παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου τὰς ἵππους κομίσας Εὐρυσθεῖ ἔδωκε· μεθέντος δὲ αὐτὰς Εὐρυσθέως εἰς τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

9. Ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν τὸν Ἱπολύτης. αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν. καὶ εἴποτε μιγεῖσαι γεννήσειαν, τὰ θήλεα ἔτρεφον, καὶ τοὺς μὲν δεξιοὺς μαστοὺς ἐξέθλιβον, ἵνα μὴ κωλύωνται ἀκοντίζειν, τοὺς δὲ ἀριστεροὺς εἴων ἵνα τρέφοιεν. εἶχε δὲ Ἱπολύτη τὸν Ἄρεος ζωστῆρα σύμβολον τοῦ πρωτεύειν ἁπασῶν. ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης. παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν μιᾷ νηὶ ἔπλει, καὶ προσίσχει νήσῳ Πάρῳ, ἣν κατῴκουν οἱ Μίνωος υἱοὶ Εὐρυμέδων, Χρύσης, Νηφαλίων, Φιλόλαος. ἀπὸ πάντων τῶν ἐν νηὶ δύο συνέβη τελευτῆσαι ὑπὸ τῶν Μίνωος υἱῶν. ὑπὲρ ὧν ἀγανακτῶν Ἡρακλῆς τούτους μὲν παραχρῆμα ἀπέκτεινε, τοὺς δὲ λοιποὺς κατακλείσας ἐπολιόρκει, ἕως ἐπιπρεσβευσάμενοι παρεκάλουν ἀντὶ τῶν ἀναιρεθέντων δύο λαβεῖν, οὓς ἂν αὐτὸς θελήσειεν. ὁ δὲ λύσας τὴν πολιορκίαν καὶ τοὺς Μίνωος υἱοὺς ἀνελόμενος Ἀλκαῖον καὶ Σθένελον ἦκεν εἰς Μυσίαν πρὸς Λύκον τὸν Δασκύλου, καὶ ξενισθεὶς ὑπὸ

4. ὑπάρχοντας susp. Heynio. ‖ 6. ἠρίμου S. cf. Steph. Byz. s. v. Ἄβδηρα. ‖ 10. ἄνδηρον VM, cett. αὔδηρον. ‖ 11. τὰς P, cett. τοὺς. ‖ 19. εἴων om. V. ‖ 24. ἣν] καὶ vulg., ἐν ᾗ Faber. ‖ 25. χρύσης O, cett. καὶ χρύσης. ‖ ὑπὸ τούτων τῶν deletis ὑπὸ τῶν Μίνωος υἱῶν, aut ἀπαντώντων δὲ αὐτῶν τῶν vel ἀποβάντων vel ἐκβάντων Heynius: malim ἀποβάντων δέ. ‖ 32. δασκύλου libri Aegii. ‖ ὑπὸ Ἀμύκου

*** τοῦ Βεβρύκων βασιλέως συμβαλόντων, βοηθῶν Λύκῳ πολλοὺς ἀπέκτεινε, μεθ' ὧν καὶ τὸν βασιλέα Μύγδονα ἀδελφὸν Ἀμύκου. καὶ τὴν Βεβρύκων πόλιν ἀποτεμόμενος γῆν ἔδωκε Λύκῳ, ὁ δὲ πᾶσαν ἐκείνην ἐκάλεσεν Ἡράκλειαν. καταπλεύσαντος δὲ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, παραγενομένης 5 ὡς αὐτὸν Ἱπολύτης καὶ τίνος ἥκοι χάριν πυθομένης καὶ δώσειν τὸν ζωστῆρα ὑπισχνουμένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος ἐπεφοίτα, λέγουσα „τὴν βασιλίδα ἁρπάζουσιν οἱ προσελθόντες ξένοι". αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον σὺν ἵπποις. ὡς δὲ εἶδεν αὐτὰς καθωπλισμέ- 10 νας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱπολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ καὶ προσίσχει Τροίᾳ. συνεβεβήκει δὲ τότε κατὰ μῆνιν Ἀπόλλωνος καὶ Ποσειδῶνος ἀτυχεῖν τὴν πόλιν. Ἀπόλλων γὰρ καὶ Ποσειδῶν τὴν Λαομέδοντος 15 ὕβριν πειράσαι θέλοντες, εἰκασθέντες ἀνθρώποις ὑπέσχοντο ἐπὶ μισθῷ τειχιεῖν τὸ Πέργαμον, τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπεδίδου. διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσειδῶν δὲ κῆτος ἀναφερόμενον ὑπὸ πλημμυρίδος, ὃ τοὺς ἐν τῷ πεδίῳ συνήρπαζεν ἀνθρώπους. χρησμῶν δὲ λεγόντων 20 ἀπαλλαγὴν ἔσεσθαι τῶν συμφορῶν, ἐὰν προθῇ Λαομέδων Ἡσιόνην τὴν θυγατέρα αὐτοῦ βορὰν κήτει, ὁ δὲ προὔθηκε ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας. ταύτην ἰδὼν ἐκκειμένην Ἡρακλῆς ὑπέσχετο σώσειν αὐτήν, εἰ τὰς ἵππους παρὰ Λαομέδοντος λήψεται, ἃς ὁ Ζεὺς ποινὴν τῆς Γα- 25 νυμήδους ἁρπαγῆς ἔδωκε. δώσειν δὲ Λαομέδοντος εἰπόντος κτείνας τὸ κῆτος Ἡσιόνην ἔσωσε. μὴ βουλομένου δὲ τὸν μισθὸν ἀποδοῦναι πολεμήσειν Τροίαν ἀπειλήσας ἀνήχθη, καὶ

τοῦ vulg., ὑπ' αὐτοῦ τοῦ B. βασιλέως συμβαλόντος aut τῶν B. μετὰ τοῦ β. συμβαλόντων Sevinus, ὑπ' αὐτοῦ τοῦ B. β. εἰσβαλόντος εἰς τὴν γῆν Heynius, ὑπ' αὐτοῦ, τούτου τε καὶ τοῦ Βεβρ. Sommerus. ‖ 1. λύκων D. ‖ 2. μυγάονα libri. ‖ 3. πολλὴν Heynius. ‖ 4. καταπλεύσας DR^cVM. ‖ 5. τὸν ἐν μισκύρα libri Aegii et DR^c, τὸν ἐν μισώρᾳ VM, τὴν εὐμισκύρα P, vulg. τὸν Θεμισκύραν. ‖ παραγενομένης R^cVO, vulg. καὶ παραγενομένης. ‖ 6. ὡς DR^cO, vulg. εἰς. ‖ καὶ—ὑπισχνουμένης ex tribus libris addidit Aegius. ‖ 11. δήλου libri. ‖ 16. πειρᾶσθαι V. ‖ ὑπέσχοντο PVMX, vulg. ὑπίσχετο. ‖ 21. προσθῇ vulg. ‖ 22. ὅ γε Heynius. ‖ 25. ὁ om. R^c. ‖

προσίσχει Αἴνῳ. ἔνθα ξενίζεται ὑπὸ Πόλτυος. ἀποπλέων δὲ ἐπὶ ἠιόνος τῆς Αἰνίας Σαρπηδόνα, Ποσειδῶνος μὲν υἱόν, ἀδελφὸν δὲ Πόλτυος, ὑβριστὴν ὄντα τοξεύσας ἀπέκτεινε. καὶ παραγενόμενος εἰς Θάσον καὶ χειρωσάμενος τοὺς ἐνοικοῦν-
5 τας Θρᾷκας ἔδωκε τοῖς Ἀνδρόγεω παισὶ κατοικεῖν. ἐκ Θάσου δὲ ὁρμηθεὶς ἐπὶ Τορώνην Πολύγονον καὶ Τηλέγονον, τοὺς Πρωτέως τοῦ Ποσειδῶνος υἱούς, παλαίειν προκαλουμένους κατὰ τὴν πάλην ἀπέκτεινε. κομίσας δὲ τὸν ζωστῆρα εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

10 10. Δέκατον δὲ ἐτάγη ἆθλον τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. ταύτην κατῴκει Γηρυόνης, Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχι-
15 σμένον δὲ εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. εἶχε δὲ φοινικᾶς βόας, ὧν ἦν βουκόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος. πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βόας, διὰ τῆς Εὐρώπης ἄγρια πολλὰ παρελθὼν Λιβύην ἐπέβαινε, καὶ παρελθὼν Ταρτησ-
20 σὸν ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχων δύο στήλας. θερμαινόμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν τὸ τόξον ἐπὶ τὸν θεὸν ἐνέτεινεν, ὁ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν ὠκεανὸν διεπέρασε. καὶ παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει
25 Ἄβαντι αὐλίζεται. αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα, ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινε. Μενοίτης δὲ ἐκεῖ τὰς Ἅιδου βόας βόσκων Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν, ὁ δὲ καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς βόας ἀπά-
30 γοντα, συστησάμενος μάχην καὶ τοξευθεὶς ἀπέθανεν. Ἡρα-

1. προσίσχεν Heynius. ‖ 2. αἰνείας DR^cX. ‖ 6. ὁρμηθεὶς DVM, ὁρμησθεὶς ed. pr., vulg. ὁρμισθεὶς. ‖ 10. ἐπετάγη Heynius. ‖ ἐρυθίας D. ‖ 15. δὲ Heynius, vulg. τε. ‖ φοινικὰς vulg. ‖ 19. παρελὼν Clavier. ‖ ταρτησὸν PR^cV: παρελθ. Ταρτ. susp. Heynio. ‖ 20. ὅρων vulg. ‖ 21. ἀντιστοίχω P, cett. ἀντιστοίχων: Heynius edidit ex Fabri corr. ἀντιστοίχους. ‖ 22. ἔτεινε V. ‖ 25. Ἄρβαντι Aegius. ‖ 27. μενοίτης PDR^cVO hic et infra §. 12, legebatur Μενοίτιος. ‖

κλῆς [δὲ] ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας καὶ διαπλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν ἀπέδωκε τὸ δέπας. διελθὼν δὲ Ἀβδηρίαν εἰς Λιγύην ἦλθεν, ἐν ᾗ τὰς βόας ἀφῃροῦντο Ἀλεβίων τε καὶ Δέρκυνος οἱ Ποσειδῶνος υἱοί, οὓς κτείνας διὰ Τυρρηνίας ᾔει. ἀπὸ Ῥηγίου δὲ εἷς ἀπορρήγνυσι ταῦρος, καὶ 5 ταχέως εἰς τὴν θάλασσαν ἐμπεσὼν καὶ διανηξάμενος εἰς Σικελίαν καὶ τὴν πλησίον χώραν διελθὼν τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἰταλίαν (Τυρρηνοὶ γὰρ ἰταλὸν τὸν ταῦρον ἐκάλεσαν) ἦλθεν εἰς πεδίον Ἔρυκος, ὃς ἐβασίλευεν Ἐλύμων. Ἔρυξ δὲ ἦν Ποσειδῶνος παῖς, ὃς τὸν ταῦρον ταῖς ἰδίαις συγκατέμιξεν 10 ἀγέλαις. παραθέμενος οὖν τὰς βόας Ἡρακλῆς Ἡφαίστῳ ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἠπείγετο, εὑρὼν δὲ ἐν ταῖς τοῦ Ἔρυκος ἀγέλαις ἀπαιτεῖ, καὶ λέγοντος οὐ δώσειν εἰ μὴ παλαίσας αὐτοῦ περιγένηται, τρὶς περιγενόμενος κατὰ τὴν πάλην ἀπέκτεινε, καὶ τὸν ταῦρον λαβὼν μετὰ τῶν ἄλλων ἐπὶ τὸν Ἰό- 15 νιον ἤλαυνε πόντον. ὡς δὲ ἦλθεν ἐπὶ τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον ἐνέβαλεν ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς Θρᾴκης ὑπωρείας· ὁ δὲ διώξας τὰς μὲν συλλαβὼν ἐπὶ τὸν Ἑλλήσποντον ἤγαγεν, αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν ἦσαν ἄγριαι. μόλις δὲ τῶν βοῶν συνελθουσῶν Στρυ- 20 μόνα μεμψάμενος τὸν ποταμόν, πάλαι τὸ ῥεῖθρον πλωτὸν ὂν ἐμπλήσας πέτραις ἄπλωτον ἐποίησε, καὶ τὰς βόας Εὐρυσθεῖ κομίσας ἔδωκε. ὁ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.

11. Τελεσθέντων δὲ τῶν ἄθλων ἑνὶ μηνὶ καὶ ἔτεσιν ὀκτώ, μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ Αὐγέου 25 βοσκημάτων καὶ τὸν τῆς ὕδρας, ἑνδέκατον ἐπέταξεν ἆθλον παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν. ταῦτα δὲ ἦν οὐχ, ὥς

1. δὲ vel οὖν excidisse vidit Heynius. ‖ 3. αὐδηρίαν libri: Ἰβηρίαν Galeus, Ἀβίλαν s. Ἀβύλαν Palmerius. ‖ Λιγύην Cluver. Ital. p. 317 et Voss. ad Mel. p. 750, Λιγυστίνην v. Λιγυστικήν Mezirlac et Galeus, Λίγυας Heynius: libri λιβύην. ‖ 5. εἴη vulg. ‖ 6. διανηξάμενος libri: διαπλευσάμενον Aegius, διαπλευσάμενος Commelin. ‖ εἰς om. libri. ‖ 7. καὶ — ἐκάλεσαν elici voluit Heynius adiectis ἐφίκετο καὶ post Σικελίαν, Clavier deleto καὶ v. 5. ταχέως — Σικελίαν transposuit post ἐκάλεσαν. ‖ 9. ἐλύμων libri: Ἐρυκίνων Aegius. ‖ 11. παραθέμενος — λέγοντος om. V. ‖ 13. ἀπαιτεῖ καὶ om. PDR^cM. ‖ 17. ἀνέβαλεν ἥρα V. ‖ 19. ἤγαγεν PDR^cO, legebatur ἦγεν. ‖ 21. ἐμεψάμενος Canter. nov. lect. 4, 13. ‖ ὂν vulg. ‖ 23. δίδωκε libri et sic legebatur. ‖ 24. ἐν μηνὶ PDR^cV, μησὶ mg. V. ‖ 27. ἑσπερίων DR^c. ‖ κομίσων PR^cO, κομίζων DV. ‖

τινες εἶπον, ἐν Λιβύῃ, ἀλλ' ἐπὶ τοῦ Ἄτλαντος ἐν Ὑπερβορέοις· ἃ Διὶ γήμαντι Ἥρα ἐδωρήσατο. ἐφύλασσε δὲ αὐτὰ δράκων ἀθάνατος, Τυφῶνος καὶ Ἐχίδνης, κεφαλὰς ἔχων ἑκατόν· ἐχρῆτο δὲ φωναῖς παντοίαις καὶ ποικίλαις. μετὰ τούτου δὲ
5 Ἑσπερίδες ἐφύλαττον, Αἴγλη, Ἐρύθεια, Ἑστία, Ἀρέθουσα. πορευόμενος οὖν ἐπὶ ποταμὸν Ἐχέδωρον ἧκε. Κύκνος δὲ, Ἄρεος καὶ Πυρήνης, εἰς μονομαχίαν αὐτὸν προὐκαλεῖτο. Ἄρεος δὲ τοῦτον ἐκδικοῦντος καὶ συνιστάντος μονομαχίαν βληθεὶς κεραυνὸς μέσος ἀμφοτέρων διαλύει τὴν μάχην. βα-
10 δίζων δὲ δι' Ἰλλυρίων καὶ σπεύδων ἐπὶ ποταμὸν Ἠριδανὸν ἧκε πρὸς νύμφας Διὸς καὶ Θέμιδος. αὗται μηνύουσιν αὐτῷ Νηρέα. συλλαβὼν δὲ αὐτὸν κοιμώμενον καὶ παντοίας ἐναλλάσσοντα μορφὰς ἔδησε, καὶ οὐκ ἔλυσε πρὶν ἢ μαθεῖν παρ' αὐτοῦ, ποῦ τυγχάνοιεν τὰ μῆλα καὶ αἱ Ἑσπερίδες. μαθὼν δὲ
15 Λιβύην διεξῄει. ταύτης ἐβασίλευε παῖς Ποσειδῶνος Ἀνταῖος, ὃς τοὺς ξένους ἀναγκάζων παλαίειν ἀνῄρει. τούτῳ δὲ παλαίειν ἀναγκαζόμενος Ἡρακλῆς, ἀράμενος ἄμμασι μετέωρον κλάσας ἀπέκτεινε· ψαύοντα γὰρ γῆς ἰσχυρότατον συνέβη γίνεσθαι. διὸ καὶ Γῆς τινες ἔφασαν τοῦτον εἶναι παῖδα. μετὰ Λιβύην
20 δὲ Αἴγυπτον διεξῄει. ταύτης ἐβασίλευε Βούσιρις, Ποσειδῶνος παῖς καὶ Λυσιανάσσης τῆς Ἐπάφου. οὗτος τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς κατά τι λόγιον· ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε, Φράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπιστήμην, ἔφη τὴν ἀφορίαν παύσασθαι, ἐὰν ξένον ἄν-
25 δρα τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν τοὺς κατιόντας ξένους ἔσφαζε. συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο, τὰ δὲ δε-

1. ἐν Ὑπερβ. susp. Heynio. ‖ 2. ἃ Διὶ Γῇ γήμαντι Ἥραν Valcken. ad Eur. Phoen. p. 734, ἃ γαμηθείσῃ Διὶ Ἥρᾳ Γῇ ἐδ. Heynius. ‖ Λάδων ante δράκων excidisse coni. Mitscherl. ‖ 5. ἐρύθεια PR^c, vulg. Ἐρυθία. ‖ Ἑστία] Ἑσπερία Galeus et Mitscherl. ep. cr. p. 21. ‖ ἐρέθουσα PDR^cX. ‖ 8. ἄρεως R^c. ‖ τοῦτο PR^c. ‖ 9. μέσος PDR^cM, vulg. μέσον. ‖ 10. δὲ om. R^cV. ‖ φεύγων DR^abcVM. ‖ 12. τὸν Νηρέα Heynius. ‖ καὶ susp. eidem. ‖ ἐναλλάσσαντα D. ‖ 16. δὲ om. PV. ‖ 17. ὄμμασι libri, vulg. ἴγκασι: Commel. et Faber ἀγκάσι. ‖ κλάσας libri, vulg. θλίψας. ‖ 18. τῆς γῆς Heynius. ‖ ἰσχυρότερον Faber et Galeus. ‖ 20. διεξῄει lidem, vulg. ἐξῄει. ‖ 21. λυσσιανάσσης PR^cV: Λιβύας Galeus ex 2. 1, 4. ‖ 23. φράσιος libri, vulg. Θράσιος. ‖ 24. παύσασθαι PDR^cVO, legebatur παύσεσθαι. ‖ 26. ἔσφαξε DR^c. ‖

σμὰ διαρρήξας τόν τε Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε. διεξιὼν δὲ Ἀσίαν Θερμυδραῖς Λινδίων λιμένι προσίσχει. καὶ βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν ταύρων ἀπὸ τῆς ἁμάξης εὐωχεῖτο θύσας. ὁ δὲ βοηλάτης βοηθεῖν ἑαυτῷ μὴ δυνάμενος, στὰς ἐπί τινος ὄρους κατηρᾶτο. διὸ καὶ νῦν, ἐπειδὰν θύωσιν Ἡρακλεῖ, μετὰ καταρῶν τοῦτο πράττουσι. παριὼν δὲ Ἀραβίαν Ἠμαθίωνα κτείνει παῖδα Τιθωνοῦ. καὶ διὰ τῆς Λιβύης πορευθεὶς ἐπὶ τὴν ἔξω θάλασσαν καταπλεῖ, οὗ τὸ δέπας καταλαμβάνει. καὶ περαιωθεὶς ἐπὶ τὴν ἤπειρον τὴν ἀντικρὺ κατετόξευσεν ἐπὶ τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ αἰετόν, ὄντα Ἐχίδνης καὶ Τυφῶνος, καὶ τὸν Προμηθέα διέλυσε δεσμὸν ἑλόμενος τὸν τῆς ἐλαίας, καὶ παρέσχε τῷ Διὶ Χείρωνα θνήσκειν ἀθάνατον ἀντ' αὐτοῦ θέλοντα. ὡς δὲ ἧκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, εἰπόντος Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ πορεύεσθαι, διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον ἀποστέλλειν ἐκεῖνον, πεισθεὶς διεδέξατο. Ἄτλας δὲ δρεψάμενος παρ' Ἑσπερίδων τρία μῆλα ἧκε πρὸς Ἡρακλέα. καὶ μὴ βουλόμενος τὸν πόλον ἔχειν, ** καὶ σπείραν ἐπὶ τῆς κεφαλῆς θέλειν ποιήσασθαι. τοῦτο ἀκούσας Ἄτλας ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν πόλον διεδέξατο, καὶ οὕτως ἀνελόμενος αὐτὰ Ἡρακλῆς ἀπηλλάττετο. ἔνιοι δέ φασιν οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν, ἀλλὰ αὐτὸν δρέψασθαι τὰ μῆλα κτείναντα τὸν φρουροῦντα ὄφιν. κομίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἔδωκεν, ὁ δὲ λαβὼν Ἡρακλεῖ ἐδωρήσατο. παρ' οὗ λα-

2. καὶ τὸν κήρυκα Χάλβην post ἀπέκτεινε ex Schol. Apoll. 4, 1396 inserunt Aegius retinuitque Heynius, om. libri. ‖ διεξιὼν — πράττουσι susp. Heynio. ‖ ἀσίας libri: dedi Ἀσίαν, Heynius τὴν Ἀσίαν scribendum aut aliquid omissum esse censuit. ‖ θερμυθραῖς PV. ‖ Λινδίων Galeus, Ῥοδίων Aegius (cf. Conon. 11. Tzetz. Chil. 2, 590. Zenob. 4, 95): libri λωδίων. ‖ 5. ἑαυτῷ susp. Heynio. ‖ 7. ἀραβίαν DV, cett. ἀρραβίαν. ‖ 9. οὗ] Solis nomen excidisse coni. Sommerus, et παρὰ τοῦ Ἡλίου iam Heynius inseri voluit. ‖ 10. καυκασίου PDR^cV. ‖ 12. καὶ] scribebatur ὃς καὶ. ‖ 13. ἑλόμενον Galeus et Clavier ex Athen. 15. p. 672 et 674. ‖ 14. ἀθάνατον ὄντα θνήσκειν Galeus, ἀθάνατον θνήσκειν Clavier. ‖ 15. εἰπόντος libri, legebatur ὑποθέντος ex Schol. Apoll. 4, 1396. ‖ 17. ἀποστέλλων DR^cV, vulg. ἀποστελεῖν. ‖ δὲ post πεισθεὶς delevi cum Heynio. ‖ 19. lacunam iam indicavit Galeus explendam ex Schol. Apoll. l. l. ‖ 20. θέλειν libri, vulg. θέλων. ‖

βοῦσα Ἀθηνᾶ πάλιν αὐτὰ ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.

12. Δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομίζειν. εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθε πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα βουλόμενος μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι. ἐπειδήπερ θετὸς Πυλίου παῖς γενόμενος ἐμυεῖτο, μὴ δυνάμενος δὲ ἰδεῖν τὰ μυστήρια, ἐπείπερ οὐκ ἦν ἡγνισμένος τὸν Κενταύρων φόνον, ἁγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη. καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς [εἰς] Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῄει. ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαί, χωρὶς Μελεάγρου καὶ Μεδούσης τῆς Γοργόνος ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶσαν ἕλκει, καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι κενὸν εἴδωλόν ἐστι. πλησίον δὲ τῶν Ἅιδου πυλῶν γενόμενος Θησέα εὗρε καὶ Πειρίθουν τὸν Περσεφόνης μνηστευόμενον γάμον καὶ διὰ τοῦτο δεθέντα. θεασάμενοι δὲ Ἡρακλέα τὰς χεῖρας ὤρεγον ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου βίας. ὁ δὲ Θησέα μὲν λαβόμενος τῆς χειρὸς ἤγειρε, Πειρίθουν δὲ ἀναστῆσαι βουλόμενος τῆς γῆς κινουμένης ἀφῆκεν. ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι μίαν τῶν Ἅιδου βοῶν ἀπέσφαξεν. ὁ δὲ νέμων αὐτὰς Μενοίτης ὁ Κευθωνύμου προκαλεσάμενος εἰς πάλην Ἡρακλέα, ληφθεὶς μέσον καὶ τὰς πλευρὰς κατεάξας ὑπὸ Περσεφόνης παρῃτήθη. αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν Κέρβερον ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν ὅπλων κρατοῦντα. ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέροντος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ συσκεπα-

1. οὐκ addidit Heynius. ‖ 2. τεθεῖναι V: μετατεθῆναι ex Anonymo Allatii Clavier. ‖ 6. εἰς] πρὸς vulg. ‖ 8. ἔπειτα Heynius, cui suspecta sunt ἦν — ἐμυεῖτο. ‖ θέστιος libri, vulg. Θέσπιος. ‖ 10. legebatur τὸν κενταύρου, Heynius τὸν τῶν Κενταύρων, Clavier ex Schol. Hom. Iliad. 8, 368 τοῦ τῶν Κενταύρων φόνου. ‖ 12. εἰς add. Heynius. ‖ 13. ἀπῄει vulg. ‖ 15. κοινὸν, καινὸν libri. ‖ 17. γάμου B. ‖ 18. δεθέντας Heynius. ‖ 19. ἀναστησάμενοι V. ‖ 24. μενοίτης DRcV, legebatur Μενοίτιος. ‖ σκυθωνίμου PRc. ‖ προσκαλεσάμενος vulg. ‖ 25. μέσος Faber et Galeus. ‖ κατεάξει HT: κατεαγὼς Heynius, certe κατάξας. ‖

σθεὶς καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ ἀνῆκε καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος. κρατῶν [δὲ] ἐκ τοῦ τραχήλου καὶ ἄγχων τὸ θηρίον ἔπεισε. συλλαβὼν οὖν αὐτὸν ἦκε διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν. Ἀσκάλαφον μὲν οὖν Δημήτηρ ἐποίησεν ὦτον, Ἡρακλῆς 5 δὲ Εὐρυσθεῖ δείξας τὸν Κέρβερον πάλιν ἐκόμισεν εἰς Ἅιδου.

VI. 1. Μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς ἀφικόμενος εἰς Θήβας Μέγαραν μὲν ἔδωκεν Ἰολάῳ, αὐτὸς δὲ γῆμαι θέλων ἐπυνθάνετο Εὔρυτον Οἰχαλίας δυνάστην ἆθλον προτιθέναι τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νικήσαντι τοξικῇ αὐτόν 10 τε καὶ τοὺς παῖδας αὐτῷ ὑπάρχοντας. ἀφικόμενος οὖν εἰς Οἰχαλίαν καὶ τῇ τοξικῇ κρείττων αὐτῶν γενόμενος οὐκ ἔτυχε τοῦ γάμου, Ἰφίτου μὲν τοῦ πρεσβυτέρου τῶν παίδων λέγοντος διδόναι τῷ Ἡρακλεῖ τὴν Ἰόλην, Εὐρύτου δὲ καὶ τῶν λοιπῶν ἀπαγορευόντων, καὶ δεδοικέναι λεγόντων μὴ τεκνοποιη- 15 σάμενος τὰ γενησόμενα πάλιν ἀποκτείνῃ. 2. μετ' οὐ πολὺ δὲ κλαπεισῶν ἐξ Εὐβοίας ὑπὸ Αὐτολύκου βοῶν Εὔρυτος μὲν ἐνόμιζεν ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο, Ἴφιτος δὲ ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα, καὶ συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ σεσωκότι τὴν ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμήτῳ, παρα- 20 καλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται καὶ ξενίζει μὲν αὐτόν, μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔρριψεν αὐτὸν τειχῶν. καθαρθῆναι δὲ θέλων τὸν φόνον ἀφικνεῖται πρὸς Νηλέα. Πυλίων ἦν οὗτος δυνάστης. ἀπωσαμένου δὲ Νηλέως αὐτὸν διὰ τὴν πρὸς Εὔρυτον φιλίαν εἰς Ἀμύ- 25 κλας παραγενόμενος ὑπὸ Δηιφόβου τοῦ Ἱπολύτου καθαίρεται. κατασχεθεὶς [δὲ] δεινῇ νόσῳ διὰ τὸν Ἰφίτου φόνον, εἰς Δελφοὺς παραγενόμενος ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου. μὴ χρησμῳδούσης δὲ αὐτῷ τῆς Πυθίας τόν τε ναὸν συλᾷν

1. καὶ deleri voluit idem. ‖ ἀφῆκε P. ‖ 3. δὲ inserui cum Heynio. ‖ ἐπίεσε Galeus, f. ἔπαυσε. ‖ 4. αὐτὸ Heynius. ‖ post ἦκε Aegius, ut videtur, inseruit πρὸς Εὐρυσθέα. ‖ 5. μὲν om. PRc. ‖ ὄνον P, cett. ὄνον: suspecta sunt Heynio et Claverio Ἀσκάλαφον — ὦτον. ‖ 9. Εὔρυτον om. Rc. ‖ προτιθέναι Faber, προτεθεικέναι Heynius, προτεθῆναι vulg.: προτεθεῖναι V, προθαῖναι D. ‖ 10. τοξικὴν PDRcV. ‖ 16. γενησόμενα P, vulg. γεννησόμενα: Faber γεννηθησόμενα vel γεννηθέντα. ‖ 19. ἐκφορῶν PRcV. ‖ 20. περικαλεῖ P. ‖ 27. δὲ addidi cum Heynio. ‖ 28. καταλλάγειν P. ‖

ἤθελε, καὶ τὸν τρίποδα βαστάσας κατασκευάζει μαντεῖον ἴδιον. μαχομένου δὲ αὐτῷ Ἀπόλλωνος ὁ Ζεὺς ἴησι μέσον αὐτῶν κεραυνόν. καὶ τοῦτον διαλυθέντων τὸν τρόπον λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν ἀπαλλαγὴν αὐτῷ τῆς νόσου
5 ἔσεσθαι πραθέντι καὶ τρία ἔτη λατρεύσαντι καὶ δόντι ποινὴν τοῦ φόνου τὴν τιμὴν Εὐρύτῳ. 3. τοῦ δὲ χρησμοῦ δοθέντος Ἑρμῆς Ἡρακλέα πιπράσκει, καὶ αὐτὸν ὠνεῖται Ὀμφάλη Ἰαρδάνου, βασιλεύουσα Λυδῶν, ᾗ τὴν ἡγεμονίαν τελευτῶν ὁ γήμας Τμῶλος κατέλιπε. τὴν μὲν οὖν τιμὴν κομισθεῖ-
10 σαν Εὔρυτος οὐ προσεδέξατο, Ἡρακλῆς δὲ Ὀμφάλῃ δουλεύων τοὺς μὲν περὶ τὴν Ἔφεσον Κέρκωπας συλλαβὼν ἔδησε, Συλέα δὲ ἐν Λυδίᾳ τοὺς παριόντας ξένους σκάπτειν ἀναγκάζοντα σὺν ταῖς ῥίζαις τὰς ἀμπέλους σκάψας μετὰ τῆς θυγατρὸς Ξενοδίκης ἀπέκτεινε. καὶ προσσχὼν νήσῳ Δολίχῃ τὸ
15 Ἰκάρου σῶμα ἰδὼν τοῖς αἰγιαλοῖς προσφερόμενον ἔθαψε, καὶ τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκάλεσεν. ἀντὶ τούτου Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλησίαν κατεσκεύασεν Ἡρακλεῖ, ἣν νυκτὸς ἀγνοήσας Ἡρακλῆς λίθῳ βαλὼν ὡς ἔμπνουν ἔπληξε. καθ' ὃν δὲ χρόνον ἐλάτρευε παρ' Ὀμφάλῃ, λέγεται τὸν ἐπὶ
20 Κόλχους πλοῦν γενέσθαι καὶ τὴν τοῦ Καλυδωνίου κάπρου θήραν, καὶ Θησέα παραγενόμενον ἐκ Τροιζῆνος τὸν Ἰσθμὸν καθᾶραι. 4. μετὰ δὲ τὴν λατρείαν ἀπαλλαγεὶς τῆς νόσου ἐπὶ Ἴλιον ἔπλει πεντηκοντόροις ὀκτωκαίδεκα, συναθροίσας στρατὸν ἀνδρῶν ἀρίστων ἑκουσίως θελόντων στρατεύεσθαι.
25 καταπλεύσας δὲ εἰς Ἴλιον τὴν μὲν τῶν νεῶν φυλακὴν Οἰκλεῖ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν ἄλλων ἀριστέων ὥρμα ἐπὶ τὴν πόλιν. παραγενόμενος δὲ ἐπὶ τὰς ναῦς σὺν τῷ πλήθει Λαομέδων Οἰκλέα μὲν ἀπέκτεινε μαχόμενον, ἀπελαθεὶς δὲ ὑπὸ τῶν μετὰ Ἡρακλέους ἐπολιορκεῖτο. τῆς δὲ πολιορκίας ἐνε-

1. κατασκευάζειν Heynius. ‖ 5. παραθέντι PR^c. ‖ λατρεύσαντι libri, vulg. δουλεύσαντι. ‖ 8. ἰορδάνου PR^cV. ‖ 11. περὶ DR^cV, scribebatur παρὰ. ‖ κέρκοπες R^c aliique, κέρκοπας libri Aegli. ‖ 12. Λυδίᾳ Sevinus et Pierson veris. p. 232, τὸν Λύδιον Galeus ex Tzetz. Chil. 2, 432, αὐλῶνι aut ἀμπελῶνι ex Diod. Heynius: αὐλίδι libri, quod defendit Wessel. ad Diod. 4, 31. ‖ 13. κόψας v. ἐκκόψας Heynius. ‖ 14. ξενοδόκης V. ‖ 17. Πίσσῃ vulg. ‖ 21. εἰς, quod erat ante τὸν, om. PM. ‖ 22. καθάραι V, καθάρει D, cett. καθᾶραι: Heynius ex coni. Canteri nov. lect. 3, 13 κατᾶραι. ‖

στώσης ῥήξας τὸ τεῖχος Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ μετὰ τοῦτον Ἡρακλῆς. ὡς δὲ ἐθεάσατο Τελαμῶνα πρῶτον εἰσεληλυθότα, σπασάμενος τὸ ξίφος ἐπ' αὐτὸν ᾔει, μηδένα θέλων ἑαυτοῦ κρείττονα νομίζεσθαι. συνιδὼν [δὲ] τοῦτο Τελαμὼν πλησίον λίθους κειμένους συνήθροιζε. τοῦ δὲ ἐρομένου τί πράττοι, βωμὸν εἶπεν Ἡρακλέους κατασκευάζειν Καλλινίκου. ὁ δὲ ἐπαινέσας, ὡς εἷλε τὴν πόλιν, κατατοξεύσας Λαομέδοντα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς Ποδάρκου, Τελαμῶνι ἀριστεῖον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα δίδωσι, καὶ ταύτῃ συγχωρεῖ τῶν αἰχμαλώτων ὃν ἤθελεν ἄγεσθαι. τῆς δὲ αἱρουμένης τὸν ἀδελφὸν Ποδάρκην, ἔφη δεῖν πρῶτον αὐτὸν δοῦλον γενέσθαι, καὶ τότε τί ποτε δοῦσαν ἀντ' αὐτοῦ λαβεῖν αὐτόν. ἡ δὲ πιπρασκομένου τὴν καλύπτραν ἀφελομένη τῆς κεφαλῆς ἀντέδωκεν· ὅθεν Ποδάρκης Πρίαμος ἐκλήθη.

VII. 1. Πλέοντος δὲ ἀπὸ Τροίας Ἡρακλέους Ἥρα χαλεποὺς ἔπεμψε χειμῶνας, ἐφ' οἷς ἀγανακτήσας Ζεὺς ἐκρέμασεν αὐτὴν ἐξ Ὀλύμπου. προσέπλει δὲ Ἡρακλῆς τῇ Κῷ, καὶ νομίσαντες αὐτὸν οἱ Κῶοι λῃστρικὸν ἄγειν στόλον, βάλλοντες λίθοις προσπλεῖν ἐκώλυον. ὁ δὲ βιασάμενος τὴν νύκτα εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον, Ἀστυπαλαίας παῖδα καὶ Ποσειδῶνος, ἔκτεινε. ἐτρώθη δὲ κατὰ τὴν μάχην Ἡρακλῆς ὑπὸ Χαλκώδοντος, καὶ Διὸς ἐξαρπάσαντος αὐτὸν οὐδὲν ἔπαθε. πορθήσας δὲ Κῶ ἧκε δι' Ἀθηνᾶν εἰς Φλέγραν καὶ μετὰ θεῶν κατεπολέμησε Γίγαντας. 2. μετ' οὐ πολὺ δὲ ἐπ' Αὐγέαν ἐστρατεύετο συναθροίσας Ἀρκαδικὸν στρατὸν καὶ παραλαβὼν ἐθελοντὰς τῶν ἀστῶν ἀπὸ τῆς Ἑλλάδος ἀριστέων. Αὐγέας δὲ τὸν ἀφ' Ἡρακλέους πόλεμον ἀκούων κατέστησεν

1. ἐρείψας Lennep. ad Phal. p. 20. ‖ 4. δὲ adieci cum Heynio. ‖ 6. πράττοις PDM, πράττοιε R^cV. ‖ 9. post δίδωσι ex Schol. Lycophr. 34 inseruit Aegius ἐξ ἧς ὕστερον Τελαμὼν τὸν Τεῦκρον γεννᾷ. ‖ 12. τίποτε δοῦσαν ἀντ' αὐτῶν libri Aegii, τίποτε δοῦσ' ἀντ' αὐτῶν PDR^cM, τίποτε δοῦσ' ἀντ' αὐτοῦ V: τί δήποτε Aegius, ὅ τί ποτε Heynius. ‖ 13. χρυσῆν ante τὴν intulit Aegius. ‖ 20. τὴν] αὐτὴν Mitsch. ep. p. 22. ‖ νύκτα libri: νῆσον cum Aegio Clavier. ‖ 23. ἀλλὰ Διὸς vel Διὸς δὲ Heynius. ‖ 24. δι' Ἀθηνᾶς Galeus, δι' Αἰγαίου Faber. ‖ 25. αὐγείαν hic et infra vulg. ‖ 27. ἐθέλοντας vulg. ‖ ἀστῶν vitio natum ex ἀριστέων credidit Heynius. ‖

Ἠλείων στρατηγοὺς Ἔφυτον καὶ Κτέατον συμφυεῖς, οἱ δυνάμει τοὺς τότε ἀνθρώπους ὑπερέβαλλον. παῖδες δὲ ἦσαν Μολιόνης καὶ Ἄκτορος, ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ δὲ ἀδελφὸς ἦν Αὐγέου. συνέβη δὲ Ἡρακλεῖ κατὰ τὴν στρατείαν νοσῆσαι· διὰ τοῦτο καὶ σπονδὰς πρὸς τοὺς Μολιονίδας ἐποιήσατο. οἱ δὲ ὕστερον ἐπιγνόντες αὐτὸν νοσοῦντα ἐπιτίθενται τῷ στρατεύματι καὶ κτείνουσι πολλούς. τότε μὲν οὖν ἀνεχώρησεν Ἡρακλῆς, αὖθις δὲ τῆς τρίτης Ἰσθμιάδος τελουμένης Ἠλείων τοὺς Μολιονίδας πεμψάντων συνθύτας ἐν Κλεωναῖς ἐνεδρεύσας τούτους Ἡρακλῆς ἀπέκτεινε, καὶ στρατευσάμενος ἐπὶ τὴν Ἦλιν εἷλε τὴν πόλιν. καὶ κτείνας μετὰ τῶν παίδων Αὐγέαν κατήγαγε Φυλέα καὶ τούτῳ τὴν βασιλείαν ἔδωκεν. ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, Πέλοπος δὲ βωμὸν ἱδρύσατο καὶ θεῶν δώδεκα βωμοὺς ἑξῆς ἐδείματο. 3. μετὰ δὲ τὴν Ἤλιδος ἅλωσιν ἐστράτευσεν ἐπὶ Πύλον, καὶ τὴν πόλιν ἑλὼν Περικλύμενον κτείνει τὸν ἀλκιμώτατον τῶν Νηλέως παίδων, ὃς μεταβάλλων τὰς μορφὰς ἐμάχετο. τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς Νέστορος ἀπέκτεινε· οὗτος δὲ νέος ὢν παρὰ Γερηνίοις ἐτρέφετο. κατὰ δὲ τὴν μάχην καὶ Ἅιδην ἔτρωσε Πυλίοις βοηθοῦντα. ἑλὼν δὲ τὴν Πύλον ἐστράτευεν ἐπὶ Λακεδαίμονα μετελθεῖν τοὺς Ἱπποκόωντος παῖδας θέλων. ὠργίζετο μὲν γὰρ αὐτοῖς καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον δὲ ὠργίσθη ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν. θεωμένου γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασίλεια ἐκδραμὼν κύων τῶν Μολοττικῶν ἐπ' αὐτὸν ἐφέρετο, ὁ δὲ βαλὼν λίθον ἐπέτυχε τοῦ κυνός, ἐκτροχάσαντες δὲ οἱ Ἱπποκοωντίδαι καὶ τύπτοντες αὐτὸν τοῖς σκυτάλοις ἀπέκτειναν. τὸν δὲ τούτου θάνατον ἐκδικῶν στρατιὰν ἐπὶ Λακεδαιμονίαν συνήθροιζε. καὶ παραγενόμενος εἰς Ἀρκαδίαν ἠξίου Κηφέα μετὰ τῶν παίδων ὧν εἶχεν εἴκοσι συμμαχεῖν. δεδιὼς δὲ Κηφεὺς μὴ καταλιπόντος αὐτοῦ Τέγεαν Ἀργεῖοι ἐπιστρατεύσωνται,

1. ἠλίων PRᶜ. ‖ 3. μολίνης PDRᶜV. ‖ 4. κατὰ DRᶜ, μετὰ vulg. ‖ 7. οὖν Perizon. ad Ael. var. hist. 4, 1: vulg. οὐκ οὖν. ‖ 13. ὀλυμπικὸν Rᶜ. ‖ erat Πέλοπός τε. ‖ 14. ἐξ Arnald. ad Aelian. paredr. p. 170. cf. Pind. Ol. 5, 10. ‖ 15. τῆς Ἤλ. legebatur. ‖ 19. περὶ PD. ‖ 23. post παῖδα excidisse Οἰωνὸν credidit Heynius. ‖ 25. μολπικῶν libri. ‖ 28. erat στρατείαν. ‖ Λακεδαίμονα Heynius. ‖ 29. [illegible] erat ante Κηφέα om. PDRᶜVM. ‖ 31. ἐπιστρατεύσονται PDRᶜVM. ‖

τὴν στρατείαν ἠρνεῖτο. Ἡρακλῆς δὲ παρ' Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ χαλκοῦν βόστρυχον Γοργόνος, Στερόπῃ τῇ Κηφέως θυγατρὶ δίδωσιν εἰπών, ἐὰν ἐπίῃ στρατός, τρὶς ἀνασχούσης ἐκ τῶν τειχῶν τὸν βόστρυχον καὶ μὴ προϊδούσης, τροπὴν τῶν πολεμίων ἔσεσθαι. τούτου γενομένου Κηφεὺς μετὰ τῶν παί- 5 δων ἐστράτευε. καὶ κατὰ τὴν μάχην αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ τελευτῶσι, καὶ πρὸς τούτοις Ἴφικλος ὁ τοῦ Ἡρακλέους ἀδελφός. Ἡρακλῆς δὲ κτείνας τὸν Ἱπποκόωντα καὶ τοὺς παῖδας αὐτοῦ, χειρωσάμενος τὴν πόλιν, Τυνδάρεω καταγαγὼν τὴν βασιλείαν παρέδωκε τούτῳ. 4. παριὼν δὲ Τέγεαν Ἡρα- 10 κλῆς τὴν Αὔγην Ἀλεοῦ θυγατέρα οὖσαν ἀγνοῶν ἔφθειρεν. ἡ δὲ τεκοῦσα κρύφα τὸ βρέφος κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ δὲ τῆς χώρας φθειρομένης Ἀλεὸς ἐλθὼν καὶ ἐρευνήσας εἰς τὸ τέμενος τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε. τὸ μὲν οὖν βρέφος εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο. καὶ τοῦτο 15 μὲν κατὰ θεῶν τινα πρόνοιαν ἐσώθη· θηλὴν μὲν γὰρ ἀρτιτόκος ἔλαφος ὑπέσχεν αὐτῷ, ποιμένες δὲ ἀνελόμενοι τὸ βρέφος Τήλεφον ἐκάλεσαν αὐτόν. Αὔγην δὲ ἔδωκε Ναυπλίῳ τῷ Ποσειδῶνος ὑπερόριον ἀπεμπολῆσαι, ὁ δὲ Τεύθραντι τῷ Τευθρανίας ἔδωκεν αὐτὴν δυνάστῃ, κἀκεῖνος γυναῖκα ἐποιή- 20 σατο. 5. παραγενόμενος δὲ Ἡρακλῆς εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύετο. καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον εἰκασμένον ταύρῳ περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν μὲν Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ 25 τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἰμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δέ, ὡς Φερεκύδης λέγει, δύναμιν ἔχει τοιαύτην, ὥστε βρωτὸν ἢ ποτὸν ὅπερ εὔξαιτό τις παρέχειν

2. χαλκοῦς D, χαλκοῦς PR^abc V: χαλκῇ Heynius, χαλκέῃ Sevinus. ‖ βόστρυχον libri, vulg. βόστρυχα. ‖ Ἀερόπῃ ex Paus. 8. 44, 7 Heynius et Clavier. ‖ 4. ἐκ om. PDR^abc V. ‖ τὸ V. ‖ προσιδούσης Heynius. ‖ 9. τυνδάρεω R^c, vulg. Τυνδαρέῳ. ‖ 14. καὶ ἐρευνήσας aut delendum aut post τέμενος ponendum censuit Heynius. ‖ 18. αὐτὸ R^c. ‖ 19. legebatur ἀπεμπωλῆσαι. ‖ 20. τευθρανίας P, τευθρανείας R^c, Τευθρανίᾳ ed. pr. ‖ 21. παραγενόμενος δὲ ἡρακλῆς PR^c, scribebatur ἡρ. δ. π. ‖ 22. ἐμνηστεύετο PDR^ab VM, legebatur ἐμνηστεύσατο. ‖ 23. εἰκασμένον PR^abc VM, erat ἀπεικασθέντα. ‖ 26. ἀρμένου P, ἀρμενίου DR^c V et libri Aegii, ἀρμενίου R^a. ‖ 27. cf. Sturz. Pherec. fr. p. 182. ‖ εἶχε Faber. ‖

ἄφθονον. 6. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς. καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ Τληπολέμου γίνεται. διατελῶν δὲ παρ' αὐτοῖς, πέμψας πρὸς Θέσπιον ἑπτὰ μὲν κατέχειν ἔλεγε παῖδας, τρεῖς δὲ εἰς Θήβας ἀποστέλλειν, τοὺς δὲ λοιποὺς τεσσαράκοντα πέμπειν εἰς Σαρδὼ τὴν νῆσον ἐπ' ἀποικίαν. γενομένων δὲ τούτων εὐωχούμενος παρὰ Οἰνεῖ καὶ κονδύλῳ πλήξας ἀπέκτεινεν Ἀρχιτέλους παῖδα Εὔνομον κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ Οἰνέως οὗτος. ἀλλ' ὁ μὲν πατὴρ τοῦ παιδὸς ἀκουσίως γεγενημένου τοῦ συμβεβηκότος συνεγνωμόνει, Ἡρακλῆς δὲ κατὰ τὸν νόμον τὴν φυγὴν ὑπομένειν ἤθελε, καὶ διέγνω πρὸς Κήυκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηιάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἧκεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν τὴν πορθμείαν εἰληφέναι διὰ δικαιοσύνην. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διήει, Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ διαπορθμεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ὁ Ἡρακλῆς ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν, ὁ δὲ μέλλων τελευτᾷν προσκαλεσάμενος εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τόν τε γόνον ὃν ἀφῆκε κατὰ τῆς γῆς καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξαι. ἡ δὲ ποιήσασα τοῦτο ἐφύλαττε παρ' ἑαυτῇ. 7. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος τὸν ἕτερον τῶν ταύρων λύσας εὐωχήσατο. ὡς δὲ ἦλθεν εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύοπας κατ-

1. ἄπονον ed. pr., ἄφθονόν τε καὶ ἄπονον Galeus. ‖ 2. θεσπρωτόν P. ‖ φύδας PDRᶜV et libri Aegii. ‖ 3. τριπτολέμου PDRᶜV. ‖ 4. πέμψας PRᶜV, vulg. καὶ πέμψας. ‖ θέστιον PDRᵃᵇᶜ. ‖ 7. παρ' οἰνείην PDRᶜ, παρ' οἰνεῖ ὂν καὶ V et sic in mg. DRᶜ. ‖ 8. πλήξας libri, edebatur παίσας. ‖ παῖδας ἔυνομον κατὰ χ. διδόντι DRᶜV. ‖ 12. δὴ ἔγνω ed. pr. et sic Eudocia et Arg. Soph. Trach. ‖ 14. νέσος PD et sic infra. ‖ παραπλέοντας libri et sic olim Zenob. 1, 33. ‖ 15. μισθὸν δὲ λέγων vulg. ‖ 16. διήει PDRᶜV et Zenobius, scribebatur διέβη. ‖ 17. δηιανείρας vulg. ‖ ἐπέτρεψεν ἔσω V, cett. ἐπέτρεψεν ἔσω. ‖ 18. ἀνακραζούσης Galeus. ‖ 19. ὁ om. V. ‖ 20. post προσκ. excidisse Δηιάνειραν ex Zenobio collegit Heynius. ‖ 24. αὐτῇ ed. pr. ‖ 26. post λύσας vulg. additur καὶ σφάξας καὶ ἑψήσας, om. DRᵃᵇᶜ MO. ‖ ἦλθεν PDVO, legebatur ἧκεν. ‖

επολέμησεν. αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς Αἰγιμίῳ βασιλεῖ Δωριέων συνεμάχησε· Λαπίθαι γὰρ περὶ γῆς ὅρων ἐπολέμουν αὐτῷ Κορώνου στρατηγοῦντος. ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο τὸν Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ τῶν ἄλλων καὶ τὴν γῆν ἅπασαν παρέδωκεν ἐλευθέραν αὐτῷ. ἀπέκτεινε δὲ καὶ Λαογόραν μετὰ τῶν τέκνων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα καὶ Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προεκαλέσατο αὐτὸν Κύκνος Ἄρεος καὶ Πελοπίας. συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἦκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴα διέρχεσθαι. κωλυόμενος δὲ παρελθεῖν καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ' Οἰχαλίαν συνήθροιζεν Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δὲ αὐτῷ Ἀρκάδων καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον αἱρεῖ τὴν πόλιν. καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἴππασόν τε τὸν Κήυκος καὶ Ἀργεῖον καὶ Μέλανα τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἐπ' ἀκρωτηρίῳ Διὸς Κηναίου βωμὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν εἰς Τραχῖνα τὸν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ δὲ τούτου τὰ περὶ τὴν Ἰόλην Δηιάνειρα πυθομένη καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα

7. *λαγόραν* PDR^{c}OX. ‖ *βασιλείας* R^{c}VM. ‖ 9. *ἴτωνα* H, *ἴων* PR^{c}V et libri Aegii, *ἰῶν* alii. ‖ *προεκαλέσατο* P aliique: *προκαλεῖται* Aegius. ‖ 11. *Ὀρχομενὸν* vulg. ‖ 12. post *εἴα* Aegius ex Schol. Soph. inseruit *μεθ' ὅπλων*, om. libri. ‖ *παρελθεῖν* libri, erat *παριέναι*. ‖ 13. edebatur *στρατείαν*. ‖ 14. *συνήθροιζεν* PR^{c}VM, edebatur *συνήθροισεν*. ‖ *τιμωρήσθαι* PR^c. ‖ 15. *μηνιέων* PDR^{c}V, *Μινυείων* ed. pr. ‖ 16. *Ἐπικνημίδων* vulg. ‖ 17. *στρατευομένων* PDR^c. ‖ 19. *μέλενα* PDR^c. ‖ 20. *προσορμηθεὶς* PDR^c. ‖ *κυναίῳ παῖς εὐβοίας* M. ‖ 21. *ἀκρωτήριον* PDR^{c}M: *ἐπ'* deleri voluit Heynius. ‖ 22. *τὸν κήυκα* ut videtur libri: *Λίχαν* Wessel. ad Diod. p. 283, *πρὸς Κήυκα Λίχαν* Galeus, om. Heynius, ego quod idem ex Soph. Tr. 188 coniecit *τὸν κήρυκα* cum Clavierio recepi, *Λίχαν τὸν κήρυκα* ex arg. Soph. Tr. Sommerus. ‖ 23. *παρὰ*] *περὶ* PDV. ‖ *τοὺς π. — πυνθανομένους* PDR^c, *τοὺς περὶ* etiam M, *πυνθανομένη* V. ‖ 24. *πάλιν* post *μὴ* inseruit Aegius. ‖ *κείνην* O. ‖

Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν, ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισεν ἀπὸ τῆς Βοιωτίας, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι, συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται, Δηιάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἐκ Δηιανείρας ἦν αὐτῷ παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην ὄρος (ἔστι δὲ τοῦτο Τραχινίων), ἐκεῖ πυρὰν ποιήσας ἐκέλευεν ἐπιβάντος ὑφάπτειν. μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. τούτῳ καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

8. *Ἦσαν δὲ παῖδες αὐτῷ ἐκ μὲν τῶν Θεσπίου θυγατέρων, Πρόκριδος μὲν Ἀντιλέων καὶ Ἱππεύς (ἡ πρεσβυτάτη γὰρ διδύμους ἐγέννησε), Πανόπης δὲ Θρεψίππας, Λύσης Εὐμείδης, * Κρέων, Ἐπιλάϊδος Ἀστυάναξ, Κέρθης δὲ Ἰόβης, Εὐρυβίας Πολύλαος, Πατροῦς Ἀρχέμαχος, Μελίνης Λαομέδων, Κλυτίππης Εὐρύκαπυς, Εὐρύπυλος Εὐβώτης, Ἀγλαΐης Ἀντιάδης, Ὀνήσιππος Χρυσηίδος, Ὀρείης Λανομένης, Τέλης*

1. τούτῳ V, vulg. τούτου. ‖ 3. τῶν ποδῶν libri, erat τοῖν ποδοῖν. ‖ κατεπόντισεν Nodellus et Osann. anal. cr. p. 98, sed vid. Spohnii comm. d. extr. part. Od. p. 78 sq. ‖ 4. ἀπὸ τῆς Βοιωτίας εἰς τὴν Εὐβοϊκὴν θάλασσαν, quod habent edd., eiecit Heynius: ἀπὸ τῆς βοιωτίας habent libri, reliqua om. PDR^{abc}VM: vitium latet in Βοιωτίας, f. παρωρείας. ‖ 5. δὲ] τε PO: δὲ καὶ Galeus ex Zenobio. ‖ 10. ἔστι — Τραχινίων susp. Heynio. ‖ ἐκέλευεν DR^{c}VM, ἐπένευσεν P, edebatur ἐκέλευσεν. ‖ 11. ἐπιβάντος αὐτοῦ aut ἐπιβὰς Galeus. ‖ τοῦτο V, vulg. τούτου. ‖ 15. Ἥραν vulg. ‖ 18. θεστίου PDR^{c}. ‖ 20. θρεψίππας PR^{c}O, Θριψίππας vulg.: Θρέψιππος Faber. ‖ εὐμήδης DR^{c}O: Εὐμήδης Galeus. ‖ 21. ante Κρέων matris nomen excidit. ‖ ἐπίλαος libri. ‖ κέρθης et κίρθης libri, γρ. κέρτης P, vulg. Κράθης. ‖ 22. εὐρύβιος PDR^{c}: Ἰόβης δὲ Εὐρυβίας Aegius: suspecta est part. δὲ, malim Δηίφοβος aut Δηιφόντης. ‖ 23. Κλυτίππης Commelin., Κλυθίππης Aegius: libri κλύτοππος. ‖ εὐρύκαπυς D, εὐρύκαππυς PR^{c}, vulg. Εὐρυκάπης. ‖ εὐβότης V. ‖ ἀγλαΐης D R^{c}MO, vulg. Ἀγελαΐης. ‖ 24. ὀνήσιππος V, ὀνησίππης MX, ὀνησίπυς P, ὀνη-

*Λυσιδίκης, Ἐντεδίδης Μενιππίδης, Ἀνθίππης Ἱππόδρομος, Τελευταγόρας Εὐρύκης, Πύλος Ἵππωτος, Εὐβοίας Ὄλυμπος, Νίκης Νικόδρομος, Ἀργέλης Κλεόλαος, Ἐξόλης Ἐρύθρας, Ξανθίδος Ὁμόλιππος, Στρατονίκης Ἄτρομος, Κελευστάνωρ Ἴφις, Λαοθόης Ἄντιδος, Ἀντιώπης Ἀλόπιος, Ἀστυβίης Κλαμήτιδος, Φυλείδος Τίγασις, Αἰσχρείδος Λευκώνης, Ἀνθείας *, Εὐρυπύλης Ἀρχέδικος, Δυνάστης Ἔρατος, Ἀσωπίδης Μέντωρ, Ἠώνης Ἀμήστριος, Τιφύσης Λυγκαῖος, Ἀλοκράτης Ὀλυμπούσης, Ἑλικωνίδος Φαλίας, Ἡσυχείης Οἰστρέβλης, Τερψικράτης Εὐρυόπης, Ἐλευχείας Βουλεύς, Ἀντίμαχος Νικίππης, Πάτροκλος Πυρίππης, Νῆφος Πραξιθέας, Λυσίππης Ἐράσιππος, Λυκοῦργος *, Λύκιος Τοξικράτης, Βουκόλος Μάρσης, Λεύκιππος Εὐρυτέλης, Ἱπποκράτης Ἱππόζυγος. οὗτοι μὲν ἐκ τῶν Θεσπίου θυγατέρων, ἐκ δὲ τῶν ἄλλων Δηιανείρας μὲν τῆς Οἰνέως Ὕλλος, Κτήσιππος, Γληνός, Ὀνείτης, ἐκ Μεγάρας δὲ τῆς Κρέοντος Θηρίμαχος, Δηικόων, Κρεοντιάδης, Δηίων, ἐξ Ὀμφάλης δὲ Ἀγέλαος (ὅθεν καὶ τὸ Κροίσου γένος), Χαλκιόπης τῆς Εὐρυπύλου Θετταλός, Ἐπικάστης τῆς Αὐγέου Θεστάλος, Παρθενόπης τῆς Στυμφάλου Εὐήρης, Αὔγης τῆς Ἀλεοῦ Τήλεφος, Ἀστυόχης*

οἰππυς R^c. ‖ *Λαομένης* Heynius. ‖ 1. *λυσιδίκη στεντεδίδης* ed. pr. ‖ *Ἱππόδρόμης* Aegius. ‖ 2. *εὐρυκάπυλος* libri. ‖ *Ἱππόθοος* Faber et Galeus, *Πύλης Ἱππότας* vel *Πύλος Ἱππότης* Heynius. ‖ *ὀλυμπούσης* libri, *Ὄλυνθος* ex Steph. B. Galeus. ‖ 3. *ἔξολος, ἐξόλος. ἕξολος* libri. ‖ 4. *στρατόνικος* libri. ‖ *Ἀτρόμης* Commelin. ‖ 5. *Ἴφιδος* Heynius. ‖ *Ἄντιφος* idem. ‖ *Ἀντιόπης* idem. ‖ 6. *κάλης μήτιδος* Aegius, *Ἀκέλλης Μάλιδος* ex Steph. B. Galeus, *Ἀστυβίας Καλαμήτιδος* Heynius. ‖ 7. nomen iterum excidit. ‖ *Εὐρύπυλος Ἀρχεδίκης* Aegius: *ἀρχοδίκου* R^c VM. ‖ *Ἐρατοῦς* Aegius. ‖ *Ἀσωπίδος* Heynius. ‖ 8. *Ἠιόνης* idem. ‖ *ἀμίστριος* R^c. ‖ *τιφυσῆς* libri. ‖ *λιγκαῖος* P, *λυγκαῖος* cett.: erat *Λυγκεύς*. ‖ 9. *ἡσυχίης* O, vulg. *Ἡσιχείης*. ‖ *οἰστρέφλης* V. ‖ 10. *εὐρυόπης* libri: *Εὐρύοψ* Aegius, *Εὐρύωψ* Heynius. ‖ *Ἐλαχείας* Heynius. ‖ *ἀντίμαχος* libri: *Ἀντιμάχης* Aegius. ‖ 11. *πύριππος* libri. ‖ 12. *λυσίππης ἐράσιππος* libri: *Λύσιππος Ἐρασίππης* Aegius. ‖ ex duobus *Λυκοῦργος* et *Λύκιος* alterutrum eliciendum censuit Heynius. ‖ *τοξίκρατος* libri. ‖ 13. *μάρσας* libri. ‖ *λεύκιππος* libri: *Λευκίππης* Aegius. ‖ 14. *θεστίου* R^c et libri Aegii. ‖ 15. *τῆς* om. PR^c V. ‖ *Γληνάς, Ὀνείτης* ex Schol. Soph. Trach. 54 Galeus et Hemsterh. ad Luc. 1. p. 237, vulg. *γλυκισονείτης*. ‖ 16. *δηιοκόων* P. ‖ 17. *Δηίων* om. VM, *Δηίων ἐξ Ὀμφάλης* om. PD. ‖ 18. *κρησίου* PDR^c. ‖ *εὐρυπύλης* libri. ‖ 19. *αὐγέου* libri, vulg. *Αὐγείου*. ‖

Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν, ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισεν ἀπὸ τῆς Βοιωτίας, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι, συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται, Δηιάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἐκ Δηιανείρας ἦν αὐτῷ παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην ὄρος (ἔστι δὲ τοῦτο Τραχινίων), ἐκεῖ πυρὰν ποιήσας ἐκέλευεν ἐπιβάντος ὑφάπτειν. μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. τούτῳ καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας καὶ διαλλαγεὶς Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.

8. Ἦσαν δὲ παῖδες αὐτῷ ἐκ μὲν τῶν Θεσπίου θυγατέρων, Πρόκριδος μὲν Ἀντιλέων καὶ Ἱππεύς (ἡ πρεσβυτάτη γὰρ διδύμους ἐγέννησε), Παύόπης δὲ Θρεψίππας, Λύσης Εὐμείδης, * Κρέων, Ἐπιλάϊδος Ἀστυάναξ, Κέρθης δὲ Ἰόβης, Εὐρυβίας Πολύλαος, Πατροῦς Ἀρχέμαχος, Μελίνης Λαομέδων, Κλυτίππης Εὐρύκαπυς, Εὐρύπυλος Εὐβώτης, Ἀγλαΐης Ἀντιάδης, Ὀνήσιππος Χρυσηίδος, Ὀρείης Δανομένης, Τέλης

1. τούτῳ V, vulg. τούτου. ‖ 3. τῶν ποδῶν libri, erat τοῖν ποδοῖν. ‖ κατεπόντισεν Nodellus et Osann. anal. cr. p. 98, sed vid. Spohnii comm. d. extr. part. Od. p. 78 sq. ‖ 4. ἀπὸ τῆς Βοιωτίας εἰς τὴν Εὐβοϊκὴν θάλασσαν, quod habent edd., elecit Heynius: ἀπὸ τῆς βοιωτίας habent libri, reliqua om. PDR^{abc}VM: vitium latet in Βοιωτίας, f. παρωρείας. ‖ 5. δὲ] τε PO: δὲ καὶ Galeus ex Zenobio. ‖ 10. ἔστι — Τραχινίων susp. Heynio. ‖ ἐκέλευεν DR^{c}VM, ἐπένευσεν P, edebatur ἐκέλευσεν. ‖ 11. ἐπιβάντος αὐτοῦ aut ἐπιβὰς Galeus. ‖ τοῦτο V, vulg. τούτου. ‖ 15. Ἥραν vulg. ‖ 18. θεστίου PDR^{c}. ‖ 20. θρεψίππας PR^{c}O, Θρεψίππας vulg.: Θρέψιππος Faber. ‖ εὐμίδης DR^{c}O: Εὐμήδης Galeus. ‖ 21. ante Κρέων matris nomen excidit. ‖ ἐπίλαος libri. ‖ κέρθης et κίρθης libri, γρ. κέρτης P, vulg. Κράθης. ‖ 22. εὐρύβιος PDR^{c}: Ἰόβης δὲ Εὐρυβίας Aegius; suspecta est part. δὲ, malim Δηίφοβος aut Δηιφόντης. ‖ 23. Κλυτίππης Commelin., Κλυθίππης Aegius: libri κλύτοππος. ‖ εὐρύκαπυς D, εὐρύκαππυς PR^{c}, vulg. Εὐρυκάπης. ‖ εὐβότης V. ‖ ἀγλαΐης D R^{c}MO, vulg. Ἀγελαΐης. ‖ 24. ὀνήσιππος V, ὀνησίππῳ MX, ὀνησίππυς P, ὀνη-

Λυσιδίκης, *Ἐντεδίδης Μενίππίδης*, *Ἀνθίππης Ἱππόδρομος*, *Τελευταγόρας Εὐρύκης*, *Πύλος Ἵππωτος*, *Εὐβοίας Ὄλυμπος*, *Νίκης Νικόδρομος*, *Ἀργέλης Κλεόλαος*, *Ἐξόλης Ἐρύθρας*, *Ξανθίδος Ὁμόλιππος*, *Στρατονίκης Ἄτρομος*, *Κελευστάνωρ Ἴφις*, *Λαοθόης Ἄντιδος*, *Ἀντιώπης Ἀλόπιος*, *Ἀστυβίης* 5 *Κλαμήτιδος*, *Φυλείδος Τίγασις*, *Αἰσχρείδος Λευκώνης*, *Ἀνθείας* *, *Εὐρυπύλης Ἀρχέδικος*, *Δυνάστης Ἔρατος*, *Ἀσωπίδης Μέντωρ*, *Ἠώνης Ἀμήστριος*, *Τιφύσης Λυγκαῖος*, *Ἀλοκράτης Ὀλυμπούσης*, *Ἑλικωνίδος Φαλίας*, *Ἡσυχείης Οἰστρέβλης*, *Τερψικράτης Εὐρυόπης*, *Ἐλευχείας Βουλεύς*, *Ἀντίμαχος Νικίππης*, *Πάτροκλος Πυρίππης*, *Νῆφος Πραξιθέας*, *Λυσίππης Ἐράσιππος*, *Λυκοῦργος* *, *Λύκιος Τοξικράτης*, *Βουκόλος Μάρσης*, *Λεύκιππος Εὐρυτέλης*, *Ἱπποκράτης Ἱππόζυγος*. *οὗτοι μὲν ἐκ τῶν Θεσπίου θυγατέρων*, *ἐκ δὲ τῶν ἄλλων Δηιανείρας μὲν τῆς Οἰνέως Ὕλλος*, *Κτήσιππος*, *Γληνός*, *Ὀνείτης*, *ἐκ Μεγάρας δὲ τῆς Κρέοντος Θηρίμαχος*, *Δηικόων*, *Κρεοντιάδης*, *Δηίων*, *ἐξ Ὀμφάλης δὲ Ἀγέλαος* (*ὅθεν καὶ τὸ Κροίσου γένος*), *Χαλκιόπης τῆς Εὐρυπύλου Θετταλός*, *Ἐπικάστης τῆς Αὐγέου Θεστάλος*, *Παρθενόπης τῆς Στυμφάλου Εὐήρης*, *Αὔγης τῆς Ἀλεοῦ Τήλεφος*, *Ἀστυόχης* 20

οἰππυς R^c. ‖ *Λαομένης* Heynius. ‖ 1. *λυσιδίκη στεντεδίδης* ed. pr. ‖ *Ἱπποδρόμης* Aegius. ‖ 2. *εὐρυκάπυλος* libri. ‖ *Ἱππόθοος* Faber et Galeus, *Πύλης Ἱππότας* vel *Πύλος Ἱππότης* Heynius. ‖ *ὀλυμπούσης* libri, *Ὄλυνθος* ex Steph. B. Galeus. ‖ 3. *ἔξολος*, *ἐξάλος*. *ξόλος* libri. ‖ 4. *στρατόνικος* libri. ‖ *Ἀτρόμης* Commelin. ‖ 5. *Ἴφιδος* Heynius. ‖ *Ἄντιφος* idem. ‖ *Ἀντιόπης* idem. ‖ 6. *κάλης μήτιδος* Aegius, *Ἀκέλλης Μάλιδος* ex Steph. B. Galeus, *Ἀστυβίας Καλαμήτιδος* Heynius. ‖ 7. nomen iterum excidit. ‖ *Εὐρύπυλος Ἀρχεδίκης* Aegius: *ἀρχοδίκου* R^c VM. ‖ *Ἐρατοῦς* Aegius. ‖ *Ἀσωπίδος* Heynius. ‖ 8. *Ἠιόνης* idem. ‖ *ἀμύστριος* R^c. ‖ *τιφυσῆς* libri. ‖ *λιγκαῖος* P, *λυγκαῖος* cett.: erat *Λυγκεύς*. ‖ 9. *ἡσυχίης* O, vulg. *Ἡσιχείης*. ‖ *οἰστρέφλης* V. ‖ 10. *εὐρυόπης* libri: *Εὐρύοψ* Aegius, *Εὐρύωψ* Heynius. ‖ *Ἐλαχείας* Heynius. ‖ *ἀντίμαχος* libri: *Ἀντιμάχης* Aegius. ‖ 11. *πύριππος* libri. ‖ 12. *λυσίππης ἐράσιππος* libri: *Λύσιππος Ἐρασίππης* Aegius. ‖ ex duobus *Λυκοῦργος* et *Λύκιος* alterutrum eliciendum censuit Heynius. ‖ *τοξίκρατος* libri. ‖ 13. *μάρσας* libri. ‖ *λεύκιππος* libri: *Λευκίππης* Aegius. ‖ 14. *θεστίου* R^c et libri Aegii. ‖ 15. *τῆς* om. PR^c V. ‖ *Γληνάς*, *Ὀνείτης* ex Schol. Soph. Trach. 54 Galeus et Hemsterh. ad Luc. 1. p. 237, vulg. *γλυκισονείτης*. ‖ 16. *δηιοκόων* P. ‖ 17. *Δηίων* om. VM, *Δηίων ἐξ Ὀμφάλης* om. PD. ‖ 18. *κρησίου* PDR^c. ‖ *εὐρυπύλης* libri. ‖ 19. *αὐγέου* libri, vulg. *Αὐγείου*. ‖

τῆς Φύλαντος Τληπόλεμος, Ἀστυδαμείας τῆς Ἀμύντορος Κτήσιππος, Αὐτονόης τῆς Πειρέως Παλαίμων.

VIII. 1. Μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς οἱ παῖδες αὐτοῦ φυγόντες Εὐρυσθέα πρὸς Κήυκα παρεγένοντο. ὡς δὲ ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον ἀπειλοῦντος ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες διὰ τῆς Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν Ἐλέου βωμὸν ἠξίουν βοηθεῖσθαι. Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν, καὶ τοὺς μὲν παῖδας αὐτοῦ Ἀλέξανδρον, Ἰφιμέδοντα, Εὐρύβιον, Μέντορα, Περιμήδην ἀπέκτειναν, αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ' ἅρματος καὶ πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας κτείνει διώξας Ὕλλος. καὶ τὴν μὲν κεφαλὴν ἀποτεμὼν Ἀλκμήνῃ δίδωσιν, ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ. 2. ἀπολομένου δὲ Εὐρυσθέως ἐπὶ Πελοπόννησον ἦλθον οἱ Ἡρακλεῖδαι καὶ πάσας εἷλον τὰς πόλεις. ἐπὶ ἐνιαυτοῦ δὲ αὐτοῖς ἐν τῇ καθόδῳ γενομένη φθορὰ πᾶσαν Πελοπόννησον κατέσχε. καὶ ταύτην γενέσθαι χρησμὸς διὰ τοὺς Ἡρακλείδας ἐδήλου· πρὸ γὰρ τοῦ δέοντος αὐτοὺς κατελθεῖν. ὅθεν ἀπολιπόντες Πελοπόννησον ἦλθον εἰς Μαραθῶνα κἀκεῖ κατῴκουν. Τληπόλεμος οὖν κτείνας οὐχ ἑκὼν Λικύμνιον (τῇ βακτηρίᾳ γὰρ αὐτοῦ θεράποντα πλήσσοντος ὑπέδραμε), πρὶν ἐξελθεῖν αὐτὸν ἐκ Πελοποννήσου, φεύγων οὖν μετ' οὐκ ὀλίγων ἧκεν εἰς Ῥόδον κἀκεῖ κατῴκει. Ὕλλος δὲ τὴν μὲν Ἰόλην κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν ἔγημε, τὴν δὲ κάθοδον ἐζήτει τοῖς Ἡρακλείδαις κατεργάσασθαι. διὸ παραγενόμενος εἰς Δελφοὺς ἐπυνθάνετο πῶς ἂν κατέλθοιεν, ὁ δὲ θεὸς ἔφησε περιμείναντας τὸν τρίτον καρπὸν κατέρχεσθαι. νομίσας δὲ Ὕλλος τρίτον καρπὸν λέγεσθαι τὴν τριε-

13. χειρονίδας libri: Σκειρονίδας Aegius. ‖ 14. κερκίδι Staver. in misc. obss. 10. p. 383. ‖ 17. ἐπὶ om. PDR^{abc}VM, deinde iidem habent γενομένης φθορᾶς: Heynius ἐνιαυτὸν δὲ αὐτοῖς ἐν τῇ καθόδῳ γενομένοις φθορὰ π. Π. κ. ‖ 20. ἦλθον] ἀνεχώρησαν in mg. O. ‖ 21. οὖν] δὲ Heynius. ‖ 22. θεράποντα Faber: libri θεραπεύοντα, et sic edebatur. ‖ πλήσσοντος ὑπέδραμε libri: πλήσσων ἥμαρτε Aegius. ‖ 23. αὐτοὺς Heynius. ‖ 24. οὖν delet idem. ‖ 25. post Ἰόλην quod vulg. legitur τὴν Εὐρύτου om. libri. ‖ τὴν post κατὰ om. libri. ‖

τίαν, τοσοῦτον περιμείνας χρόνον σὺν τῷ στρατῷ κατῄει * τοῦ Ἡρακλέους ἐπὶ Πελοπόννησον, Τισαμενοῦ τοῦ Ὀρέστου βασιλεύοντος Πελοποννησίων. καὶ γενομένης πάλιν μάχης νικῶσι Πελοποννήσιοι, καὶ Ἀριστόμαχος θνήσκει. ἐπεὶ δὲ ἠνδρώθησαν οἱ [Κλεολάου] παῖδες, ἐχρῶντο περὶ καθόδου. 5 τοῦ θεοῦ δὲ εἰπόντος ὅ τι καὶ τὸ πρότερον, Τήμενος ᾐτιᾶτο λέγων τούτῳ πεισθέντα ἀτυχῆσαι. ὁ δὲ θεὸς ἀνεῖπε τῶν ἀτυχημάτων αὐτοὺς αἰτίους εἶναι· τοὺς γὰρ χρησμοὺς οὐ συμβάλλειν· λέγειν γὰρ οὐ γῆς, ἀλλὰ γενεᾶς καρπὸν τρίτον, καὶ στενυγρὰν τὸν τὴν εὐρυγάστορα δεξιὰν κατὰ τὸν Ἰσθμὸν 10 ἔχοντα τὴν θάλασσαν. ταῦτα Τήμενος ἀκούσας ἡτοίμαζε τὸν στρατόν, καὶ ναῦς ἐπήξατο τῆς Λοκρίδος ἔνθα νῦν ἀπ' ἐκείνου ὁ τόπος Ναύπακτος λέγεται. ἐκεῖ δὲ ὄντος τοῦ στρατεύματος Ἀριστόδημος κεραυνωθεὶς ἀπέθανε, παῖδας καταλιπὼν ἐξ Ἀργείας τῆς Αὐτεσίωνος διδύμους, Εὐρυσθένη καὶ 15 Προκλέα. 3. συνέβη δὲ καὶ τὸν στρατὸν ἐν Ναυπάκτῳ συμφορᾷ περιπεσεῖν. ἐφάνη γὰρ αὐτοῖς μάντις χρησμοὺς λέγων καὶ ἐνθουσιάζων, ὃν ἐνόμιζον μάγον εἶναι ἐπὶ λύμῃ τοῦ στρατοῦ πρὸς Πελοποννησίων ἀπεσταλμένον. τοῦτον βαλὼν ἀκοντίῳ Ἱππότης, ὁ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους, τυ- 20 χὼν ἀπέκτεινεν. οὕτως δὲ γενομένου τούτου τὸ μὲν ναυτικὸν διαφθαρεισῶν τῶν νεῶν ἀπώλετο, τὸ δὲ πεζὸν ἠτύχησε λιμῷ καὶ διελύθη τὸ στράτευμα. χρωμένου δὲ περὶ τῆς συμφορᾶς

1. κατῄει Faber: lacunae signum apposuit Heynius, qui et τοῦ ex PR^cV pro vulg. τοὺς restituit. ‖ 2. υἱοῦ quod vulg. post Ὀρέστου ponitur om. libri. ‖ 5. Κλεολάου, quod debebat esse Κλεοδαίου, susp. Heynio. ‖ 6. τίμενος libri. ‖ 7. πεισθέντας Commelinus. ‖ ἀνεῖπε DVM, et libri Aegii, vulg. ἀντεῖπε. ‖ 9. oraculi verba sic disposuit Mueller. Dor. 1. p. 57. γενεὰς γάρ, οὐ γῆς καρπὸν ἐξεῖπον τρίτον | καὶ τὴν στενυγρὰν αὖ τὸν εὐρυγάστορα | — ἔχοντα κατὰ τὸν Ἰσθμὸν δεξιάν. ‖ τρίτιον D. ‖ 10. στενύγραν τὸν τὴν V, στενύστραν τὸν τὴν DR^abc, cett. στένυστραν τὴν: scribebatur στενυγρὰν τὴν. ‖ εὐρυγάστορα Lobeck. ad Phryn. p. 660, erat εὐρυγαστέρα. ‖ 11. ἔχοντα libri, scribebatur ἔχοντι: Galeus ἥκοντι, susp. Heynio. ‖ τὴν θάλασσαν deleri voluit Muellerus. ‖ 12. ἐπήξατο R^ab, ἐπάσσετο PDR^cV, cett. ἐπάσσατο. ‖ τῆς λοκρίδος R^ab, τῆς λοκρίδος τόπῳ PDR^cV: ἐν τῷ Αἰτωλίας τόπῳ Aegius, κόλπῳ Faber. ‖ 18. ἐνθουσιάζων VT, ἐνθεάζων H, et sic legebatur. ‖ ἐνόμιζον VMH, erat ἐνόμισαν. ‖ 20. ἱππότην DR^cVM. ‖ φύλαντος idem et Aegii libri, φυλάττοντος P. ‖ τῆς Ἀστυόχης Reines. var. lect. p. 327. ‖

Τημένου καὶ τοῦ θεοῦ διὰ τοῦ μάντεως γενέσθαι ταῦτα λέγοντος καὶ κελεύοντος φυγαδεῦσαι δέκα ἔτη τὸν ἀνελόντα, [καὶ διὰ τοῦτο δύο ἔτη] καὶ χρήσασθαι ἡγεμόνι τῷ τριοφθάλμῳ, τὸν μὲν Ἱππότην ἐφυγάδευσαν, τὸν δὲ τριόφθαλμον ἐζήτουν. καὶ περιτυγχάνουσιν Ὀξύλῳ τῷ Ἀνδραίμονος ἐφ' ἵππου καθημένῳ μονοφθάλμῳ· τὸν γὰρ ἕτερον τῶν ὀφθαλμῶν ἐκκέκοπτο τόξῳ. ἐπὶ φόνῳ γὰρ οὗτος φυγὼν εἰς Ἦλιν [καὶ] ἐκεῖθεν εἰς Αἰτωλίαν ἐνιαυτοῦ [δὲ] διελθόντος ἐπανήρχετο. συμβαλόντες οὖν τὸν χρησμὸν τοῦτον ἡγεμόνα ποιοῦνται. καὶ συμβαλόντες τοῖς πολεμίοις καὶ τῷ πεζῷ καὶ τῷ ναυτικῷ προτεροῦσι στρατῷ καὶ Τισαμενὸν κτείνουσι τὸν Ὀρέστου. θνήσκουσι δὲ συμμαχοῦντες αὐτοῖς οἱ Αἰγιμίου παῖδες Πάμφυλος καὶ Δύμας. 4. ἐπειδὴ [δὲ] ἐκράτησαν Πελοποννήσου, τρεῖς ἱδρύσαντο βωμοὺς Πατρῴου Διός, καὶ ἐπὶ τούτων ἔθυσαν καὶ ἐκληροῦντο τὰς πόλεις. πρώτη μὲν οὖν λῆξις Ἄργος, δευτέρα Λακεδαίμων, τρίτη δὲ Μεσσήνη. κομισάντων δὲ ὑδρίαν ὕδατος ἔδοξε ψῆφον βάλλειν ἕκαστον. Τήμενος οὖν καὶ οἱ Ἀριστοδήμου παῖδες, Προκλῆς καὶ Εὐρυσθένης, ἔβαλον λίθους, Κρεσφόντης δὲ βουλόμενος Μεσσήνην λαχεῖν γῆς ἐνέβαλε βῶλον. ταύτης δὲ διαλυθείσης ἔδει τοὺς δύο κλήρους ἀναφανῆναι. ἑλκυσθείσης δὲ πρώτης μὲν τῆς Τημένου, δευτέρας δὲ τῆς τῶν Ἀριστοδήμου παίδων, Μεσσήνην ἔλαβε Κρεσφόντης. 5. ἐπὶ δὲ τοῖς βωμοῖς οἷς ἔθυσαν εὗρον σημεῖα κείμενα, οἱ μὲν λαχόντες Ἄργος [ἐπὶ τὸν ἴδιον] φρύνον, οἱ δὲ Λακεδαίμονα λαχόντες δράκοντα, οἱ δὲ Μεσσήνην ἀλώπεκα. περὶ δὲ τῶν σημείων ἔλεγον οἱ μάντεις, τοῖς μὲν τὸν φρύνον καταλαβοῦσιν ἐπὶ τῆς πόλεως μένειν ἄμεινον· μὴ γὰρ ἔχειν ἀλκὴν πορευόμενον τὸ θηρίον· τοὺς δὲ δράκοντα καταλαβόντας δεινοὺς ἐπιόντας ἔλεγον ἔσε-

1. τοῦ μάντεως libri: τὸν μάντιν Aegius. ‖ 3. in libris est καὶ διὰ τοῦτο δύο ἔτη (ἔτι vulg.): elicienda censuerunt Faber atque reliqui editores. ‖ 5. Αἵμονος ex Paus. 5, 3 et Strab. 11. p. 463 Clavier. ‖ 6. καθημένου DV. ‖ 7. ἐκέκοπτο vulg. cf. Pierson ad Moer. p. 154. ‖ 8. καὶ et δὲ susp. Heynio. ‖ 9. συλλαβόντες idem. ‖ 13. πάμφιλος D. ‖ δὲ addidi cum Heynio. ‖ 16. μεσήνη uti solent PD. ‖ 17. βάλλειν V, legebatur βαλεῖν. ‖ ἕκαστος vulg. ‖ 21. πρώτου libri. ‖ 22. τιμένου libri. ‖ δεύτερος P. ‖ τῆς τῶν κλήρους ἀ. PDV, δὲ τῶν κλήρους ἀ. Rc. ‖ 23. καὶ μεσσήνην V. ‖ 24. ἐπὶ τὸν ἴδιον delevi Heynius. ‖ 27. καταβαλοῦσιν libri Aegii. ‖

σθαι, τοὺς δὲ τὴν ἀλώπεκα δολίους. Τήμενος μὲν οὖν παραπεμπόμενος τοὺς παῖδας Ἀγέλαον καὶ Εὐρύπυλον καὶ Καλλίαν, τῇ θυγατρὶ προσανεῖχεν Ὑρνηθοῖ καὶ τῷ ταύτης ἀνδρὶ Δηιφόντῃ, ὅθεν οἱ παῖδες πείθουσί τινας ἐπὶ μισθῷ τὸν πατέρα αὐτῶν φονεῦσαι. γενομένου δὲ τοῦ φόνου τὴν βασι- 5 λείαν ὁ στρατὸς ἔχειν ἐδικαίωσεν Ὑρνηθοῖ καὶ Δηιφόντῃ. Κρεσφόντης δὲ οὐ πολὺν Μεσσήνης βασιλεύσας χρόνον μετὰ δύο παίδων φονευθεὶς ἀπέθανε. Πολυφόντης δὲ ἐβασίλευσεν αὐτῶν τῶν Ἡρακλειδῶν ὑπάρχων, καὶ τὴν τοῦ φονευθέντος γυναῖκα ἄκουσαν Μερόπην ἔλαβεν. ἀνῃρέθη δὲ καὶ οὗτος. 10 τρίτον γὰρ ἔχουσα παῖδα Μερόπη καλούμενον Αἴπυτον ἔδωκε τῷ ἑαυτῆς πατρὶ τρέφειν. οὗτος ἀνδρωθεὶς καὶ κρύφα κατελθὼν ἔκτεινε Πολυφόντην καὶ τὴν πατρῷαν βασιλείαν ἀπέλαβεν.

3. προσανεῖχον R^c^. ‖ ὑρνηθῇ PR^c^, ὑρνητῇ et mox ὑρνηθῇ D. ‖ 4. τινας Faber, legebatur Τιτᾶνας, posse etiam Τιτανίους legi censuit Heynius. ‖ 9. ἐκ τῶν vel αὐτὸς τῶν Faber, et sic Clavier. ‖ 11. αἴγυπτον R^c^, cett. αἴγυπτον. ‖

ΑΠΟΛΛΟΔΩΡΟΥ

ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΒΙΒΛΙΟΘΗΚΗΣ

ΒΙΒΛΙΟΝ Γ.

I. 1. *Επεὶ δὲ τὸ Ἰνάχειον διερχόμενοι γένος τοὺς ἀπὸ Βήλου μέχρι τῶν Ἡρακλειδῶν δεδηλώκαμεν, ἑχομένως λέγωμεν καὶ τὰ περὶ Ἀγήνορος. ὡς γὰρ ἡμῖν λέλεκται, δύο Λιβύη ἐγέννησε παῖδας ἐκ Ποσειδῶνος, Βῆλον καὶ Ἀγήνορα.* 5 *Βῆλος μὲν οὖν βασιλεύων Αἰγυπτίων τοὺς προειρημένους ἐγέννησεν, Ἀγήνωρ δὲ παραγενόμενος εἰς τὴν Εὐρώπην γαμεῖ Τηλεφάσσαν καὶ τεκνοῖ θυγατέρα μὲν Εὐρώπην, παῖδας δὲ Κάδμον καὶ Φοίνικα καὶ Κίλικα. τινὲς δὲ Εὐρώπην οὐκ Ἀγήνορος ἀλλὰ Φοίνικος λέγουσι. ταύτης Ζεὺς ἐρασθεὶς* 10 *πίπτει διὰ τῆς θαλάσσης Ῥόδου ἀποπλέων ταῦρος, ὃς χειροήθης γενόμενος ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισεν εἰς Κρήτην. ἡ δὲ ἐκεῖ συνευνασθέντος αὐτῇ Διὸς ἐγέννησε Μίνωα, Σαρπηδόνα, Ῥαδάμανθυν· καθ' Ὅμηρον δὲ Σαρπηδὼν ἐκ Διὸς καὶ Λαοδαμείας τῆς Βελλεροφόντου. ἀφανοῦς* 15 *δὲ Εὐρώπης γενομένης ὁ πατὴρ αὐτῆς Ἀγήνωρ ἐπὶ ζήτησιν ἐξέπεμψε τοὺς παῖδας, εἰπὼν μὴ πρότερον ἀναστρέφειν πρὶν*

1. *διεξερχόμενοι* Heynius. ‖ 2. *λέγωμεν* P, *λέγομεν* DR^{c}V. ‖ 3. *καὶ* addunt PR^{c}V. ‖ 6. *εἰς Φοινίκην* Heynius, nisi totum hoc eliciendum. ‖ 7. *τηλεφάσαν* D R^{c}. ‖ 10. *πέπτει* P: *κλέπτει* Galeus, *τρέχει* Aegius, *ἱππεύει* Heynius, cui tamen susp. *πίπτει* — *ἀποπλέων*. ‖ *ῥόδου ἀποπνέων* Sevinus, *κρόκου ἀποπνέων* ex Schol. Hom. Iliad. 12, 397 Clavier. ‖ *ὃς* susp. Heynio. ‖ 13. *καθ' ἡμέραν* VM: vid. Iliad. 6, 198 sq. ‖

ἂν ἐξεύρωσιν Εὐρώπην. συνεξῆλθε δὲ ἐπὶ τὴν ζήτησιν αὐτῆς Τηλεφάσσα ἡ μήτηρ καὶ Θάσος ὁ Ποσειδῶνος, ὡς δὲ Φερεκύδης φησὶ Κίλικος. ὡς δὲ πᾶσαν ποιούμενοι ζήτησιν εὑρεῖν ἦσαν Εὐρώπην ἀδύνατοι, τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπογνόντες ἄλλος ἀλλαχοῦ κατῴκισαν, Φοίνιξ μὲν Φοινίκην, Κίλιξ 5 δὲ Φοινίκης πλησίον· καὶ πᾶσαν τὴν ὑφ' ἑαυτοῦ κειμένην χώραν ποταμῷ σύνεγγυς Πυράμῳ Κιλικίαν ἐκάλεσε· Κάδμος δὲ καὶ Τηλεφάσσα ἐν Θρᾴκῃ κατῴκησαν. ὁμοίως δὲ καὶ Θάσος ἐν Θρᾴκῃ κτίσας πόλιν Θάσον κατῴκησεν. 2. Εὐρώπην δὲ γήμας Ἀστερίων ὁ Κρητῶν δυνάστης τοὺς ἐκ ταύτης παῖ- 10 δας ἔτρεφεν, οἱ δὲ ὡς ἐτελειώθησαν, πρὸς ἀλλήλους ἐστασίασαν· ἴσχουσι γὰρ ἔρωτα παιδὸς, ὃς ἐκαλεῖτο Μίλητος· Ἀπόλλωνος δὲ ἦν καὶ Ἀρείας τῆς Κλεόχου. τοῦ δὲ παιδὸς πρὸς Σαρπηδόνα μᾶλλον οἰκείως ἔχοντος πολεμήσας Μίνως ἐπροτέρησεν. οἱ δὲ φεύγουσι, καὶ Μίλητος μὲν Καρίᾳ προσσχὼν 15 ἐκεῖ πόλιν ἀφ' ἑαυτοῦ ἔκτισε Μίλητον, Σαρπηδὼν δὲ συμμαχήσας Κίλικι πρὸς Λυκίους ἔχοντι πόλεμον ἐπὶ μέρει τῆς χώρας Λυκίας ἐβασίλευσε. καὶ αὐτῷ δίδωσι Ζεὺς ἐπὶ τρεῖς γενεὰς ζῆν. ἔνιοι δὲ αὐτὸν ἐρασθῆναι λέγουσιν Ἀτυμνίου τοῦ Διὸς καὶ Κασσιεπείας, καὶ διὰ τοῦτον στασιάσαι. Ῥα- 20 δάμανθυς δὲ τοῖς νησιώταις νομοθετῶν, αὖθις φυγὼν εἰς Βοιωτίαν Ἀλκμήνην γαμεῖ, καὶ μεταλλάξας ἐν Ἅιδου μετὰ Μίνωος δικάζει. Μίνως δὲ Κρήτην κατοικῶν ἔγραψε νόμους. καὶ γήμας Πασιφάην τὴν Ἡλίου καὶ Περσηίδος, ὡς δ' Ἀσκληπιάδης φησὶ Κρήτην τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν 25 ἐτέκνωσε Κατρέα, Δευκαλίωνα, Γλαῦκον, Ἀνδρόγεων, θυγατέρας δὲ Ἀκάλλην, Ξενοδίκην, Ἀριάδνην, Φαίδραν, ἐκ Παρείας δὲ νύμφης Εὐρυμέδοντα, Νηφαλίωνα, Χρύσην, Φιλόλαον, ἐκ δὲ Δεξιθέας Εὐξάνθιον. 3. Ἀστερίωνος δὲ ἄπαιδος ἀποθανόντος Μίνως βασιλεύειν θέλων Κρήτης ἐκωλύετο. 30

1. αὐτὴ ἡ T. Heynius. ‖ 2. cf. Sturz. Pherec. fr. p. 106. ‖ 3. κιλίκιος libri; Κίλιξ Aegius. ‖ 4. ἀδύνατον P. ‖ 6. καὶ delevit Heynius, cui et susp. Φοινίκης πλησίον. ‖ 8. κατῴκισαν PR^c. ‖ 9. ἐν νήσῳ πρὸς τῇ Θρᾴκῃ Heynius. ‖ 13. ἀρέας DVM. ‖ 17. μέρη vulg. ‖ 20. κασσιεπείας D, vulg. Κασσιοπείας: cf. Lobeck. Paralipp. p. 321. ‖ 26. κατρέα PDX, Καστρέα vulg. ‖ δευκαλλίωνα DR^c. ‖ 27. ἀκάλλην PDR^c, ἀκάλην VM, vulg. Ἑκάλην. ‖ 29. Ἀστερίωνος Aegius: ἀστερίου PVM, et sic vulg. ‖ 30. βασιλεύων PD. ‖

φήσας δὲ παρὰ θεῶν τὴν βασιλείαν εἰληφέναι, χάριν τοῦ πιστευθῆναι ἔφη εἴ τι ἂν εὔξηται γενέσθαι. καὶ Ποσειδῶνι θύων ηὔξατο ταῦρον ἀναφανῆναι ἐκ τῶν βυθῶν, ὑποσχόμενος καταθύσειν τὸν φανέντα. τοῦ δὲ Ποσειδῶνος ταῦρον ἀνέντος αὐτῷ διαπρεπῆ τὴν βασιλείαν παρέλαβε, τὸν δὲ ταῦρον εἰς τὰ βουκόλια πέμψας ἔθυσεν ἕτερον. θαλασσοκρατήσας δὲ πρῶτος πασῶν τῶν νήσων σχεδὸν ὑπῆρξεν. 4. ὀργισθεὶς δὲ αὐτῷ Ποσειδῶν ὅτι μὴ κατέθυσε τὸν ταῦρον, τοῦτον μὲν ἐξηγρίωσε, Πασιφάην δὲ ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ παρεσκεύασεν. ἡ δὲ ἐρασθεῖσα τοῦ ταύρου συνεργὸν λαμβάνει Δαίδαλον, ὃς ἦν ἀρχιτέκτων πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. οὗτος ξυλίνην βοῦν ἐπὶ τροχῶν κατασκευάσας καὶ ταύτην λαβὼν καὶ κοιλάνας ἔσωθεν, ἐκδείρας τε βοῦν, τὴν δορὰν περιέρραψε, καὶ θεὶς ἐν ᾧπερ εἴθιστο ὁ ταῦρος λειμῶνι βόσκεσθαι τὴν Πασιφάην ἐνεβίβασεν. ἐλθὼν δὲ ὁ ταῦρος ὡς ἀληθινῇ βοῖ συνῆλθεν. ἡ δὲ Ἀστέριον ἐγέννησε τὸν κληθέντα Μινώταυρον. οὗτος εἶχε ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός. Μίνως δὲ ἐν τῷ λαβυρίνθῳ κατά τινας χρησμοὺς κατακλείσας αὐτὸν ἐφύλαττεν. ἦν δὲ ὁ λαβύρινθος, ὃν Δαίδαλος κατεσκεύασεν, οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. τὰ μὲν οὖν περὶ Μινωταύρου καὶ Ἀνδρόγεω καὶ Φαίδρας καὶ Ἀριάδνης ἐν τοῖς περὶ Θησέως ὕστερον ἐροῦμεν.

II. 1. Κατρέως δὲ τοῦ Μίνωος Ἀερόπη καὶ Κλυμένη καὶ Ἀπημοσύνη καὶ Ἀλθημένης υἱὸς γίνονται. χρωμένῳ δὲ Κατρεῖ περὶ καταστροφῆς τοῦ βίου ὁ θεὸς ἔφη, ὑπὸ ἑνὸς τῶν παίδων τεθνήξεσθαι. Κατρεὺς μὲν οὖν ἀπεκρύβετο τοὺς χρησμούς, Ἀλθημένης δὲ ἀκούσας καὶ δείσας μὴ φονεὺς γένηται τοῦ πατρός, ἄρας ἐκ Κρήτης μετὰ τῆς ἀδελφῆς Ἀπημοσύνης προσίσχει τινὶ τόπῳ τῆς Ῥόδου, καὶ κατασχὼν Κρη-

1. περὶ iidem. ‖ 6. θαλασσοκρατήσας — ὑπῆρξεν susp. Heynio. ‖ 13. βαλὼν libri. ‖ καὶ om. R^cVX. ‖ κοιλώνας PR^c. ‖ 16. ἀληθινῇ PR^c. ‖ 23. ἐροῦμεν] vid. 3. 15, 7 sq. ‖ 24. κάτρεως PR^abcV, vulg. κάστρεως. ‖ 25. ἀλθεμαίνης PDR^cV: f. Ἀλθαιμένης. ‖ υἱὸς R^abcO, υἱοὺς D, vulg. υἱοὶ. ‖ γίνεται R^ab. ‖ κατρεῖ V, κρατεῖ D R^c, vulg. Κρητεῖ. ‖ 27. κατρεὺς R^cV, καρτεὺς P, vulg. Κρητεύς. ‖ 30. κρατινίαν PDR^c, κερατινίαν V. ‖

τηνίαν ὠνόμασεν. ἀναβὰς δὲ ἐπὶ τὸ Ἀταβύριον καλούμενον ὄρος ἐθεάσατο τὰς πέριξ νήσους. κατιδὼν δὲ καὶ Κρήτην καὶ τῶν πατρῴων ὑπομνησθεὶς θεῶν ἱδρύετο βωμὸν Ἀταβυρίου Διός. μετ' οὐ πολὺ δὲ τῆς ἀδελφῆς αὐτόχειρ ἐγένετο. Ἑρμῆς γὰρ αὐτῆς ἐρασθεὶς ὡς φεύγουσαν αὐτὴν καταλαβεῖν οὐκ ἠδύνατο (περιῆν γὰρ αὐτοῦ τῷ τάχει τῶν ποδῶν), κατὰ τῆς ὁδοῦ βύρσας ὑπέστρωσε νεοδάρτας, ἐφ' ἃς ὀλισθήσασα, ἡνίκα ἀπὸ τῆς Κρήτης ἐπανῄει, φθείρεται καὶ τῷ ἀδελφῷ μηνύει τὸ γεγονός. ὁ δὲ σκῆψιν νομίσας εἶναι τὸν θεὸν λὰξ ἐνθορὼν ἀπέκτεινεν. 2. Ἀερόπην δὲ καὶ Κλυμένην Κατρεὺς Ναυπλίῳ δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπολῆσαι. τούτων Ἀερόπην μὲν ἔγημε Πλεισθένης, καὶ παῖδας Ἀγαμέμνονα καὶ Μενέλαον ἔτεκε, Κλυμένην δὲ γαμεῖ Ναύπλιος καὶ τέκνων πατὴρ γίνεται Οἴακος καὶ Παλαμήδους. Κατρεὺς δὲ ὕστερον γήρᾳ κατεχόμενος ἐπόθει τὴν βασιλείαν Ἀλθημένει τῷ παιδὶ παραδοῦναι, καὶ διὰ τοῦτο ἦλθεν εἰς Ῥόδον. ἀποβὰς δὲ τῆς νεὼς σὺν τοῖς ἥρωσι κατά τινα τῆς νήσου τόπον ἔρημον ἠλαύνετο ὑπὸ τῶν βουκόλων λῃστὰς ἐμβεβληκέναι δοκούντων, καὶ μὴ δυναμένων ἀκοῦσαι λέγοντος αὐτοῦ τὴν ἀλήθειαν διὰ τὴν κραυγὴν τῶν κυνῶν, ἀλλὰ βαλλόντων κἀκεῖνον, παραγενόμενος Ἀλθημένης ἀκοντίσας ἀπέκτεινεν ἀγνοῶν Κατρέα. μαθὼν δὲ ὕστερον τὸ γεγονὸς εὐξάμενος ὑπὸ χάσματος ἐκρύβη.

III. 1. Λευκαλίωνι δὲ ἐγένοντο Ἰδομενεύς τε καὶ Κρήτη καὶ νόθος ὁ Μόλος.

Γλαῦκος δὲ ἔτι νήπιος ὑπάρχων, μυίαν διώκων εἰς μέλιτος πίθον πεσὼν ἀπέθανεν. ἀφανοῦς δὲ ὄντος αὐτοῦ Μίνως πολλὴν ζήτησιν ποιούμενος περὶ τῆς εὑρήσεως ἐμαντεύετο.

1. ἀταβέρον V, cett. ἀταβέριον. ‖ 3. ἀταβαρίου libri. ‖ 7. νεοδάρτους ex nox ἐφ' αἷς Heynius. ‖ 8. Κρητηνίας Emperius: ἡνίκα — ἐπανῄει susp. Heyne. ‖ 11. κρατεὺς libri, vulg. Κρητεύς. ‖ ἀπεμπῶσαι P, scribebatur ἀπεμπωλῆσαι. ‖ 14. Οἴακος Galeus: ὄρακος libri. ‖ 15. κατρεὺς R^cV, al. κρητεύς. ‖ 22. κατρέα, R^c, καρτέα PD. ‖ 25. νόθος] Αἴθων ex Hom. Od. 19, 181 Sevinus. ‖ νόθος ὁ Μόλος Meurs. Cret. 3, 3: libri ν. καὶ μῶλος. ‖ 26. ὁ Μίνως, quod vulg. add. post δὲ, om. libri. ‖ μυίαν Commelinus: μυᾶ P μιᾶ R^c, μυᾶς V, μυίας M, vulg. τὸν μῦν, sed articulum om. PR^cM: scribebatur μῦν. ‖ 28. ποιούμενος PDR^cV, legebatur ποιησάμενος. ‖

Κούρητες δὲ εἶπον αὐτῷ, τριχρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βοῦν, τὸν δὲ τὴν ταύτης θέαν ἄριστα εἰκάσαι δυνηθέντα καὶ ζῶντα τὸν παῖδα ἀποδώσειν. συγκληθέντων δὲ τῶν μάντεων Πολύιδος ὁ Κοιρανοῦ τὴν χρόαν τῆς βοὸς εἴκασε βάτου καρπῷ, καὶ ζητεῖν τὸν παῖδα ἀναγκασθεὶς διά τινος μαντείας ἀνεῦρε. λέγοντος δὲ Μίνωος ὅτι δεῖ καὶ ζῶντα ἀπολαβεῖν αὐτόν, ἀπεκλείσθη σὺν τῷ νεκρῷ. ἐν ἀμηχανίᾳ δὲ πολλῇ τυγχάνων εἶδε δράκοντα ἐπὶ τὸν νεκρὸν ἰόντα· τοῦτον βαλὼν λίθῳ ἀπέκτεινε, δείσας μὴ ἂν αὐτὸς τελευτήσῃ, εἰ τοῦτο συμπάθοι. ἔρχεται δὲ ἕτερος δράκων, καὶ θεασάμενος νεκρὸν τὸν πρῶτον ἄπεισιν, εἶτα ὑποστρέφει ποίαν κομίζων, καὶ ταύτην ἐπιτίθησιν ἐπὶ πᾶν τὸ τοῦ ἑτέρου σῶμα, ἐπιτεθείσης δὲ τῆς ποίας ἀνέστη. θεασάμενος δὲ Πολύιδος καὶ θαυμάσας, τὴν αὐτὴν πόαν προσενεγκὼν τῷ τοῦ Γλαύκου σώματι ἀνέστησεν. 2. ἀπολαβὼν δὲ Μίνως τὸν παῖδα οὐδ' οὕτως εἰς Ἄργος ἀπιέναι τὸν Πολύιδον εἴα πρὶν ἢ τὴν μαντείαν διδάξαι τὸν Γλαῦκον· ἀναγκασθεὶς δὲ ὁ Πολύιδος διδάσκει. καὶ ἐπειδὴ ἀπέπλει, κελεύει τὸν Γλαῦκον εἰς τὸ στόμα ἐπιπτύσαι, καὶ τοῦτο ποιήσας Γλαῦκος τὴν μαντείαν ἐπελάθετο. τὰ μὲν οὖν περὶ τῶν τῆς Εὐρώπης ἀπογόνων μέχρι τοῦδέ μοι λελέχθω.

IV. 1. Κάδμος δὲ ἀποθανοῦσαν θάψας Τηλεφάσσαν, ὑπὸ Θρᾳκῶν ξενισθεὶς ἦλθεν εἰς Δελφοὺς περὶ τῆς Εὐρώπης πυνθανόμενος. ὁ δὲ θεὸς εἶπε περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ βοὶ καὶ πόλιν κτίζειν ἔνθα ἂν αὐτὴ πέσῃ καμοῦσα. τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο, εἶτα βοὶ συντυχὼν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ κατόπισθεν εἵπετο. ἡ δὲ διεξιοῦσα Βοιωτίαν ἐκλίθη, πόλις ἔνθα νῦν εἰσι Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ καταθῦσαι τὴν βοῦν πέμπει τινὰ τῶν μεθ' ἑαυτοῦ ληψόμενον ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ· φρουρῶν δὲ τὴν κρήνην

1. τρίχρωμον Galeus. ‖ 2. θέαν] χρόαν O. ‖ 3. καὶ ζῶντα om. R^b. ‖ 4. πολυΐδιος V. ‖ 7. ante ἀπεκλείσθη ex Schol. Lycophr. 811 inserui Aegius ἔν τινι οἰκήματι. ‖ νεκρῷ] αὐτῷ vulg. ‖ 9. τούτῳ edidit Heynius. ‖ 10. συμπάθῃ PDR^cV. ‖ 18. ἐπεὶ δὴ edebatur. ‖ 19. ἐμπτύσαι ex Schol. Lyc. Heynius, recepit Clavier. ‖ 23. εἰς δελφοὺς ἦλθε V. ‖ 28. βοιωτίᾳ V. ‖ 29. ἐκλήθη D et libri Aegii, ut videtur. ‖ 30. τινὰς — ληψομένους ex Schol. Hom. Galeus. ‖

δράκοντα, ὃν ἐξ Ἄρεος εἰπόν τινες γεγονέναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, καὶ τῆς Ἀθηνᾶς ὑποθεμένης τοὺς ὀδόντας αὐτοῦ σπείρει. τούτων δὲ σπαρέντων ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους, οἱ μὲν εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἱ δὲ ἀλλήλους ἀγνοοῦντες. Φερεκύδης δέ φησιν ὅτι Κάδμας ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους ἐπ' αὐτοὺς ἔβαλε λίθους, οἱ δὲ ὑπ' ἀλλήλων νομίζοντες βάλλεσθαι εἰς μάχην κατέστησαν. περιεσώθησαν δὲ πέντε, Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, Πέλωρ. 2. Κάδμος δὲ ἀνθ' ὧν ἔκτεινεν ἀΐδιον ἐνιαυτὸν ἐθήτευσεν Ἄρει· ἦν δὲ ὁ ἐνιαυτὸς τότε ὀκτὼ ἔτη. μετὰ δὲ τὴν θητείαν Ἀθηνᾶ αὐτῷ βασιλείαν κατεσκεύασε, Ζεὺς [δὲ] ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν, Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα, καὶ πάντες θεοὶ καταλιπόντες τὸν οὐρανὸν ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχούμενοι καθύμνησαν. ἔδωκε δὲ αὐτῇ Κάδμος πέπλον καὶ τὸν ἡφαιστότευκτον ὅρμον, ὃν ὑπὸ Ἡφαίστου λέγουσί τινες δοθῆναι Κάδμῳ, Φερεκύδης δὲ ὑπὸ Εὐρώπης, ὃν παρὰ Διὸς αὐτὴν λαβεῖν. γίνονται δὲ Κάδμῳ θυγατέρες μὲν Αὐτονόη, Ἰνώ, Σεμέλη, Ἀγαυή, παῖς δὲ Πολύδωρος. Ἰνὼ μὲν οὖν Ἀθάμας ἔγημεν, Αὐτονόην δὲ Ἀρισταῖος, Ἀγαυὴν Ἐχίων.

3. Σεμέλης δὲ Ζεὺς ἐρασθεὶς Ἥρας κρύφα συνευνάζεται. ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, κατανεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιήσειν, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι παραγίνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος ἀστραπαῖς ὁμοῦ καὶ βρονταῖς καὶ κεραυνὸν ἵησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλιπούσης ἐξαμηνιαῖον βρέφος ἐξαμβλω-

4. ἀνέτειλεν P. ‖ 5. οἱ δὲ ἀπέκτειναν ἀγνοοῦντες omissis medilis P: ἀλλήλους delgri aut legi εἰς ἔ. ἀ. ἐλθόντες ἀλλήλους, οἱ δὲ ἀγνοοῦντες maluit Heynius. ‖ 7. cf. Sturz. Pherec. fr. p. 107. ‖ 11. δὲ] καὶ V. ‖ ἀΐδιον] υἱὸν vel παῖδα Heynius, ἀνδρῶν Sevinus. ‖ 12. ἦν — ἔση susp. Heynio. ‖ 13. βασιλεῖ vulg., βασίλεια Sevinus. ‖ 14. δὲ add. Heynius. ‖ 16. καθύμνησαν PDR^{abc}M, legebatur ἀνύμνησαν. ‖ 18. cf. Sturz. Pherec. fr. p. 108. ‖ 22. ἐχίων libri. ‖ 26. ἥρας D. ‖

θεὸν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἀποθανούσης δὲ Σεμέλης αἱ λοιπαὶ Κάδμου θυγατέρες διήνεγκαν λόγον, συνευνῆσθαι θνητῷ τινι Σεμέλην καὶ καταψεύσασθαι Διός, καὶ διὰ τοῦτο ἐκεραυνώθη. κατὰ δὲ τὸν χρόνον τὸν
5 καθήκοντα Διόνυσον γεννᾷ Ζεὺς λύσας τὰ ῥάμματα καὶ δίδωσιν Ἑρμῇ, ὁ δὲ κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα καὶ πείθει τρέφειν ὡς κόρην. ἀγανακτήσασα δὲ Ἥρα μανίαν αὐτοῖς ἐνέβαλε. καὶ Ἀθάμας μὲν τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλαφον θηρεύσας ἀπέκτεινεν, Ἰνὼ δὲ τὸν Μελικέρτην εἰς
10 πεπυρωμένον λέβητα ῥίψασα, εἶτα βαστάσασα μετὰ νεκροῦ τοῦ παιδὸς ἥλατο κατὰ βυθῶν· καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖται, Παλαίμων δὲ ὁ παῖς, οὕτως ὀνομασθέντες ὑπὸ τῶν πλεόντων· τοῖς χειμαζομένοις γὰρ βοηθοῦσιν. ἐτέθη δὲ ἐπὶ Μελικέρτῃ ἀγὼν τῶν Ἰσθμίων, Σισύφου θέντος. Διόνυσον
15 δὲ Ζεὺς εἰς ἔριφον ἀλλάξας τὸν Ἥρας θυμὸν ἔκλεψε· καὶ λαβὼν αὐτὸν Ἑρμῆς πρὸς νύμφας ἐκόμισεν ἐν Νύσσῃ τῆς Ἀσίας κατοικούσας, ἃς ὕστερον Ζεὺς καταστερίσας ὠνόμασεν Ὑάδας.

4. Αὐτονόης δὲ καὶ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο,
20 ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη καὶ ὕστερον κατεβρώθη ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν. καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διὸς ὅτι ἐμνηστεύσατο Σεμέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην εἶδε. καί φασι τὴν θεὸν
25 παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίονος οἱ κύνες ἐπιζητοῦντες τὸν δεσπότην κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδω-

4. καὶ — ἐκεραυνώθη delenda aut κεραυνωθῆναι scribendum censuit Heynius. ‖ 9. εἰς] ὡς V. ‖ 11. ἤλατο vel ἥλατο libri. ‖ βυθοῦ vel βυθὸν Heynius. ‖ 12. ὀνομασθέντος PDR^cV. ‖ 15. τῶν — θυμῶν m. pr. R^c. ‖ 16. νύσσῃ libri, scribebatur Νύσῃ. ‖ 20. κυνήγιον v. d. nescio quis. ‖ 22. cf. Sturz. Acus. fr. p. 220. ‖ 23. ὅτε vulg. ‖ 27. ἀπολλυμένου PDR^cV, ἀπολοιμένου vulg. ‖ ἀκταίονος libri: Ἀκταίωνος Commelin. ‖ 29. ἐπὶ τὸ τοῦ PR^bV, vulg. ἐπὶ τοῦ. ‖

λον κατεσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσεν.

V. 1. Διόνυσος δὲ εὑρετὴς ἀμπέλου γενόμενος Ἥρας μανίαν αὐτῷ ἐμβαλούσης περιπλανᾶται Αἴγυπτόν τε καὶ Συρίαν. καὶ τὸ μὲν πρῶτον Πρωτεὺς αὐτὸν ὑποδέχεται βασι- 5
λεὺς Αἰγυπτίων, αὖθις δὲ εἰς Κύβελα τῆς Φρυγίας ἀφικνεῖται, κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας καὶ τὰς τελετὰς ἐκμαθὼν

2. ἔπαυσεν PDR^{c}, vulg. ἐπαύσατο. ‖ Post ἔπαυσεν vulg. leguntur haec: τὰ ὀνόματα τῶν Ἀκταίονος κυνῶν (cf. Ovid. Met. 3, 206 sqq. Hygin. fab. 181.) ἐκ τῶν οὕτω * * *

δὴ νῦν καλὸν σῶμα περισταδὸν, ἠὔτε θῆρες,
τοῖνδε δάσαντο κύνες κρατεροί. πέλας Ἄρκυα πρώτη.
* * * μετὰ ταύτην, ἄλκιμα τέκνα·
Λυγκεὺς καὶ βάνος πόδας ἀνετὸς, ἠδ' Ἀμάρυνθος.
καὶ τοὺς ὀνομαστὶ διήνεγκεν, ὡς κατέλεξε.
καὶ τότε Ἀκταῖων ἔθανεν Διὸς ἐννεσίῃσι.
πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ' ὠκὺς Ἀργός τε, Βορῆς τ' αἰψηροκέλευθος.
(τοῦ δ' Ἀκταίωνος πρῶτοι φάγον, αἷμα δ' ἔλαψαν)
τοὺς δὲ μετ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες.
(ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν).

a pr. ἐκ τῶν οὗτοι R^{c}, cett. ἐκ τῶν οὕτω, om. solus R^{b}: edebatur ἐξ ὧν οὗτοι. ‖ Versus tractarunt Scaliger ap. Toll. in adn. ad Palaeph. p. 161, Mitscherl. ep. crit. p. 23: nos intactam reliquimus scripturam Heynii ‖ 1. θηρὸς Scal. et Mitsch. ‖ 2. τοῦ δ' αὖ τὸ P, τοῦ δάσαντο R^{abc}X, τοῦ δάσαντος V, vulg. τοῦτον ἐδάσαντος: κρατεροῦ libri: ἄρκυα Πρώτη Aegius, Ἄρπυια Scal., Ἄργια Mitsch., ἄρκενα libri: Heynius versus initium falsae coni. (πέλας.....) Ἀγρέννη πρώτη μ. τ. ἀ. τ., Scal. sic supplevit: λεῖπ' Ἀργή, Πτερέλα vel λεῖπ' Ἄγρη, Κανάχης. ‖ 4. βαιὸς πόδας Αἴνετος Scal., Λ. καὶ Βάλιος Mitsch., Λ. ἰχνοβάτης πόδας αἰνετὸς Galeus: ἠδὲ Δρομαῖος Scal., ἠδὲ Μελάμπους Galeus. ‖ 5. καὶ οὓς ὀνομαστὶ διήνεγκεν ὡς καταλέξῃ libri, καὶ τούτους ὀνομαστὶ διηνεκέως κατέλεξε Scal. ‖ 6. καὶ τότ' libri plurimi, καὶ om. R^{c}V: τότε γ' Mitsch., τότε δ' Sommerus: ἀκταῖον κτεῖνε PDR^{c}X, ἀκταῖον κτεῖναι VM: αἰνεσίῃσι libri. ‖ 7. πρῶτος libri: αἷμα πίον Scal., libri ἀπὸ. ‖ 8. παρτός τ' ὠ. vel δὲ ὠ. libri, Σπαρτός τ' οὖν Scal., Σπ. γοῦν aut Σπαρτός τ' Οὐραργός τε Heynius, Σπ. τε Λάβρος τε Sommerus ex Ovid. 3, 224. ‖ 9. οὗ δ' ἀκταίων M, οὗ δ' ἀκταίου cett. libri, τοὶ δ' Ἀκταίωνος Scal., οἱ δ' Ἀκταίωνος Sommerus: ἔδαψαν vulg. ‖ 10. ἐπέσσυθον vulg., corr. Scal. ‖ 11. hunc versum alieno loco illatum esse et ad Bacchum spectare viderunt Faber, Galeus aliique: cf. Athen. 2. p. 35 sqq. ‖

3. δὲ om. PR^{c}. ‖ 4. ἐμβαλούσης PR^{c}V atque alii: ἐμβαλλούσης Aegius. ‖ Αἴγυπτον — Συρίαν susp. Heynio. ‖ 6. Κύβαλα vulg. ‖

θεὸν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἀποθανούσης δὲ Σεμέλης αἱ λοιπαὶ Κάδμου θυγατέρες διήνεγκαν λόγον, συνευνῆσθαι θνητῷ τινι Σεμέλην καὶ καταψεύσασθαι Διός, καὶ διὰ τοῦτο ἐκεραυνώθη. κατὰ δὲ τὸν χρόνον τὸν καθήκοντα Διόνυσον γεννᾷ Ζεὺς λύσας τὰ ῥάμματα καὶ δίδωσιν Ἑρμῇ, ὁ δὲ κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα καὶ πείθει τρέφειν ὡς κόρην. ἀγανακτήσασα δὲ Ἥρα μανίαν αὐτοῖς ἐνέβαλε. καὶ Ἀθάμας μὲν τὸν πρεσβύτερον παῖδα Λέαρχον ὡς ἔλαφον θηρεύσας ἀπέκτεινεν, Ἰνὼ δὲ τὸν Μελικέρτην εἰς πεπυρωμένον λέβητα ῥίψασα, εἶτα βαστάσασα μετὰ νεκροῦ τοῦ παιδὸς ἥλατο κατὰ βυθῶν· καὶ Λευκοθέα μὲν αὐτὴ καλεῖται, Παλαίμων δὲ ὁ παῖς, οὕτως ὀνομασθέντες ὑπὸ τῶν πλεόντων· τοῖς χειμαζομένοις γὰρ βοηθοῦσιν. ἐτέθη δὲ ἐπὶ Μελικέρτῃ ἀγὼν τῶν Ἰσθμίων, Σισύφου θέντος. Διόνυσον δὲ Ζεὺς εἰς ἔριφον ἀλλάξας τὸν Ἥρας θυμὸν ἔκλεψε· καὶ λαβὼν αὐτὸν Ἑρμῆς πρὸς νύμφας ἐκόμισεν ἐν Νύσσῃ τῆς Ἀσίας κατοικούσας, ἃς ὕστερον Ζεὺς καταστερίσας ὠνόμασεν Ὑάδας.

4. Αὐτονόης δὲ καὶ Ἀριστάιου παῖς Ἀκταίων ἐγένετο, ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη καὶ ὕστερον κατεβρώθη ἐν τῷ Κιθαιρῶνι ὑπὸ τῶν ἰδίων κυνῶν. καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διὸς ὅτι ἐμνηστεύσατο Σεμέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν λουομένην εἶδε. καί φασι τὴν θεὸν παραχρῆμα αὐτοῦ τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι καὶ τοῖς ἑπομένοις αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίονος οἱ κύνες ἐπιζητοῦντες τὸν δεσπότην κατωρύοντο, καὶ ζήτησιν ποιούμενοι παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον, ὃς εἴδω-

4. καὶ — ἐκεραυνώθη delenda aut κεραυνωθῆναι scribendum censuit Heynius. ‖ 9. εἰς] ὡς V. ‖ 11. ἥλατο vel ἅλατο libri. ‖ βυθοῦ vel βυθὸν Heynius. ‖ 12. ὀνομασθέντος PDRcV. ‖ 15. τῶν — θυμῶν m. pr. Rc. ‖ 16. νύσσῃ libri, scribebatur Νύσῃ. ‖ 20. κυνήγιον v. d. nescio quis. ‖ 22. cf. Sturz. Acus. fr. p. 220. ‖ 23. ὅτε vulg. ‖ 27. ἀπολλυμένου PDRcV, ἀπολουμένου vulg. ‖ ἀκταίονος libri: Ἀκταίωνος Commelin. ‖ 29. ἐπὶ τὸ τοῦ PRbV, vulg. ἐπὶ τοῦ. ‖

λον κατεσκεύασεν Ἀκταίονος, ὃ καὶ τὴν λύπην αὐτῶν ἔπαυσεν.

V. 1. *Διόνυσος δὲ εὑρετὴς ἀμπέλου γενόμενος Ἥρας μανίαν αὐτῷ ἐμβαλούσης περιπλανᾶται Αἴγυπτόν τε καὶ Συρίαν. καὶ τὸ μὲν πρῶτον Πρωτεὺς αὐτὸν ὑποδέχεται βασι-* 5 *λεὺς Αἰγυπτίων, αὖθις δὲ εἰς Κύβελα τῆς Φρυγίας ἀφικνεῖται, κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας καὶ τὰς τελετὰς ἐκμαθὼν*

2. ἔπαυσεν PDR^{c}, vulg. ἐπαύσατο. ‖ Post ἔπαυσεν vulg. leguntur haec: τὰ ὀνόματα τῶν Ἀκταίονος κυνῶν (cf. Ovid. Met. 3, 206 sqq. Hygin. fab. 181.) ἐκ τῶν οὕτω * * *

δὴ νῦν καλὸν σῶμα περισταδὸν, ἠὔτε θῆρες,
τοῦδε δάσαντο κύνες κρατεροί. πέλας Ἄρκυα πρώτη.
* * * *μετὰ ταύτην, ἄλκιμα τέκνα·*
Λυγκεὺς καὶ βάνος πόδας ἀνετὸς, ἠδ' Ἀμάρυνθος.
5 *καὶ τοὺς ὀνομαστὶ διήνεγκεν, ὡς κατέλεξε.*
καὶ τότε Ἀκταῖων ἔθανεν Διὸς ἐννεσίῃσι.
πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ' ὠκ' Ἀργός τε, Βορῆς τ' αἰψηροκέλευθος.
(τοῦ δ' Ἀκταίωνος πρῶτοι φάγον, αἷμα δ' ἔλαψαν)
10 *τοὺς δὲ μετ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες.*
(ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν).

a pr. ἐκ τῶν οὗτοι R^{c}, cett. ἐκ τῶν οὕτω, om. solus R^{b}: edebatur ἐξ ὧν οὗτοι. ‖ Versus tractarunt Scaliger ap. Toll. in adn. ad Palaeph. p. 161, Mitscherl. ep. crit. p. 23: nos intactam reliquimus scripturam Heynii ‖ 1. θηρὸς Scal. et Mitsch. ‖ 2. τοῦ δ' αὖ τὸ P, τοῦ δάσαντο R^{abc}X, τοῦ δάσαντος V, vulg. τοῦτον ἐδάσαντος: κρατεροῦ libri: ἄρκυα Πρώτη Aegius, Ἄρπυια Scal., Ἄργια Mitsch., ἄρκεα libri: Heynius versus initium fuisse coni. (πέλας.....) Ἀγρέννη πρώτη μ. τ. ἀ. τ., Scal. sic supplevit: λεῖπ' Ἀργῆ, Πτερέλα vel λεῖπ' Ἄγρη, Κανάχης. ‖ 4. βαιὸς πόδας Αἴνετος Scal., Λ. καὶ Βάλιος Mitsch., Λ. ἰχνοβάτης πόδας αἰνετὸς Galeus: ἠδὲ Δρομαῖος Scal., ἠδὲ Μελάμπους Galeus. ‖ 5. καὶ οὓς ὀνομαστὶ διήνεγκεν ὡς καταλέξῃ libri, καὶ τούτους ὀνομαστὶ διηνεκέως κατέλεξε Scal. ‖ 6. καὶ τότ' libri plurimi, καὶ om. R^{c}V: τότε γ' Mitsch., τότε δ' Sommerus: ἀκταῖον κτεῖνε PDR^{c}X, ἀκταῖον κτεῖναι VM: αἰνεσίῃσι libri. ‖ 7. πρῶτος libri: αἷμα πίον Scal., libri ἀπὸ. ‖ 8. παρτός τ' ὦ vel δὲ ὦν libri, Σπαρτός τ' οὖν Scal., Σπ. γοῦν aut Σπαρτός τ' Οὐραργός τε Heynius, Σπ. τε Λάβρος τε Sommerus ex Ovid. 3, 224. ‖ 9. οὔ δ' ἀκταίων M, οὔ δ' ἀκταίου cett. libri, τοὶ δ' Ἀκταίωνος Scal., οἱ δ' Ἀκταίωνος Sommerus: ἔδαψαν vulg. ‖ 10. ἐπέσσυθον vulg., corr. Scal. ‖ 11. hunc versum alieno loco illatum esse et ad Bacchum spectare viderunt Faber, Galeus aliique: cf. Athen. 2. p. 35 sqq. ‖

3. δὲ om. PR^{c}. ‖ 4. ἐμβαλούσης PR^{c}V atque alii: ἐμβαλλούσης Aegius. ‖ Αἴγυπτον — Συρίαν susp. Heynio. ‖ 6. Κύβαλα vulg. ‖

καὶ λαβὼν παρ' ἐκείνης τὴν στολὴν ἐπὶ Ἰνδοὺς διὰ τῆς Θρᾴκης ἠπείγετο. Λυκοῦργος δὲ, παῖς Δρύαντος, Ἠδωνῶν βασιλεύων, οἳ Στρυμόνα παροικοῦσι ποταμόν, πρῶτος ὑβρίσας ἐξέβαλλεν αὐτόν· καὶ Διόνυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν
5 τὴν Νηρέως κατέφυγε, Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι καὶ τὸ συνεπόμενον Σατύρων πλῆθος αὐτῷ. αὖθις δὲ αἱ Βάκχαι ἐλύθησαν ἐξαίφνης, Λυκούργῳ δὲ μανίαν ἐποίησε Διόνυσος. ὁ δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε καὶ ἀκρωτηριάσας
10 ἑαυτὸν ἐσωφρόνησε. τῆς δὲ γῆς ἀκάρπου μενούσης ἔχρησεν ὁ θεὸς καρποφορήσειν αὐτήν, ἂν θανατωθῇ Λυκοῦργος. Ἠδωνοὶ δὲ ἀκούσαντες εἰς τὸ Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος ἔδησαν, κἀκεῖ κατὰ Διονύσου βούλησιν ὑπὸ ἵππων διαφθαρεὶς ἀπέθανε. 2. διελθὼν δὲ τὴν Θρᾴκην καὶ τὴν Ἰν-
15 δικὴν ἅπασαν, στήλας ἐκεῖ στήσας ἦκεν εἰς Θῆβας, καὶ τὰς γυναῖκας ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ Κιθαιρῶνι. Πενθεὺς δὲ, γεννηθεὶς ἐξ Ἀγαυῆς Ἐχίονι, παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν διεκώλυε ταῦτα γίνεσθαι, καὶ παραγενόμενος εἰς Κιθαιρῶνα τῶν Βακχῶν κατά-
20 σκοπος ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίαν ἐμελετήθη· ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. δείξας δὲ Θηβαίοις ὅτι θεός ἐστιν, ἦκεν εἰς Ἄργος, κἀκεῖ πάλιν οὐ τιμώντων αὐτὸν ἐξέμηνε τὰς γυναῖκας. αἱ δὲ ἐν τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας τὰς σάρκας αὐτῶν ἐσιτοῦντο. 3. βουλόμενος
25 δὲ ἀπὸ τῆς Ἰκαρίας εἰς Νάξον διακομισθῆναι Τυρρηνῶν λῃστρικὴν ἐμισθώσατο τριήρη, οἱ δὲ αὐτὸν ἐνθέμενοι Νάξον μὲν παρέπλεον, ἠπείγοντο δὲ εἰς Ἀσίαν ἀπεμπολήσοντες. ὁ δὲ τὸν μὲν ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ δὲ σκάφος

1. τὸν στόλον Arnald. d. diis paredr. p. 163. ‖ ἐπὶ Ἰνδοὺς alieno loco insertum esse censuit Heynius. ‖ 3. παροικοῦσι ποταμὸν PV, legebatur ποτ. παρ. ‖ 6. αὐτῷ susp. Heynio. ‖ 7. δὲ DRc: γὰρ Aegius. ‖ ἐνεποίησε Heynius. ‖ 10. αὐτὸν PRcV, et sic legebatur: cf. G. Hermann. opp. 5. p. 5. ‖ ἐσωφρόνισε DRc. ‖ 12. παγκαῖον libri. ‖ 13. μετὰ PV. ‖ 14. τὴν post δὲ addidi ex P. ‖ καὶ — στήσας susp. Heynio. ‖ Ἰνδικὴν em. P: Μηδικὴν Unger. Theb. parad. 1. p. 286. ‖ 16. ἠνάγκαζε V. ‖ 18. πρὸ P. ‖ 20. ἐμελίσθη V. ‖ 26. τριήρην V. ‖ 27. ἀπεμπολήσοντες PD, vulg. ἀπεμπολήσοντες. cf. Lobeck. ad Phryn. p. 584. ‖ 28. ἰσθμὸν libri. ‖

ἔπλησε κισσοῦ καὶ βοῆς αὐλῶν· οἱ δὲ ἐμμανεῖς γενόμενοι κατὰ τῆς θαλάττης ἔφυγον καὶ ἐγένοντο δελφῖνες. ὡς δὲ μαθόντες αὐτὸν θεὸν ἄνθρωποι ἐτίμων, ὁ δὲ ἀναγαγὼν ἐξ Ἅιδου τὴν μητέρα καὶ προσαγορεύσας Θυώνην μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν. 5

4. Ὁ δὲ Κάδμος μετὰ Ἁρμονίας Θήβας ἐκλιπὼν πρὸς Ἐγχέλεας παραγίνεται. τούτοις δὲ ὑπὸ Ἰλλυριῶν πολεμουμένοις ὁ θεὸς ἔχρησεν, Ἰλλυριῶν κρατήσειν, ἐὰν ἡγεμόνα Κάδμον καὶ Ἁρμονίαν ἔχωσιν. οἱ δὲ πεισθέντες ποιοῦνται κατὰ Ἰλλυριῶν ἡγεμόνας τούτους καὶ κρατοῦσι. καὶ βασιλεύει Κάδμος Ἰλλυριῶν καὶ παῖς Ἰλλύριος αὐτῷ γίνεται. αὖθις δὲ μετὰ Ἁρμονίας εἰς δράκοντα μεταβαλὼν εἰς Ἠλύσιον πεδίον ὑπὸ Διὸς ἐξεπέμφθησαν. 10

5. Πολύδωρος δὲ Θηβῶν βασιλεὺς γενόμενος Νυκτηίδα γαμεῖ, Νυκτέως τοῦ Χθονίου θυγατέρα, καὶ γεννᾷ Λάβδακον. οὗτος ἀπώλετο μετὰ Πενθέα, ἐκείνῳ φρονῶν παραπλήσια. καταλιπόντος δὲ Λαβδάκου παῖδα ἐνιαυσιαῖον Λάϊον τὴν ἀρχὴν ἀφείλετο Λύκος, ἕως οὗτος ἦν παῖς, ἀδελφὸς ὢν Νυκτέως. ἀμφότεροι δὲ ἀπὸ Εὐβοίας φυγόντες, ἐπεὶ Φλεγύαν ἀπέκτειναν τὸν Ἄρεος καὶ Δωτίδος, τῆς Βοιωτίδος Ὑρίαν κατῴκουν καὶ διὰ τὴν πρὸς Πενθέα οἰκειότητα ἐγεγένεισαν πολῖται. αἱρεθεὶς οὖν Λύκος πολέμαρχος ὑπὸ Θηβαίων ἐπετίθετο τῇ δυναστείᾳ, καὶ βασιλεύσας ἔτη εἴκοσι φονευθεὶς ὑπὸ Ζήθου καὶ Ἀμφίονος θνήσκει δι' αἰτίαν τήνδε. Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως. ταύτῃ Ζεὺς συνῆλθεν, ἡ δὲ ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνά ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυ- 15 20 25

2. ὡς δὲ vulg., ὧδε Heynius. ‖ 7. ἀγχέλεας libri. ‖ 8. ἡγεμόνα libri: ἡγεμόνας Sommerus. ‖ 13. ἐξεπέμφθη Heynius. ‖ 15. νυκτέος P. ‖ τοῦ om. PDR^cV. ‖ Χθονίου] Κλονίας Palmer., χθονίου Heynius. ‖ λαύδακον PDR^cV. ‖ 16. κατὰ Siebelis. ‖ 18. ἕως — παῖς susp. Heynio. ‖ 19. ἀπὸ Εὐβοίας delevit Heynius, ἀπὸ Περραιβίας Unger. Theb. parad. 1. p. 350 sq. ‖ ἐπὶ V. ‖ 20. ἄρεος υἱὸν καὶ V. ‖ δωτίδος libri, edebatur Χρύσης ex Aegii corr. ‖ τῆς Βοιωτίδος deleverunt Heynius, Ilgen ad Hom. hymn. 16, 8, Mueller. Orchom. p. 192, 4. ‖ 21. οὐρίαν S, cett. συρίαν. ‖ ἐκεῖθεν ἐλθόντες εἰς Θήβας post καὶ excidisse censuit Heynius. ‖

κτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὴν Λύκῳ παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὁ δὲ στρατευσάμενος Σικυῶνα χειροῦται, καὶ τὸν μὲν Ἐπωπέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἡ δὲ ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς τῆς Βοιωτίας, οὓς ἐκκειμένους εὑρὼν βουκόλος ἀνατρέφει, καὶ τὸν μὲν καλεῖ Ζῆθον, τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπεμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾠκίζετο Λύκος καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε τῶν δεσμῶν αὐτομάτως λυθέντων ἧκεν ἐπὶ τῶν παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἱ δὲ ἀναγνωρισάμενοι τὴν μητέρα τὸν μὲν Λύκον κτείνουσι, τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου θανοῦσαν ῥίπτουσιν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην. παραλαβόντες δὲ τὴν δυναστείαν τὴν μὲν πόλιν ἐτείχισαν ἐπακολουθησάντων τῇ Ἀμφίονος λύρᾳ τῶν λίθων, Λάϊον δὲ ἐξέβαλον. ὁ δὲ ἐν Πελοποννήσῳ διατελῶν ἐπιξενοῦται Πέλοπι, καὶ τούτου παῖδα Χρύσιππον ἁρματοδραμεῖν διδάσκων ἐρασθεὶς ἀναρπάζει.

6. γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς ἡ πόλις Θῆβαι, Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν ἑπτά, Σίπυλον, Μίνυτον, Ἴσμηνον, Δαμασίχθονα, Ἀγήνορα, Φαίδιμον, Τάνταλον, θυγατέρας δὲ τὰς ἴσας, Ἐθοδαΐαν ἢ ὥς τινες Νέαιραν, Κλεοδόξαν, Ἀστυόχην, Φθίαν, Πελοπίαν, Ἀστυκράτειαν, Ὠγυγίαν. Ἡσίοδος δὲ δέκα μὲν υἱοὺς, δέκα δὲ θυγατέρας, Ἡρόδωρος δὲ δύο μὲν ἄρρενας, τρεῖς δὲ θηλείας, Ὅμηρος δὲ ἓξ μὲν υἱοὺς, ἓξ δὲ θυγατέρας φησὶ γενέσθαι. εὔτεκνος δὲ οὖσα Νιόβη τῆς Λητοῦς εὐτεκνοτέρα εἶπεν ὑπάρχειν, Λητὼ δὲ ἀγανακτήσασα τήν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα κατ' αὐτῶν παρώξυνε· καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας κατετόξευσεν Ἄρτεμις, τοὺς δὲ ἄρρενας κοινῇ

1. et 2. περὶ bis vulg. ‖ 5. ἐλευθέρῳ libri. ‖ 7. βουφοραίων libri. ‖ 13. θρῇ post Δίρκην vulg. additum om. libri. ‖ 15. ἐτείχησαν vulg. ‖ 18. ἁρματαδρομεῖν Lobeck. ad Phryn. p. 617. ‖ 21. Εὐπίνυτον ex Hygin. fab. 11 Munckerus. ‖ ἰσμὴν PR^{c}V. ‖ 22. ἐθοδαΐαν PO, vulg. ἐθοδαίαν. ‖ 23. νέαιραν PR^{a}O, καίραν DR^{bc}V, vulg. Θῆραν. ‖ Κλεοδόξην Heynius. ‖ φθέαν libri. ‖ πελόπιν libri. ‖ 24. cf. Marckscheffel Hes. fr. p. 297. ‖ δέκα δὲ ἧς δὲ V. ‖ 25. Ἡρόδοτος vulg. ‖ 26. Hom. Iliad. 24, 602 sq. ‖ 27. εὐτεκνοτέρα VM, εὐτεκνωτέρα PR^{c}X. ‖ 29. ἀπόλλω libri. ‖

πάντας ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετοῦντας ἀπέκτεινεν. ἐσώθη δὲ τῶν μὲν ἀρρένων Ἀμφίων, τῶν δὲ θηλειῶν Χλωρὶς ἡ πρεσβυτέρα, ἣ Νηλεὺς συνῴκησε· κατὰ δὲ Τελέσιλλαν ἐσώθησαν Ἀμύκλας καὶ Μελίβοια, ἐτοξεύθη δὲ ὑπ' αὐτῶν καὶ Ἀμφίων. αὐτὴ δὲ Νιόβη Θήβας ἀπολιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἦκεν εἰς Σίπυλον, κἀκεῖ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέβαλε· καὶ κεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν τοῦ λίθου. 7. μετὰ δὲ τὴν Ἀμφίονος τελευτὴν Λάϊος τὴν βασιλείαν παρέλαβε, καὶ γήμας θυγατέρα Μενοικέως, ἣν ἔνιοι μὲν Ἰοκάστην, ἔνιοι δὲ Ἐπικάστην λέγουσι, χρήσαντος τοῦ θεοῦ μὴ γεννᾷν, τὸν γεννηθέντα γὰρ πατροκτόνον ἔσεσθαι, ὁ δὲ οἰνωθεὶς συνῆλθε τῇ γυναικί, καὶ τὸ γεννηθὲν ἐκθεῖναι δίδωσι νομεῖ, περόναις διατρήσας τὰ σφυρά. ἀλλ' οὗτος μὲν ἐξέθηκεν εἰς Κιθαιρῶνα, Πολύβου δὲ βουκόλοι τοῦ Κορινθίων βασιλέως τὸ βρέφος εὑρόντες πρὸς τὴν αὐτοῦ γυναῖκα Περίβοιαν ἤνεγκαν. ἡ δὲ ἀνελοῦσα ὑποβάλλεται καὶ θεραπεύσασα τὰ σφυρὰ Οἰδίπουν καλεῖ, τοῦτο θεμένη τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι. τελειωθεὶς δὲ ὁ παῖς καὶ διαφέρων τῶν ἡλίκων ἐν ῥώμῃ διὰ φθόνον ὠνειδίζετο ὑπόβλητος, ὁ δὲ πυνθανόμενος παρὰ τῆς Περιβοίας μαθεῖν οὐκ ἐδύνατο, ἀφικόμενος δὲ εἰς Δελφοὺς περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων. ὁ δὲ θεὸς εἶπεν αὐτῷ, εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ πατέρα φονεύσειν, τῇ δὲ μητρὶ μιγήσεσθαι. τοῦτο ἀκούσας καὶ νομίζων ἐξ ὧν ἐλέγετο γεγεννῆσθαι, Κόρινθον μὲν ἀπέλιπεν, ἐφ' ἅρματος δὲ διὰ τῆς Φωκίδος φερόμενος συντυγχάνει κατά τινα στενὴν ὁδὸν ἐφ' ἅρματος ὀχουμένῳ Λαΐῳ καὶ Πολυφόντῃ· κήρυξ δὲ οὗτος ἦν Λαΐου· καὶ κελεύσαντος ἐκχωρεῖν καὶ δι' ἀπείθειαν καὶ ἀναβολὴν κτείναντος τῶν ἵππων τὸν ἕτερον,

2. χάρις V, cett. χωρὶς. ‖ 3. τελεσίαν libri. ‖ 4. ἀμύκλας libri, legebatur Ἀμύκλα. ‖ ὑπ' αὐτῶν susp. Heynio. ‖ 5. δὲ om. PR^c. ‖ 6. εἰς πύλον V. ‖ 7. νύκτων V. ‖ 8. τοῦ λίθου susp. Heynio et Mitscherl. ep. er. p. 31, qui et senarii vestigia deprehendit, χεῖται δὲ νύκτωρ δάκρυα καὶ μεθ' ἡμέραν. ‖ 11. δὲ ante τοῦ desideravit Heynius. ‖ γεννήσαντα V. ‖ 12. τὸ γεννηθὲν libri Aegii, τὸν γεννηθέντα PV. ‖ 14. βουκόλου D. ‖ 15. κορινθίου P. ‖ 17. τοῦτο δὲ θ. V. ‖ 19. ἐν susp. Heynio, ἐπὶ Zenob. 2, 68. ‖ φόνον D et ed. pr. ‖ 20. ὠνειδίζεται vulg. ‖ περὶ vulg. ‖ 25. ἔλεγε vulg. ‖ 28. καὶ] οὐ Heynius. ‖

ἀγωνακτήσας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάϊον ἀπέκτεινε, καὶ παρεγένετο εἰς Θήβας. 8. Λάϊον μὲν οὖν θάπτει βασιλεὺς Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων ὁ Μενοικέως παραλαμβάνει. τούτου δὲ βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν, πατρὸς δὲ Τυφῶνος· εἶχε δὲ πρόσωπον μὲν γυναικός, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. μαθοῦσα δὲ αἴνιγμά τι παρὰ Μουσῶν ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο καὶ τοῦτο προὔτεινε Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα „τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται;“ χρησμοῦ δὲ Θηβαίοις ὑπάρχοντος, τηνικαῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγός, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι, [καὶ] συνιόντες εἰς αὐτὸ πολλάκις ἐζήτουν τί τὸ λεγόμενόν ἐστιν· ἐπὰν δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν εἰπὼν τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπον εἶναι· γεννᾶσθαι γὰρ τετράπουν βρέφος τοῖς τέτταρσιν ὀχούμενον κώλοις, τελειούμενον δὲ τὸν ἄνθρωπον δίπουν, γηρῶντα δὲ τρίτην προσλαμβάνειν βάσιν τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔρριψεν, Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παρέλαβε καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν, καὶ παῖδας ἐτέκνωσεν ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα, θυγατέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. εἰσὶ δὲ οἱ γεννηθῆναι τὰ τέκνα φασὶν ἐξ

2. μὲν om. R^b. ‖ 3. πλατυμέων libri. ‖ 4. ὁ inserunt R^ab V. ‖ 8. αἰνίγματα libri, legebatur αἴνιγμα. ‖ 9. φίκιον PDR^c. ‖ προὔφαινε Koelerus. ‖ 10. ὃ μίαν R^ab, ὁμίαν PDVX, vulg. τί ἐστι τὸ μίαν. ‖ 14. ἐζήτει vulg., καὶ delendum et ἐζήτουν (cf. Bast. comm. pal. p. 776) scribendum censuit Heynius, συνιόντας Aegius, ἐκ συνιόντων vel συνιόντων Faber et Galeus, solum εἰς ταὐτὸ mutandum censuit Clavier, Ceraes vero scribi voluit καὶ συνιόντων εἰς ταὐτὸ πολλάκις ἐζητεῖτο τί τ. λ. ἐ. ‖ ἐπεὶ vel ἐπειδὴ Heynius, praetereaque εὕρισκον Sommerus. ‖ ἁρπάσας vulg. ‖ 15. πολλάκις vulg. ‖ 19. γεννᾶσθαι PR^cVX, vulg. γεννᾶται. ‖ 22. ἀπὸ τ. ἀκροπόλεως susp. Heynio. ‖ 26. ταῦτα, quod post τέκνα adiectum erat, om. libri. ‖

Εὐρυγενείας αὐτῷ τῆς Τεύθραντος. 9. φανέντων δὲ ὕστερον τῶν λανθανόντων Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυτὴν ἀνήρτησεν, Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος, οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ ἐπήμυναν. παραγενόμενος δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνόν, ἔνθα τὸ τῶν Εὐμενίδων ἔστι τέμενος, καθίζει ἱκέτης προσδεχθεὶς ὑπὸ Θησέως, καὶ μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.

VI. 1. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν λέγουσι, πρῶτον ἄρξαντος Πολυνείκους παραδοῦναι μετ' ἐνιαυτὸν τὴν βασιλείαν Ἐτεοκλεῖ, τινὲς δὲ πρῶτον Ἐτεοκλέους ἄρξαντος μὴ βούλεσθαι παραδοῦναι τὴν βασιλείαν. φυγαδευθεὶς οὖν Πολυνείκης ἐκ Θηβῶν ἦκεν εἰς Ἄργος τόν τε ὅρμον καὶ τὸν πέπλον ἔχων. ἐβασίλευε δὲ Ἄργους Ἄδραστος ὁ Ταλαοῦ. καὶ τοῖς τούτου βασιλείοις νύκτωρ προσπελάζει καὶ συνάπτει μάχην Τυδεῖ τῷ Οἰνέως φεύγοντι Καλυδῶνα. γενομένης δὲ ἐξαίφνης βοῆς ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς, καὶ μάντεώς τινος ὑπομνησθεὶς λέγοντος αὐτῷ, κάπρῳ καὶ λέοντι συζεῦξαι τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους· εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὁ μὲν κάπρου προτομήν, ὁ δὲ λέοντος. γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεύς, Ἀργείην δὲ Πολυνείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς τὰς πατρίδας ὑπέσχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θήβας ἔσπευδε στρατεύεσθαι καὶ τοὺς ἀριστέας συνήθροιζεν. 2. Ἀμφιάραος δὲ ὁ Οἰκλέους, μάντις ὢν καὶ προειδὼς ὅτι δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοιποὺς ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἴφιν τὸν Ἀλέκτορος ἠξίου μαθεῖν, πῶς ἂν Ἀμφιάραος ἀναγκασθείη στρατεύεσθαι, ὁ δὲ εἶπεν, εἰ λάβοι τὸν ὅρμον Ἐριφύλη. Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ Πολυνείκους δῶρα

1. Εὐρυγανείας ex Paus. 9. 5, 11 Heynius: libri εὐρυγενείας. ‖ αὐτῷ addidi: libri αὐτῶν. ‖ τεύθραντος vel τεύτραντος libri, legebatur Ὑπέρφαντος. cf. Mueller. Orchom. p. 226, 6. ‖ 4. ἐκβαλλόμενον αὐτόν V. ‖ 9. ἐτεοκλέα δ. κ. πολυνείκη — συντίθεται PDR^c. ‖ 10. πρὸς om R^c. ‖ 13. Ἐτεοκλέα ἄρξαντα Faber. ‖ 22. διιπύλην DR^c. ‖ 26. ἰοκλέους libri. ‖

ἀγανακτήσας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάϊον ἀπέκτεινε, καὶ παρεγένετο εἰς Θήβας. 8. Λάϊον μὲν οὖν θάπτει βασιλεὺς Πλαταιέων Λαμασίστρατος, τὴν δὲ βασιλείαν Κρέων ὁ Μενοικέως παραλαμβάνει. τούτου δὲ βασιλεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν, πατρὸς δὲ Τυφῶνος· εἶχε δὲ πρόσωπον μὲν γυναικός, στῆθος δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος. μαθοῦσα δὲ αἴνιγμά τι παρὰ Μουσῶν ἐπὶ τὸ Φίκειον ὄρος ἐκαθέζετο καὶ τοῦτο προὔτεινε Θηβαίοις. ἦν δὲ τὸ αἴνιγμα „τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίνεται;“ χρησμοῦ δὲ Θηβαίοις ὑπάρχοντος, τηνικαῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγός, ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι, [καὶ] συνιόντες εἰς αὐτὸ πολλάκις ἐζήτουν τί τὸ λεγόμενόν ἐστιν· ἐπὰν δὲ μὴ εὕρισκον, ἁρπάσασα ἕνα κατεβίβρωσκε. πολλῶν δὲ ἀπολλυμένων καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος, κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασιλείαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ ἀκούσας ἔλυσεν εἰπὼν τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον ἄνθρωπον εἶναι· γεννᾶσθαι γὰρ τετράπουν βρέφος τοῖς τέτταρσιν ὀχούμενον κώλοις, τελειούμενον δὲ τὸν ἄνθρωπον δίπουν, γηρῶντα δὲ τρίτην προσλαμβάνειν βάσιν τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκροπόλεως ἑαυτὴν ἔρριψεν, Οἰδίπους δὲ καὶ τὴν βασιλείαν παρέλαβε καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν, καὶ παῖδας ἐτέκνωσεν ἐξ αὐτῆς Πολυνείκη καὶ Ἐτεοκλέα, θυγατέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. εἰσὶ δὲ οἱ γεννηθῆναι τὰ τέκνα φασὶν ἐξ

2. μὲν om. R^b. ‖ 3. πλατυμίων libri. ‖ 4. ὁ inserunt R^ab V. ‖ 8. αἰνίγματα libri, legebatur αἴνιγμα. ‖ 9. φίκιον PDR^c. ‖ προὔφαινε Koelerus. ‖ 10. ὃ μίαν R^ab, ὁμίαν PDVX; vulg. τί ἐστι τὸ μίαν. ‖ 14. ἐζήτει vulg., καὶ delendum et ἐζήτουν (cf. Bast. comm. pal. p. 776) scribendum censuit Heynius, συνιόντας Aegius, ἐκ συνιόντων vel συνιόντων Faber et Galeus, solum εἰς ταὐτὸ mutandum censuit Clavier, Ceraes vero scribi voluit καὶ συνιόντων εἰς ταὐτὸ πολλάκις ἐζητεῖτο τί τ. λ. ἐ. ‖ ἐπεὶ vel ἐπειδὴ Heynius, praetereaque εὑρίσκοιεν Sommerus. ‖ ἁρπάσας vulg. ‖ 15. πολλάκις vulg. ‖ 19. γεννᾶσθαι PR^cVX, vulg. γεννᾶται. ‖ 22. ἀπὸ τ. ἀκροπόλεως susp. Heynio. ‖ 26. ταῦτα, quod post τέκνα adiectum erat, om. libri. ‖

Εὐρυγενείας αὐτῷ τῆς Τεύθραντος. 9. φανέντων δὲ ὕστερον τῶν λανθανόντων Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυτὴν ἀνήρτησεν, Οἰδίπους δὲ τὰς ὄψεις τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος, οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ ἐπήμυναν. παραγενόμενος δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνόν, ἔνθα τὸ τῶν Εὐμενίδων ἔστι τέμενος, καθίζει ἱκέτης προσδεχθεὶς ὑπὸ Θησέως, καὶ μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.

VI. 1. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν λέγουσι, πρῶτον ἄρξαντος Πολυνείκους παραδοῦναι μετ' ἐνιαυτὸν τὴν βασιλείαν Ἐτεοκλεῖ, τινὲς δὲ πρῶτον Ἐτεοκλέους ἄρξαντος μὴ βούλεσθαι παραδοῦναι τὴν βασιλείαν. φυγαδευθεὶς οὖν Πολυνείκης ἐκ Θηβῶν ἦκεν εἰς Ἄργος τόν τε ὅρμον καὶ τὸν πέπλον ἔχων. ἐβασίλευε δὲ Ἄργους Ἄδραστος ὁ Ταλαοῦ. καὶ τοῖς τούτου βασιλείοις νύκτωρ προσπελάζει καὶ συνάπτει μάχην Τυδεῖ τῷ Οἰνέως φεύγοντι Καλυδῶνα. γενομένης δὲ ἐξαίφνης βοῆς ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς, καὶ μάντεώς τινος ὑπομνησθεὶς λέγοντος αὐτῷ, κάπρῳ καὶ λέοντι συζεῦξαι τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους· εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὁ μὲν κάπρου προτομήν, ὁ δὲ λέοντος. γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεύς, Ἀργείην δὲ Πολυνείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς τὰς πατρίδας ὑπέσχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θήβας ἔσπευδε στρατεύεσθαι καὶ τοὺς ἀριστέας συνήθροιζεν. 2. Ἀμφιάραος δὲ ὁ Οἰκλέους, μάντις ὢν καὶ προειδὼς ὅτι δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοιποὺς ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἰφιν τὸν Ἀλέκτορος ἠξίου μαθεῖν, πῶς ἂν Ἀμφιάραος ἀναγκασθείη στρατεύεσθαι, ὁ δὲ εἶπεν, εἰ λάβοι τὸν ὅρμον Ἐριφύλη. Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ Πολυνείκους δῶρα

1. Εὐρυγανείας ex Paus. 9. 5, 11 Heynius: libri εὐρυγενείας. ‖ αὐτῷ addidi: libri αὐτῶν. ‖ τεύθραντος vel τεύτραντος libri, legebatur Ὑπέρφαντος. cf. Mueller. Orchom. p. 226, 6. ‖ 4. ἐκβαλλόμενον αὐτόν V. ‖ 9. ἐτεοκλέα δ. κ. πολυνείκη — συντίθεται PDR^c. ‖ 10. πρὸς om R^c. ‖ 13. Ἐτεοκλέα ἄρξαντα Faber. ‖ 22. διπύλην DR^c. ‖ 26. ἰοκλέους libri. ‖

λαμβάνειν, Πολυνείκης δὲ δοὺς αὐτῇ τὸν ὅρμον ἠξίου τὸν Ἀμφιάραον πεῖσαι στρατεύειν· ἦν γὰρ ἐπὶ ταύτης γενομένης γὰρ αὐτῆς πρὸς Ἄδραστον διαλυσάμενος ὤμοσε, περὶ ὧν Ἄδραστος διαφέρηται διακρίνειν Ἐριφύλην συγχωρῆσαι. ὅτε οὖν ἐπὶ Θήβας ἔδει στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦντος, Ἀμφιαράου δὲ ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον λαβοῦσα ἔπεισε τὸν Ἄδραστον στρατεύειν. Ἀμφιάραος δὲ ἀνάγκην ἔχων στρατεύεσθαι τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι τήν τε μητέρα κτείνειν καὶ ἐπὶ Θήβας στρατεύειν. 3. Ἄδραστος δὲ συναθροίσας σὺν ἡγεμόσιν ἑπτὰ πολεμεῖν ἔσπευδε Θήβας. οἱ δὲ ἡγεμόνες ἦσαν οἵδε, Ἄδραστος Ταλαοῦ, Ἀμφιάραος Ὀϊκλέους, Καπανεὺς Ἱππονόου, Ἱπομέδων Ἀριστομάχου, οἱ δὲ λέγουσι Ταλαοῦ· οὗτοι μὲν ἐξ Ἄργους· Πολυνείκης Οἰδίποδος ἐκ Θηβῶν, Τυδεὺς Οἰνέως Αἰτωλός, Παρθενοπαῖος Μειλανίωνος Ἀρκάς. τινὲς δὲ Τυδέα μὲν καὶ Πολυνείκην οὐ καταριθμοῦσι, συγκαταλέγουσι δὲ τοῖς ἑπτὰ Ἐτέοκλον Ἴφιος καὶ Μηκιστέα. 4. παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυκοῦργος, ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ κρήνην ὁδοῦ Ὑψιπύλη, ἥτις νήπιον παῖδα ὄντα Ὀφέλτην ἀπολιποῦσα, ὃν ἔτρεφεν, Εὐρυδίκης ὄντα καὶ Λυκούργου. αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σεσωσμένον ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπεμπόλησαν· διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ. δεικνυούσης δὲ τὴν κρήνην ὁ παῖς ἀπολειφθεὶς ὑπὸ δράκοντος διαφθείρεται. τὸν μὲν οὖν δράκοντα ἐπιφανέντες οἱ μετὰ Ἀδρά-

2. συστρατεύειν Heynius. ‖ 3. αὐτῆς] ὀργῆς Galeus, αἰτίας Emperius, μάχης Heynius, στάσεως Sommerus, αὐτῷ λύπης Coraes, αὐτῷ πρ. Ἀ. διαφορᾶς Sevinus, γενόμενος γὰρ αὐτὸς πρὸς Ἀμφιάραον καὶ διενεχθεὶς ὑπέρ τινος, διαλυσάμενος Aegius, γνώμης γὰρ αὐτὸς πρὸς Ἄδραστον διαλλαττόμενος Commelinus. ‖ διαλυσόμενος DRcV. ‖ 4. post διαφέρηται desiderari αὐτῷ aut pro Ἄδραστος cum Emperio Ἀδράστῳ scribendum esse monuit Heynius. ‖ ἐριφύλῃ V. ‖ 7. τῷ ἀδράστῳ V, quod verum, dum deinde scribas συστρατεύειν, ceteri τὸν Ἄδραστον, quod deleri voluit Heynius: τὸν ἄνδρα Commelinus, τὸν Ἀμφιάραον Clavier. ‖ 10. συναθροίσας] συνθήσας v. συνθοινήσας v. συνωμόσας Galeus. ‖ 11. εἰς Θήβας Faber. ‖ 15. μελανίωνος PRcM. ‖ 17. ἴφιον vulg. ‖ 19. ἡ Λημνία post Ὑψιπύλη insertum ab Aegio om. libri. ‖ ἥτις susp. Commelino aliisque, ἀπολιποῦσα ὃν Sommero. ‖ 22. ἀπεμπόλησαν RD, erat ἀπεμπώλησαν. ‖ 23. διὸ πραθεῖσα P, vulg. τραφεῖσα. ‖ περὶ P. ‖

στου κτείνουσι, τὸν δὲ παῖδα θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις τὸ σημεῖον τὰ μέλλοντα προμαντεύεσθαι. τὸν δὲ παῖδα Ἀρχέμορον ἐκάλεσαν. οἱ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν τῶν Νεμέων ἀγῶνα· καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος, σταδίῳ δὲ Ἐτεόκλος, πυγμῇ Τυδεύς, ἅρματι καὶ δίσκῳ Ἀμφιάραος, ἀκοντίῳ Λαόδοκος, πάλῃ Πολυνείκης, τόξῳ Παρθενοπαῖος. 5. ὡς δὲ ἦλθον εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα προεροῦντα Ἐτεοκλεῖ τὴν βασιλείαν παραχωρεῖν Πολυνείκει καθὰ συνέθεντο, μὴ προσέχοντος δὲ Ἐτεοκλέους διάπειραν τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ' ἕνα προκαλούμενος πάν- 10 των περιεγένετο· οἱ δὲ πεντήκοντα ἄνδρας ὑπλίσαντες ἀπιόντα ἐνήδρευσαν αὐτόν. πάντας δὲ αὐτοὺς χωρὶς Μαίονος ἀπέκτεινε, κἄπειτα ἐπὶ τὸ στρατόπεδον ἦλθεν. 6. Ἀργεῖοι δὲ καθοπλισθέντες προσῄεσαν τοῖς τείχεσι, καὶ πυλῶν ἑπτὰ οὐσῶν Ἄδραστος μὲν παρὰ τὰς Ὁμολωΐδας πύλας ἔστη, Καπα- 15 νεὺς δὲ παρὰ τὰς Ὠγυγίας, Ἀμφιάραος δὲ παρὰ τὰς Προιτίδας, Ἱππομέδων δὲ παρὰ τὰς Ὀγκαΐδας, Πολυνείκης δὲ παρὰ τὰς Ὑψίστας, Παρθενοπαῖος δὲ παρὰ τὰς Ἠλέκτρας, Τυδεὺς δὲ παρὰ τὰς Κρηνίδας. καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους καὶ καταστήσας ἡγεμόνας ἴσους ἴσοις ἔταξε, καὶ 20 πῶς ἂν περιγένοιντο τῶν πολεμίων ἐμαντεύετο. 7. ἦν δὲ παρὰ Θηβαίοις μάντις Τειρεσίας Εὐήρους καὶ Χαρικλοῦς νύμφης, ἀπὸ γένους Οὐδαίου τοῦ Σπαρτοῦ, γενόμενος τυφλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πηρώσεως καὶ μαντικῆς λέγονται λόγοι διάφοροι. ἄλλοι μὲν γὰρ αὐτὸν ὑπὸ θεῶν φασι 25 τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις ἃ κρύπτειν ἤθελον ἐμήνυε, Φερεκύδης δὲ ὑπὸ Ἀθηνᾶς αὐτὸν τυφλωθῆναι· οὖσαν γὰρ

2. σημεῖον τὰ M, cett. σημεῖον τῷ τὰ, vulg. σημεῖον τοῦτο τὸ τὰ. || 5. ἐτέοκτος P. || ἅλματι Valckenarius ap. Claverium. || 9. συνέθεντο PDR^c, vulg. συνέθετο. || 11. ἀπιόντα M, ἀπιόντι vulg. || 12. μαίωνος libri. || 13. ἦλθον vulg. || 15. παρὰ PDR^c, vulg. ἐπὶ. || 17. Ὀγκαΐδας] ὀχνηΐδας PDR^{c}OX: Ὠγυγίας ἢ Ὀγκαΐδας, quod ad mg. adscriptum deinde alieno loco irrepsisset et τὰς Νηΐτας sua sede expulisset, coniecit Porson ad Eur. Phoen. 1150, Νηΐτας pro Ὀγκαΐδας reposuit etiam Valckenar. d. Aristob. p. 120, Νηΐστρας Unger. Theb. parad. 1. p. 313. || 18. ἐπὶ τ. ὑ. D. || 20. ἴσους om. R^c. || ἴσοις om PR^b. cf. Eur. Phoen. 759. || 21. περιγένοιντο PDR^c, vulg. περιγένοιτο. || 22. χαρικλείους PDV. || 27. cf. Sturz. Pherec. fr. p. 188. ||

τὴν Χαρικλῶ προσφιλῆ τῇ Ἀθηνᾷ** γυμνὴν ἐπὶ πάντα ἰδεῖν, τὴν δὲ ταῖς χερσὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καταλαβομένην πηρὸν ποιῆσαι· Χαρικλοῦς δὲ δεομένης ἀποκαταστῆσαι πάλιν τὰς ὁράσεις, μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς ἀκοὰς διακαθάρασαν πᾶσαν ὀρνίθων φωνὴν ποιῆσαι συνιέναι καὶ σκῆπτρον αὐτῷ δωρήσασθαι κυάνεον, ὃ φέρων ὁμοίως τοῖς βλέπουσιν ἐβάδιζεν. Ἡσίοδος δέ φησιν, ὅτι θεασάμενος περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες, πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνει, τοῦτον ἀνέκριναν. ὁ δὲ ἔφη, δεκαεννέα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν τὰς μὲν ἐννέα ἄνδρας ἥδεσθαι, τὰς δὲ δέκα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ μαντικὴν αὐτῷ ἔδωκε. ἐγένετο δὲ καὶ πολυχρόνιος. οὗτος οὖν Θηβαίοις μαντευόμενος εἶπε νικήσειν, ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὐτὸν ἐπιδεδῷ. τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξε. μάχης δὲ γενομένης οἱ Καδμεῖοι μέχρι τῶν τειχῶν συνεδιώχθησαν, καὶ Καπανεὺς ἁρπάσας κλίμακα ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει, καὶ Ζεὺς αὐτὸν κεραυνοῖ. 8. τούτου δὲ γενομένου τρόπαιον τῶν Ἀργείων γίνεται. ὡς δὲ ἀπώλλυντο πολλοί, δόξαν ἑκατέροις τοῖς στρατεύμασιν Ἐτεο-

1. τῇ Χαρικλοῖ — τὴν Ἀθηνᾶν αὐτὸν γυμνὴν ἰδεῖν Heynius deleto ἐπὶ πάντα (ἐπὶ πάντων V), quod bene in ἐπιστάντα mutavit Galeus. ‖ 2. τοὺς ὀφθαλμοὺς susp. Heynio, qui et totum locum refingi voluit hoc modo: τὴν δὲ ταῖς χερσὶ τῶν ὀφθαλμῶν αὐτοῦ ὕδωρ καταβαλοῦσαν πηρὸν ποιῆσαι. ‖ καταβαλλομένην Spanhem. ad Callim. 5, 82. ‖ 4. διακαθάρας ἅπασαν vulg. ‖ 5. συνεῖναι PD. ‖ 6. κράνεον ex Aegii corr. Clavier. ‖ 7. cf. Marckscheffel Hes. fr. p. 361 sq. ‖ 9. ἀνδρῶν PD. ‖ περιτηρήσας P. ‖ 10. ἀμφισβητοῦντι P: ἀμφισβητοῦντε Commelin. ‖ 12. ἀνέκριναν Heynius. ‖ 13. δέκα Heynius, qui et mox ἄνδρας et τὰς δὲ δέκα deleri voluit. ‖ περὶ PDR^ab, ἐν V, vulg. παρά. ‖ ταῖς σύνουσίαις V. ‖ 15. post ἔδωκε add. vulg. haec: τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Διὰ καὶ Ἥραν· οἴην μὲν μοίρην δέκα μοιρῶν τέρπεται ἀνήρ, τὰς δὲ δέκ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα: quae ex mg. illata esse iam dudum intellectum est: sed οἴην PV aliique, ἴην Aegius: τὰς δέκα δ' Schol. Lyc. 683, ἐννέα δ' Heynius: νοήματα libri. ‖ 16. μαντευομένοις Heynius. ‖ 18. πρὸ DX, vulg. πρός. ‖ 21. δὲ αὐτοῦ P. ‖ ὁ δὲ Ζεὺς Heynius. ‖ 22. τροπὴ Heynius, τροπὴ οὖν Sommerus. ‖

κλῆς καὶ Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι καὶ κτείνουσιν ἀλλήλους. καρτερᾶς δὲ πάλιν γενομένης μάχης οἱ Ἀσταικοῦ παῖδες ἠρίστευσαν· Ἴσμαρος μὲν γὰρ Ἱππομέδοντα ἀπέκτεινε, Λεάδης δὲ Ἐτεόκλον, Ἀμφίδικος δὲ Παρθενοπαῖον, ὡς δὲ Εὐριπίδης φησί, Παρθενοπαῖον ὁ Ποσειδῶνος παῖς Περικλύμενος ἀπέκτεινε. Μελάνιππος δὲ ὁ λοιπὸς τῶν Ἀσταικοῦ παίδων Τυδέα τιτρώσκει. ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου παρὰ Διὸς αἰτησαμένη Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι' οὗ ποιεῖν ἔμελλεν ἀθάνατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθόμενος τοῦτο, μισῶν Τυδέα ὅτι παρὰ τὴν ἐκείνου γνώμην εἰς Θήβας ἔπεισε τοὺς Ἀργείους στρατεύεσθαι, τὴν Μελανίππου κεφαλὴν ἀπατεμὼν ἔδωκεν αὐτῷ, τιτρωσκόμενος δὲ Τυδεὺς ἔκτεινεν αὐτόν. ὁ δὲ διελὼν τὸν ἐγκέφαλον ἐξερρόφησεν αὐτόν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα τὴν εὐεργεσίαν ἐπέσχε τε καὶ ἐφθόνησεν. Ἀμφιαράῳ δὲ φεύγοντι παρὰ ποταμὸν Ἰσμηνόν, πρὶν ὑπὸ Περικλυμένου τὰ νῶτα τρωθῇ, Ζεὺς κεραυνὸν βαλὼν τὴν γῆν διέστησεν. ὁ δὲ σὺν τῷ ἅρματι καὶ τῷ ἡνιόχῳ Βάτωνι, ὡς δὲ ἔνιοι Ἐλαττωνῷ ἐκρύφθη, καὶ Ζεὺς ἀθάνατον αὐτὸν ἐποίησεν. Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν Ἀρίων. τοῦτον ἐκ Ποσειδῶνος ἐγέννησε Δημήτηρ εἰκασθεῖσα Ἐριννύι κατὰ τὴν συνουσίαν.

VII. 1. Κρέων δὲ τὴν Θηβαίων βασιλείαν παραλαβὼν τοὺς τῶν Ἀργείων νεκροὺς ἔρριψεν ἀτάφους, καὶ κηρύξας μηδένα θάπτειν φύλακας κατέστησεν. Ἀντιγόνη δὲ, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα κλέψασα ἔθαψε, καὶ φωραθεῖσα ὑπὸ Κρέοντος, αὐτὴν τῷ τάφῳ ζῶ-

3. ἀστυάγους libri. ‖ 4. Λεάδης Heynius. ‖ ἐτεοκλέα M. ‖ 5. Eur. Phoen. 1157. ‖ 6. ἀστυάγους, i. e. Ἀσταικοῦ, post τῶν habent libri, om. vulg. ‖ 7. ἡμιθνῆτος PDR^{abc}, vulg. ἡμιθνήτου. ‖ 12. τιτρωσκόμενος — αὐτὸν uncis inclusit Heynius, γὰρ pro δὲ satis esse putavit Barth. ad Stat. 8, 718, et sic Clavier. ‖ ἔκτινεν αὐτὴν Aegius. ‖ 13. ἐξερόφησε DR^{abc}. ‖ αὐτὸς legendum aut αὐτὸν delendum censuit Heynius, aut verba transponenda, ὡς δὲ εἶδεν αὐτὸν Ἀθηνᾶ, vel cum Jacobsio anim. in Eurip. p. 37 αὐτὸν δὲ ὡς. ‖ 14. ἐπέσχετο καὶ P: ἀπέσχετο καὶ Faber. ‖ 15. ἰωδηνὸν P, ἰδηνὸν D, ἰδυνόν V. ‖ 16. περὶ περικλυμένον P. ‖ 18. ἐλαττόνων P, ἐλάττωνον DR^{c}, ἐλάττω VM: Ἐλάτωνι vel Ἐλατίῳ Sommerus. ‖ ἐκρύφη P. ‖ 19. ἐποίει P. ‖ Ἄδραστον — Ἀρίων] versum hic latere apparet: in mg. P Ἀντιμάχου adscriptum repperit Barth.: vid. eius adn. ad Stat. Theb. 2, 197. cf. Mitscherl. ep. cr. p. 33. ‖ 21. κατὰ] μετὰ Clavier. ‖

σαν ἐνεκρύψατο. Ἄδραστος δὲ εἰς Ἀθήνας ἀφικόμενος ἐπὶ τὸν Ἐλέου βωμὸν κατέφυγε καὶ ἱκετηρίαν θεὶς ἠξίου θάπτειν τοὺς νεκρούς. οἱ δὲ Ἀθηναῖοι μετὰ Θησέως στρατεύσαντες αἱροῦσι Θήβας, καὶ τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάψαι. τῆς δὲ Καπανέως καιομένης πυρᾶς Εὐάδνη ἡ Καπανέως μὲν γυνή, θυγάτηρ δὲ Ἴριος, ἑαυτὴν βαλοῦσα συγκατεκαίετο. 2. μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολομένων παῖδες κληθέντες Ἐπίγονοι στρατεύειν ἐπὶ Θήβας προῃροῦντο, τὸν τῶν πατέρων θάνατον τιμωρήσασθαι βουλόμενοι. καὶ μαντευομένοις αὐτοῖς ὁ θεὸς ἐθέσπισε νίκην Ἀλκμαίωνος ἡγουμένου. ὁ μὲν οὖν Ἀλκμαίων ἡγεῖσθαι τῆς στρατείας οὐ βουλόμενος, πρὶν τίσασθαι τὴν μητέρα, ὅμως στρατεύεται· λαβοῦσα γὰρ Ἐριφύλη παρὰ Θερσάνδρου τοῦ Πολυνείκους τὸν πέπλον συνέπεισε καὶ τοὺς παῖδας στρατεύεσθαι. οἱ δὲ ἡγεμόνα Ἀλκμαίωνα ἑλόμενοι Θήβας ἐπολέμουν. ἦσαν δὲ οἱ στρατευόμενοι οἵδε, Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Αἰγιαλεὺς Ἀδράστου, Διομήδης Τυδέως, Πρόμαχος Παρθενοπαίου, Σθένελος Καπανέως, Θέρσανδρος Πολυνείκους, Εὐρύαλος Μηκιστέως. 3. οὗτοι πρῶτον μὲν πορθοῦσι τὰς πέριξ κώμας, ἔπειτα τῶν Θηβαίων ἐπελθόντων Λαοδάμαντος τοῦ Ἐτεοκλέους ἡγουμένου γενναίως μάχονται. καὶ Λαοδάμας μὲν Αἰγιαλέα κτείνει, Λαοδάμαντα δὲ Ἀλκμαίων. καὶ μετὰ τὸν τούτου θάνατον Θηβαῖοι συμφεύγουσιν εἰς τὰ τείχη. Τειρεσίου δὲ εἰπόντος αὐτοῖς πρὸς μὲν Ἀργείους κήρυκα περὶ διαλύσεως ἀποστέλλειν, αὐτοὺς δὲ φεύγειν, πρὸς μὲν τοὺς πολεμίους κήρυκα πέμπουσιν, αὐτοὶ δὲ ἀναβιβάσαντες ἐπὶ τὰς ἀπήνας τέκνα καὶ γυναῖκας ἐκ τῆς πόλεως ἔφευγον. νύκτωρ δὲ ἐπὶ τὴν λεγομένην Τιλφοῦσσαν κρήνην παραγενομένων αὐτῶν Τειρεσίας ἀπὸ ταύτης πιὼν αὐτοῦ τὸν βίον

1. ἐνεκρύφα P: αὐτὴ τ. τ. ζῶσα ἐνεκρύφθη Heynius. || 5. εὐαιάνη libri. || 6. ἴφιος libri, vulg. Ἴφιδος. || ἐμβαλοῦσα Heynius. || 7. ἀπολλομένων PD. || 10. ἀλκμαίων ἡγούμενος PDR^{abc}VM. || 12. πρὶν — μητέρα susp. Heynio. || οὐδαμῶς Barthius. || 14. τὸν πέπλον PR^{c}MO, om. D, vulg. τὸν ὅρμον καὶ τὸν πέπλον. || 15. Θήβαις Faber. || 16. ἀλκμαίων καὶ ἀμφίλοχος ἀμφιαράου PR^{c}M, vulg. Ἀλκμαίων Ἀμφιαράου καὶ Ἀμφίλοχος. || 19. Εὐρύπυλος vulg. || 28. τραφουσίαν libri, in V γρ. τιλφοῦσσαν: Aeglus Τιλφουσίαν, Galeus Τελφουσσίαν. || περιγενομένων P. ||

κατέστρεψε. Θηβαῖοι δὲ ἐπὶ πολὺ διελθόντες, πόλιν Ἑστιαίαν κτίσαντες κατῴκησαν. 4. Ἀργεῖοι δὲ ὕστερον τὸν δρασμὸν τῶν Θηβαίων μαθόντες ἐτοίασιν εἰς τὴν πόλιν καὶ συναθροίζουσι τὴν λείαν καὶ καθαιροῦσι τὰ τείχη. τῆς δὲ λείας μέρος εἰς Δελφοὺς πέμπουσιν Ἀπόλλωνι καὶ τὴν Τειρεσίου θυγα- 5 τέρα Μαντώ· ηὔξαντο γὰρ αὐτῷ, Θήβας ἑλόντες τὸ κάλλιστον τῶν λαφύρων ἀναθήσειν. 5. μετὰ δὲ τὴν Θηβαίων ἅλωσιν αἰσθόμενος Ἀλκμαίων καὶ ἐπ' αὐτὸν δῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα, μᾶλλον ἠγανάκτησε, καὶ χρήσαντος Ἀπόλλωνος αὐτῷ τὴν μητέρα ἀπέκτεινεν. ἔνιοι μὲν μᾶλλον 10 λέγουσι σὺν Ἀμφιλόχῳ τῷ ἀδελφῷ κτεῖναι τὴν Ἐριφύλην, ἔνιοι δὲ ὅτι μόνος. Ἀλκμαίωνα δὲ μετῆλθεν Ἐρινὺς τοῦ μητροῴου φόνου. καὶ μεμηνὼς πρῶτον μὲν εἰς Ἀρκαδίαν πρὸς Ὀἰκλέα παραγίνεται, ἐκεῖθεν δὲ εἰς Ψωφῖδα πρὸς Φηγέα. καθαρθεὶς δὲ ὑπ' αὐτοῦ Ἀρσινόην γαμεῖ τὴν τούτου θυγα- 15 τέρα, καὶ τόν τε ὅρμον καὶ τὸν πέπλον ἔδωκε ταύτῃ. γενομένης δὲ ὕστερον τῆς γῆς δι' αὐτὸν ἀφόρου, χρήσαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῷον ἀπιέναι καὶ παρ' ἐκεῖνον πόλιν διαλαμβάνειν, τὸ μὲν πρῶτον πρὸς Οἰνέα παραγίνεται εἰς Καλυδῶνα καὶ ξενίζεται παρ' αὐτῷ, ἔπειτα ἀφικόμενος εἰς Θεσ- 20 πρωτοὺς τῆς χώρας ἀπελαύνεται, τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελῴου πηγὰς παραγενόμενος καθαίρεταί τε ὑπ' αὐτοῦ καὶ τὴν ἐκείνου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῷος προσέχωσε τόπον κτίσας κατῴκησε. Καλλιρρόης δὲ ὕστερον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης λαβεῖν καὶ λεγού- 25 σης οὐ συνοικήσειν αὐτῷ, εἰ μὴ λάβοι ταῦτα, διὸ παραγενόμενος εἰς Ψωφῖδα Ἀλκμαίων Φηγεῖ λέγει τεθεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, τὸν ὅρμον ὅταν εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον, ὁ δὲ πιστεύσας δίδωσι. μηνύσαντος δὲ θεράποντος, ὅτι Καλλιρρόῃ ταῦτα λαβὼν ἐκόμιζεν, 30

7. τὴν add. PDR^c^VMX. ‖ Θηβῶν Heynius. ‖ 8. αὐτοῦ P, αὐτῷ R^e^V, αὐτῶν libri Aegii. ‖ 10. μᾶλλον susp. Heynio. ‖ 12. ἐρινὺς P aliique. ‖ 14. παραγενόμενος P. ‖ 15. αὐτῷ PDR^c^M, αὐτῶν V. ‖ 17. αὐτοῦ vulg. ‖ 18. ἐκείνου Commelin. ‖ πάλιν libri: πάλιν νοῦν ἀπολαμβάνειν Heynius. ‖ 20. αὐτῶν PDR^c^, legebatur αὐτοῦ. ‖ 26. διὸ elici voluit Heynius. ‖ παραγενομένου PD. ‖ 28. ἑαυτῷ Heynius, legebatur ἑαυτοῦ. ‖ τὸν ὅρμον ὅταν PV, ὅταν τὸν ὅρμον legebatur: ὅταν om. R^c^, τὸν — δελφοὺς om. D. ‖

ἐνεδρευθεὶς ὑπὸ τῶν Φηγέως παίδων ἐπιτάξαντος τοῦ Φηγέως ἀναιρεῖται. Ἀρσινόην δὲ μεμφομένην οἱ τοῦ Φηγέως παῖδες ἐμβιβάσαντες εἰς λάρνακα κομίζουσιν εἰς Τεγέαν καὶ διδόασιν Ἀγαπήνορι, καταψευσάμενοι τὸν Ἀλκμαίωνος αὐτῆς
5 φόνον. 6. Καλλιρρόη δὲ τὴν Ἀλκμαίωνος ἀπώλειαν μαθοῦσα, πλησιάζοντος αὐτῇ τοῦ Διὸς αἰτεῖται τοὺς γεγεννημένους παῖδας ἐξ Ἀλκμαίωνος αὐτῇ γενέσθαι τελείους, ἵνα τὸν τοῦ πατρὸς τίσωνται φόνον. γενόμενοι δὲ ἐξαίφνης οἱ παῖδες τέλειοι ἐπὶ τὴν ἐκδικίαν τοῦ πατρὸς ἐξῄεσαν. κατὰ τὸν αὐτὸν
10 δὲ καιρὸν οἵ τε Φηγέως παῖδες Πρόνοος καὶ Ἀγήνωρ εἰς Δελφοὺς κομίζοντες ἀναθεῖναι τὸν ὅρμον καὶ τὸν πέπλον καταλύουσι πρὸς Ἀγαπήνορα, καὶ οἱ τοῦ Ἀλκμαίωνος παῖδες Ἀμφότερός τε καὶ Ἀκαρνάν, καὶ ἀνελόντες τοὺς τοῦ πατρὸς φονέας, παραγενόμενοί τε εἰς Ψωφῖδα καὶ παρελθόντες εἰς
15 τὰ βασίλεια τόν τε Φηγέα καὶ τὴν γυναῖκα αὐτοῦ κτείνουσι. διωχθέντες δὲ ἄχρι Τεγέας ἐπιβοηθησάντων Τεγεατῶν καί τινων Ἀργείων ἐσώθησαν, εἰς φυγὴν τῶν Ψωφιδίων τραπέντων. 7. δηλώσαντες δὲ τῇ μητρὶ ταῦτα, τόν τε ὅρμον καὶ τὸν πέπλον ἐλθόντες εἰς Δελφοὺς ἀνέθεντο κατὰ πρόσταξιν
20 Ἀχελῴου. πορευθέντες δὲ εἰς τὴν Ἤπειρον συναθροίζουσιν οἰκήτορας καὶ κτίζουσιν Ἀκαρνανίαν. Εὐριπίδης δέ φησιν Ἀλκμαίωνα κατὰ τὸν τῆς μανίας χρόνον ἐκ Μαντοῦς Τειρεσίου παῖδας δύο γεννῆσαι, Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην, κομίσαντα δὲ εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν
25 Κορινθίων βασιλεῖ Κρέοντι. καὶ τὴν μὲν Τισιφόνην διενεγκοῦσαν εὐμορφίᾳ ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμπολη θῆναι, δεδοικυίας μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται, τὸν δὲ Ἀλκμαίωνα ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν ἑαυτοῦ θυγατέρα θεράπαιναν, παραγενόμενον δὲ εἰς Κόρινθον ἐπὶ
30 τὴν τῶν τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν κομίσασθαι. καὶ Ἀμφίλοχος κατὰ χρησμοὺς Ἀπόλλωνος Ἀμφιλοχικὸν Ἄργος ᾤκησεν.

1. post παίδων Aegius inserunt Τημένου καὶ Ἀξίωνος ex Paus. 8, 24. ‖ 6. αὐτίκα Jacobs animadv. in Eurip. p. 37. ‖ 13. οὗτοι δὲ ἀνελόντες Heynius. ‖ 14. τε delendum censuit idem. ‖ 24. κομισάντων V. ‖ δοῦναι τρέφειν Κορινθίων om. Aegius. ‖ 26. εὐμορφίαν V, εὐμορφία, τὸν δὲ ὑπὸ M. ‖ ἀπεμπολη θῆναι R^c, erat ἀπεμπωλη θῆναι. ‖

VIII. 1. Ἐπανάγωμεν δὲ νῦν πάλιν ἐπὶ τὸν Πελασγόν, ὃν Ἀκουσίλαος μὲν Διὸς λέγει καὶ Νιόβης, καθάπερ ὑπέθεμεν, Ἡσίοδος δὲ αὐτόχθονα. τούτου καὶ τῆς Ὠκεανοῦ θυγατρὸς Μελιβοίας, ἣ καθάπερ ἄλλοι λέγουσι νύμφης Κυλλήνης, παῖς Λυκάων ἐγένετο, ὃς βασιλεύων Ἀρκάδων ἐκ πολλῶν γυναικῶν πεντήκοντα παῖδας ἐγέννησε, Μαίναλον, Θεσπρωτόν, Ἕλικα, Νύκτιμον, Πευκέτιον, Καύκωνα, Μηκιστέα, Ὁπλέα, Μακαρέα, Μάκεδνον, Ὅρον, Πόλιχον, Ἀκόντην, Εὐαίμονα, Ἀγκύσρα, Ἀρχεβάτην, Καρτέρωνα, Αἰγαίωνα, Πάλλαντα, Εὔμονα, Κάνηθον, Πρόθοον, Λίνον, Κορέθοντα, Μαίναλον, Τηλεβόαν, Φύσιον, Φάσσον, Φθίον, Λύκιον, Ἁλίφηρον, Γενέτορα, Βουκολίωνα, Σωκλέα, Φενέα, Εὐμήτην, Ἁρπαλέα, Πορθέα, Πλάτωνα, Αἵμονα, Κύναιθον, Λέοντα, Ἁρπάλυκον, Ἡραιέα, Τιτάναν, Μαντίνουν, Κλείτορα, Στύμφαλον, Ὀρχόμενον. οὗτοι πάντας ἀνθρώπους ὑπερέβαλον ὑπερηφανείᾳ καὶ ἀσεβείᾳ. Ζεὺς δὲ αὐτῶν βουλόμενος τὴν ἀσέβειαν πειράσαι εἰκασθεὶς ἀνδρὶ χερνήτῃ παραγίνεται, οἱ δὲ αὐτὸν ἐπὶ ξενίᾳ καλέσαντες, σφάξαντες ἕνα τῶν ἐπιχωρίων παῖδα, τοῖς ἱεροῖς τὰ τούτου σπλάγχνα συναναμίξαντες παρέθεσαν συμβουλεύσαντος τοῦ πρεσβυτέρου ἀδελφοῦ Μαινάλου. Ζεὺς δὲ τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ἔνθα νῦν Τραπεζοῦς καλεῖται ὁ τόπος, Λυκάονα δὲ καὶ τούτου παῖδας ἐκεραύνωσε χωρὶς τοῦ νεωτάτου Νυκτίμου· ἀνασχοῦσα γὰρ ἡ Γῆ τὰς χεῖρας καὶ τῆς δεξιᾶς τοῦ Διὸς ἐφαψαμένη τὴν ὀργὴν κατέπαυσε. 2. Νυκτίμου δὲ τὴν βασιλείαν παραλαβόντος ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς ἐγένετο. τοῦτον ἔνιοι

1. ἐπανάγων libri. ‖ 2. v. Sturz. Acus. fr. p. 224: cf. supr. 2. 1, 1. ‖ ὑπεθέμεθα Heynius. ‖ 7. Ἑλίκαν id. ‖ Μακιστέα id. ‖ 8. Ὁπλέαν id. ‖ Ὅρον] Οἰνωτρόν idem, Ὀρεστέα Salmas d. Hellenist. p. 319. ‖ 9. πάλαντα PD allique. ‖ 10. Εὐαίμονα Galeus. ‖ κάνητον V. ‖ κορέθεντα Rc. ‖ 11. Τηλεβόαν — Γενέτορα om. D. ‖ φθίον P: Φθίνον Aegius. ‖ 14. ἠρρέα vel ἠρρέα libri. ‖ τιτάναν PRc, τιτάνα DX, τιτάνυν V. ‖ Στύμφηλον Aegius. ‖ 15. post Ὀρχόμενον Aegius intulit Νύκτιμον τὸν νεώτερον: sed vel sic unum quinquagenario numero nomen deficit. ‖ 16. ὑπερηφανίᾳ DRc. ‖ 19. ἱερείοις Abresch. ad N. T. p. 587. ‖ παρέθησαν D, ceit. παρέθεσαν, vulg. παρέθηκαν: addidit τῇ τραπέζῃ Aegius ex Schol. Lycophr. 481. ‖ 21. μυσαχθεὶς post Ζεὺς δὲ inseruit idem. ‖ 26. τούτων D. ‖ legebatur ἔνιοί φασι διά. ‖

διὰ τὴν τῶν Λυκάονος παίδων δυσσέβειαν εἶπον γεγενῆσθαι, Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως. 5 αὕτη σύνθηρος Ἀρτέμιδος οὖσα, τὴν αὐτὴν ἐκείνῃ στολὴν φοροῦσα ὤμοσεν αὐτοῦ μεῖναι πάρθενον, Ζεὺς δὲ ἐρασθεὶς ἀκούσῃ συνευνάζεται, εἰκασθεὶς ὡς μὲν ἔνιοι λέγουσιν Ἀρτέμιδι, ὡς δὲ ἔνιοι Ἀπόλλωνι. βουλόμενος δὲ Ἥραν λαθεῖν εἰς ἄρκτον μετεμόρφωσεν αὐτήν, Ἥρα δὲ ἔπεισεν Ἄρτεμιν ὡς 10 ἄγριον θηρίον κατατοξεῦσαι. εἰσὶ δὲ οἱ λέγοντες ὡς Ἄρτεμις αὐτὴν κατετόξευσεν, ὅτι τὴν παρθενίαν οὐκ ἐφύλαξεν. ἀπολομένης δὲ Καλλιστοῦς Ζεὺς τὸ βρέφος ἁρπάσας ἐν Ἀρκαδίᾳ δίδωσιν ἀνατρέφειν Μαίᾳ, προσαγορεύσας Ἀρκάδα, τὴν δὲ Καλλιστὼ καταστερίσας ἐκάλεσεν Ἄρκτον.

15 IX. 1. Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μεγανείρας τῆς Κρόκωνος, ὡς δὲ Εὔμηλος λέγει νύμφης Χρυσοπελείας, ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας. οὗτοι τὴν γῆν ἐμερίσαντο, τὸ δὲ πᾶν κράτος εἶχεν Ἔλατος, ὃς ἐκ Λαοδίκης τῆς Κινύρου Στύμφαλον καὶ Πειρέα τεκνοῖ, Ἀφείδας δὲ 20 Ἄλεον καὶ Σθενέβοιαν, ἣν γαμεῖ Προῖτος. Ἀλέου δὲ καὶ Νεαίρας τῆς Πειρέως θυγάτηρ μὲν Αὔγη, υἱοὶ δὲ Κηφεὺς καὶ Λυκοῦργος. Αὔγη μὲν οὖν ὑφ' Ἡρακλέους φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην· ἀκάρπου δὲ τῆς γῆς μενούσης καὶ μηνυόντων 25 τῶν χρησμῶν εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωραθεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ, παρ' οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης παραλαβὼν αὐτὴν ἔφθειρε. τὸ δὲ βρέφος ἐκτεθὲν ἐν ὄρει Παρθενίῳ θηλὴν ὑποσχούσης ἐλάφου Τήλεφος ἐκλήθη. καὶ τραφεὶς ὑπὸ τῶν

1. εἶπον addidi ex PDR^c VM, vulg. om. ‖ 2. cf. Marckscheffel Hes. etc. fr. p. 355. 404. et 414. Sturz. Pherec. fr. p. 191. ‖ 5. ἐκείνην vulg. ‖ 6. αὐτοῦ elici voluit Heynius et scribi ὤμοσε μεῖναι παρθένος, Faber ἀεὶ coni. pro αὐτοῦ, Sommerus αὐτῇ. ‖ 10. κατατοξεῦσαι PD: εἰσὶ δὲ — κατετόξευσεν (?) om. M. ‖ 15. λεανείρας PV. ‖ 16. τῆς Heynius, vulg. τοῦ. ‖ cf. Marckscheffel l. l. p. 404. ‖ χρυσοπελείας vel χρυσόπελίας libri, vulg. Χρυσωπείας. ‖ 18. ἔλαστος libri. ‖ 19. κινήρου R^c. ‖ πειρέα libri, legebatur περία. ‖ ἀμφείδας libri. ‖ 21. πειρέως libri, legebatur περέως. ‖ 22. Αὔγη] legebatur αὐτή. ‖

Κορύθου βουκόλων καὶ ζητήσας τοὺς γονέας ἦκεν εἰς Δελφούς. καὶ μαθὼν παρὰ τοῦ θεοῦ, παραγενόμενος εἰς Μυσίαν θετὸς παῖς Τεύθραντος γίνεται, καὶ τελευτῶντος αὐτοῦ διάδοχος τῆς δυναστείας γίνεται. 2. Λυκούργου δὲ καὶ Κλεοφίλης ἢ Εὐρυνόμης Ἀγκαῖος καὶ Ἔποχος καὶ Ἀμφιδάμας καὶ Ἴασος. Ἀμφιδάμαντος δὲ Μειλανίων καὶ θυγάτηρ Ἀντιμάχη, ἣν Εὐρυσθεὺς ἔγημεν. Ἰάσου δὲ καὶ Κλυμένης τῆς Μινύου Ἀταλάντη ἐγένετο. ταύτης ὁ πατὴρ ἀρρένων παίδων ἐπιθυμῶν ἐξέθηκεν αὐτήν, ἄρκτος δὲ φοιτῶσα πολλάκις θηλὴν ἐδίδου, μέχρις οὗ εὑρόντες κυνηγοὶ παρ' ἑαυτοῖς ἀνέτρεφον. τελεία δὲ Ἀταλάντη γενομένη παρθένον ἑαυτὴν ἐφύλαττε καὶ θηρεύουσα ἐν ἐρημίᾳ καθωπλισμένη διετέλει. βιάζεσθαι δὲ αὐτὴν ἐπιχειροῦντες Κένταυροι Ῥοῖκος καὶ Ὑλαῖος κατατοξευθέντες ὑπ' αὐτῆς ἀπέθανον. παρεγένετο δὲ μετὰ τῶν ἄλλων ἀριστέων καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον, καὶ ἐν τῷ ἐπὶ Πελίᾳ τεθέντι ἀγῶνι ἐπάλαισε Πηλεῖ καὶ ἐνίκησεν. ἀνευροῦσα δὲ ὕστερον τοὺς γονέας, ὡς ὁ πατὴρ γαμεῖν αὐτὴν ἔπειθεν, ἀπιοῦσα εἰς σταδιαῖον τόπον καὶ πήξασα μέσον σκόλοπα τρίπηχυν, ἐντεῦθεν τῶν μνηστευομένων τοὺς δρόμους προϊοῦσα ἐτρόχαζε καθωπλισμένη, καὶ καταληφθέντι μὲν αὐτῷ θάνατος ὠφείλετο, μὴ καταληφθέντι δὲ γάμος. ἤδη δὲ πολλῶν ἀπολλυμένων Μειλανίων αὐτῆς ἐρασθεὶς ἦκεν ἐπὶ τὸν δρόμον, χρύσεα μῆλα κομίζων παρ' Ἀφροδίτης, καὶ διωκόμενος ταῦτα ἔρριπτεν. ἡ δὲ ἀναιρουμένη τὰ ῥιπτούμενα τὸν δρόμον ἐνικήθη. ἔγημεν οὖν αὐτὴν Μειλανίων. καί ποτε λέγεται μὴ θηρεύοντας αὐτοὺς εἰσελθεῖν εἰς τὸ τέμενος Διὸς κἀκεῖ συνουσιάζοντας εἰς λέοντας ἀλλαγῆναι. Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου, ἀλλὰ Σχοινέως

1. Κορύθου ex Diod. 4, 33 Heynius, Κορίθου vulg.: κόρινθον P, κόρινθος RcV. ‖ 2. παραγενομένου PDRcVM, παραγένομεν libri Aegii, qui dedit παραγίνεται. ‖ 3. θεὸς P, cett. θεῶν. ‖ γίνεται susp. Heynio, γινώσκεται Aegius. ‖ 4. κλεοφύλης PO, κλιοφίλης D. ‖ 5. ἢ] καὶ D. ‖ 6. Ἰδαῖος vulg. ‖ μελανίων PRc. ‖ 9. αὐτῇ PDV. ‖ 10. κυνηγὸν PDV. ‖ 13. λύκος PDRabc: Ῥοῖτος Bentl. ad Hor. od. 2. 19, 23. cf. supr. p. 9. ‖ ὑλλαῖος PDRabc. ‖ 16. τεθέντι vulg. ‖ 19. δάμους M. ‖ 20. προϊεῖσα Heynius. ‖ 21. αὐτῷ suspectum eidem. ‖ 22. μελανίων PDM. ‖ 26. μὴ θηρεύοντας] συνθηρεύοντας Canter. nov. lect. 3, 13. ‖ 27. πλέοντας D et libri Aegii. ‖ cf. Marckscheffel Hes. fr. p. 288. ‖

εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οι Μειλανίωνα, ἀλλὰ Ἱπομένην. ἐγέννησε δὲ ἐκ Μειλανίωνος Ἀταλάντῃ ἢ Ἄρεος Παρθενοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρατεύσατο.

5 X. 1. Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Πληιόνης ἐγένοντο θυγατέρες ἑπτὰ ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληιάδες προσαγορευθεῖσαι, Ἀλκυόνη, Μερόπη, Κελαινώ, Ἠλέκτρα, Στερόπη, Ταϋγέτη, Μαῖα. τούτων Στερόπην μὲν Οἰνόμαος ἔγημε, Σίσυφος Μερόπην. δυσὶ δὲ ἐμίχθη Ποσειδῶν, πρώτῃ 10 μὲν Κελαινοῖ, ἐξ ἧς Λύκος ἐγένετο, ὃν Ποσειδῶν ἐν μακάρων ᾤκισε νήσοις, δευτέρᾳ δὲ Ἀλκυόνῃ, ἣ θυγατέρα μὲν ἐτέκνωσεν Αἴθουσαν, τὴν Ἀπόλλωνι Ἐλευθῆρα τεκοῦσαν, καλλίστην, υἱοὺς δὲ Ὑριέα καὶ Ὑπερήνορα. Ὑριέως μὲν οὖν καὶ Κλονίης νύμφης Νυκτεὺς καὶ Λύκος, Νυκτέως δὲ καὶ Πολυ- 15 ξοῦς Ἀντιόπη, Ἀντιόπης δὲ καὶ Διὸς Ζῆθος καὶ Ἀμφίων. ταῖς δὲ λοιπαῖς Ἀτλαντίσι Ζεὺς συνουσιάζει. 2. Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν πρώτοις ἐπὶ τοῦ λίκνου κείμενος, ἐκδὺς εἰς Πιερίαν παραγίνεται καὶ κλέπτει βόας ἃς ἔνεμεν 20 Ἀπόλλων. ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ περιέθηκε, καὶ κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπέκρυψε, δύο δὲ καταθύσας τὰς μὲν βύρσας πέτραις καθήλωσε, τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσεν ἑψήσας, τὰ δὲ κατέκαυσε. καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο. καὶ 25 εὑρίσκει πρὸ τοῦ ἄντρου νεμομένην χελώνην. ταύτην ἐκκαθάρας, εἰς τὸ κύτος χορδὰς ἐντείνας ἐξ ὧν ἔθυσε βοῶν καὶ ἐργασάμενος λύραν εὗρε καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς βόας ζητῶν εἰς Πύλον ἀφικνεῖται· καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν, οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον, οὐκ ἔχειν δὲ 30 εἰπεῖν ποῖ ποτε ἠλάθησαν διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι.

3. post ἢ vulg. additur ὡς ἄλλοι λέγουσιν, om. libri. ‖ 11. ᾤκησε libri. ‖ ἀκυόνη M. ‖ 12. καλλίστην ex mg. illatum credidit Heynius. ‖ 13. ὑβρέα libri, Ὑρέα vulg. ‖ ὑβρέως libri. ‖ 16. cf. Hermanni praef. ad Hom. hymn. p. 43 sqq. ‖ 18. πρώτοις] σπαργάνοις Heynius, στρωτοῖς Valcken. et Schaef. melet p. 88. ‖ 23. πέτρᾳ προσκαθήλωσε Schaef. l. l. ‖ 25. πρὸς DR^c. ‖ 27. vulg. ἐργασάμενος λύραν ἐποίησε, καὶ πρῶτος κρέα ὤπτησε, καὶ λ. ἑ., media om. PV et reliqui, ut videtur. ‖ 30. ποῖποτε P, ποίποτε DR^cV: ποῖόν ποτε Aegius. ‖

μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν κεκλοφότα πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται· καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο, ἡ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας τὰς βόας ἀπῄτει. Διὸς δὲ κελεύοντος ἀποδοῦναι ἠρνεῖτο. μὴ πείθων δὲ ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς 5 βόας ἀποδίδωσιν. ἀκούσας δὲ τῆς λύρας ὁ Ἀπόλλων, αἰτήσας ταύτην ἔλαβεν Ἑρμοῦ ἐκείνην διδόντος, ὁ δ' Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ ταύτας νέμων σύριγγα πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην βουλόμενος λαβεῖν τὴν χρυσῆν ῥάβδον ἐδίδου, ἣν ἐκέκτητο βουκολῶν. ὁ δὲ 10 καὶ ταύτην λαβεῖν ἀντὶ τῆς σύριγγος ἤθελε καὶ τὴν μαντικὴν ἐπελθεῖν· καὶ δοὺς διδάσκεται τὴν διὰ τῶν ψήφων μαντικήν. Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τέθησι.

3. Ταϋγέτη δὲ ἐκ Διὸς Λακεδαίμονα, ἀφ' οὗ καὶ Λακεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος δὲ καὶ Σπάρτης τῆς 15 Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτόχθονος καὶ νύμφης Νηίδος Κλεοχαρείας, Ἀμύκλας καὶ Εὐρυδίκη, ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διομήδης τῆς Λαπίθου Κυνόρτης καὶ Ὑάκινθος. τοῦτον εἶναι τοῦ Ἀπόλλωνος ἐρώμενον λέγουσιν, ὃν δίσκῳ βαλὼν ἄκων ἀπέκτεινε. Κυνόρτου δὲ Περιήρης, ὃς 20 γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον. Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης τῆς Οἰβάλου Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος. κατὰ πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγκεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν. 25 Λευκίππου δὲ θυγατέρες ἐγένοντο Ἱλάειρα καὶ Φοίβη. τούτας ἁρπάσαντες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις Ἀρσι-

2. παρεγένετο Heynius. ‖ 3. προσδιακομίσας vulg. ‖ 4. δὲ] καὶ P. ‖ 6. αἰτήσας — ὁ ἀπόλλων ex vetere libro dedit Aegius, om. PDR^{cbc}: recepi ac δ' inserui cum Sommero. ‖ 8. σύριγμα PDR^{c}. ‖ 12. τὸν ψῆφον D. ‖ 14. ταῦτά γε D. ‖ καὶ ante Λακεδαίμονα vulg., om. libri. ‖ 16. εὐρώτας (εὐρώσας D, εὐρώπης R^{a}M) τῆς σπάρτης libri. ‖ 17. εὐρυδίκης PDR^{c}. ‖ 19. τοῦ ἀπόλλω DR^{c}, articulus omittebatur: τὸν τοῦ Ἀ. Heynius. ‖ 20. δὲ παῖς Π. vulg., παῖς om. libri, addidit Aegius. ‖ 21. cf. Klein. Stes. fr. p. 125. ‖ 22. καὶ] ἢ Heynius. ‖ 23. οἰβάδου P. ‖ 25. λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγκεν libri, vulg. ὀξυδερκίᾳ δὲ λυγκεὺς ἤνεγκεν. ‖ 26. post δὲ quae assuta legebantur ab Aegio, ut videtur, ex Schol. Lycophr. 511 et ab Heynio servata, καὶ Φιλοδίκης τῆς Ἰνάχου, om. libri. ‖ 27. ἔγημε διόσκουρος PDR^{c}V: οἱ inseri voluit Heynius. ‖

εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οι Μειλανίωνα, ἀλλὰ Ἱπομένην. ἐγέννησε δὲ ἐκ Μειλανίωνος Ἀταλάντη ἢ Ἄρεος Παρθενοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρατεύσατο.

5 X. 1. Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Πληιόνης ἐγένοντο θυγατέρες ἑπτὰ ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληιάδες προσαγορευθεῖσαι, Ἀλκυόνη, Μερόπη, Κελαινώ, Ἠλέκτρα, Στερόπη, Ταϋγέτη, Μαῖα. τούτων Στερόπην μὲν Οἰνόμαος ἔγημε, Σίσυφος Μερόπην. δυσὶ δὲ ἐμίχθη Ποσειδῶν, πρώτῃ 10 μὲν Κελαινοῖ, ἐξ ἧς Λύκος ἐγένετο, ὃν Ποσειδῶν ἐν μακάρων ᾤκισε νήσοις, δευτέρᾳ δὲ Ἀλκυόνῃ, ἣ θυγατέρα μὲν ἐτέκνωσεν Αἴθουσαν, τὴν Ἀπόλλωνι Ἐλευθῆρα τεκοῦσαν, καλλίστην, υἱοὺς δὲ Ὑριέα καὶ Ὑπερήνορα. Ὑριέως μὲν οὖν καὶ Κλονίης νύμφης Νυκτεὺς καὶ Λύκος, Νυκτέως δὲ καὶ Πολυ- 15 ξοῦς Ἀντιόπη, Ἀντιόπης δὲ καὶ Διὸς Ζῆθος καὶ Ἀμφίων. ταῖς δὲ λοιπαῖς Ἀτλαντίσι Ζεὺς συνουσιάζει. 2. Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν πρώτοις ἐπὶ τοῦ λίκνου κείμενος, ἐκδὺς εἰς Πιερίαν παραγίνεται καὶ κλέπτει βόας ἃς ἔνεμεν 20 Ἀπόλλων. ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ περιέθηκε, καὶ κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπέκρυψε, δύο δὲ καταθύσας τὰς μὲν βύρσας πέτραις καθήλωσε, τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσεν ἑψήσας, τὰ δὲ κατέκαυσε. καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο. καὶ 25 εὑρίσκει πρὸ τοῦ ἄντρου νεμομένην χελώνην. ταύτην ἐκκαθάρας, εἰς τὸ κύτος χορδὰς ἐντείνας ἐξ ὧν ἔθυσε βοῶν καὶ ἐργασάμενος λύραν εὗρε καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς βόας ζητῶν εἰς Πύλον ἀφικνεῖται· καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν, οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον, οὐκ ἔχειν δὲ 30 εἰπεῖν ποῖ ποτε ἠλάθησαν διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι.

3. post ἢ vulg. additur ὡς ἄλλοι λέγουσιν, om. libri. ‖ 11. ᾤκησε libri. ‖ ἀκυόνη M. ‖ 12. καλλίστην ex mg. illatum credidit Heynius. ‖ 13. ὑβρέα libri, Ὑρέα vulg. ‖ ὑβρέως libri. ‖ 16. cf. Hermanni praef. ad Hom. hymn. p. 43 sqq. ‖ 18. πρώτοις] σπαργάνοις Heynius, στρωτοῖς Valcken. et Schaef. melet p. 88. ‖ 23. πέτρᾳ προσκαθήλωσε Schaef. l. l. ‖ 25. πρὸς DR^{c}. ‖ 27. vulg. ἐργασάμενος λύραν ἐποίησε, καὶ πρῶτος κρέα ὤπτησε, καὶ λ. ἐ., media om. PV et reliqui, ut videtur. ‖ 30. ποῖποτε P, ποίποτε DR^{c}V: ποῖόν ποτε Aegius. ‖

μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν κεκλοφότα πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται· καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο, ἡ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας τὰς βόας ἀπῄτει. Διὸς δὲ κελεύοντος ἀποδοῦναι ἠρνεῖτο. μὴ πείθων δὲ ἄγει τὸν Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς 5 βόας ἀποδίδωσιν. ἀκούσας δὲ τῆς λύρας ὁ Ἀπόλλων, αἰτήσας ταύτην ἔλαβεν Ἑρμοῦ ἐκείνην διδόντος, ὁ δ' Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ ταύτας νέμων σύριγγα πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων δὲ καὶ ταύτην βουλόμενος λαβεῖν τὴν χρυσῆν ῥάβδον ἐδίδου, ἣν ἐκέκτητο βουκολῶν. ὁ δὲ 10 καὶ ταύτην λαβεῖν ἀντὶ τῆς σύριγγος ἤθελε καὶ τὴν μαντικὴν ἐπελθεῖν· καὶ δοὺς διδάσκεται τὴν διὰ τῶν ψήφων μαντικήν. Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τέθησι.

3. Ταϋγέτη δὲ ἐκ Διὸς Λακεδαίμονα, ἀφ' οὗ καὶ Λακεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος δὲ καὶ Σπάρτης τῆς 15 Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτόχθονος καὶ νύμφης Νηίδος Κλεοχαρείας, Ἀμύκλας καὶ Εὐρυδίκη, ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διομήδης τῆς Λαπίθου Κυνόρτης καὶ Ὑάκινθος. τοῦτον εἶναι τοῦ Ἀπόλλωνος ἐρώμενον λέγουσιν, ὃν δίσκῳ βαλὼν ἄκων ἀπέκτεινε. Κυνόρτου δὲ Περιήρης, ὃς 20 γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον. Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης τῆς Οἰβάλου Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος. κατὰ πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγκεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν. 25 Λευκίππου δὲ θυγατέρες ἐγένοντο Ἱλάειρα καὶ Φοίβη. ταύτας ἁρπάσαντες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις Ἀρσι-

2. παρεγένετο Heynius. ‖ 3. προσδιακομίσας vulg. ‖ 4. δὲ] καὶ P. ‖ 6. αἰτήσας — ὁ ἀπόλλων ex vetere libro dedit Aegius, om. PDR^{cbc}: recepi ac δ' inserui cum Sommero. ‖ 8. σύριγμα PDR^{c}. ‖ 12. τὸν ψῆφον D. ‖ 14. ταῦτά γε D. ‖ καὶ ante Λακεδαίμονα vulg., om. libri. ‖ 16. εὐρώτας (εὐρώσας D, εὐρώπης R^{a}M) τῆς σπάρτης libri. ‖ 17. εὐρυδίκης PDR^{c}. ‖ 19. τοῦ ἀπόλλω DR^{c}, articulus omittebatur: τὸν τοῦ Ἀ. Heynius. ‖ 20. δὲ παῖς Π. vulg., παῖς om. libri, addidit Aegius. ‖ 21. cf. Klein. Stes. fr. p. 125. ‖ 22. καὶ] ἢ Heynius. ‖ 23. οἰβάδου P. ‖ 25. λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγκεν libri, vulg. ὀξυδερκίᾳ δὲ λυγκεὺς ἤνεγκεν. ‖ 26. post δὲ quae assuta legebantur ab Aegio, ut videtur, ex Schol. Lycophr. 511 et ab Heynio servata, καὶ Φιλοδίκης τῆς Ἰνάχου, om. libri. ‖ 27. ἔγημε διόσκουρος PDR^{c}V: οἱ inseri voluit Heynius. ‖

νόην ἐγέννησε. ταύτῃ μίγνυται Ἀπόλλων, ἡ δὲ Ἀσκληπιὸν γεννᾷ. τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσινόης τῆς Λευκίππου λέγουσιν, ἀλλ' ἐκ Κορωνίδος τῆς Φλεγύου ἐν Θεσσαλίᾳ. καί φασιν ἐρασθῆναι ταύτης Ἀπόλλωνα καὶ εὐθέως συνελθεῖν, τοῦ δὲ παρὰ τὴν τοῦ πατρὸς γνώμην ἐρωμένου Ἴσχυι τῷ Καινέως ἀδελφῷ συνοικεῖν. Ἀπόλλων δὲ τὸν μὲν ἀπαγγείλαντα κόρακα καταρᾶται, ὃν τέως λευκὸν ἐόντα ἐποίησε μέλανα, αὐτὴν δὲ ἀπέκτεινε. καιομένης δὲ αὐτῆς ἁρπάσας τὸ βρέφος ἐκ τῆς πυρᾶς πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκε, παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν, ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας. παρὰ γὰρ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνης ῥυὲν αἷμα τῷ μὲν ἐκ τῶν ἀριστερῶν ῥυέντι πρὸς φθορὰν ἀνθρώπων ἐχρῆτο, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς σωτηρίαν, καὶ διὰ τούτου τοὺς τεθνηκότας ἀνήγειρεν. εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ, Καπανέα καὶ Λυκοῦργον, ὡς Στησίχορός φησιν ἐν Ἐριφύλῃ, Ἱππόλυτον ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει, Τυνδάρεων ὥς φησι Πανύασις, Ὑμέναιον ὡς οἱ Ὀρφικοὶ λέγουσι, Γλαῦκον τὸν Μίνωος ὡς Μνησαγόρας λέγει. 4. Ζεὺς δὲ φοβηθεὶς μὴ λαβόντες ἄνθρωποι θεραπείαν παρ' αὐτῶν βοηθῶσιν ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν. καὶ διὰ τοῦτο ὀργι-

3. φλένου et in mg. φολέου P, φολέου MX, φολίου D, φωλέου V. ‖ 4. ταύτῃ PR^{c} ‖ ἀπόλλω PO. ‖ τὴν δὲ vulg. ante καὶ εὐθέως, om. PDR$_{c}$V et libri Aegii: τῇ δὲ Galeus. ‖ 5. τοῦ δε libri, legebatur τὴν δὲ: ἔπειτα δὲ Faber, μετὰ τοῦτο δὲ Galeus. ‖ ἐρωμένου Sevinus, ἑλομένῃ Galeus, ἑλομένην vulg.: libri ἑλομένου vel ἐλομένου. ‖ τῷ Καινέως ἀδελφῷ Sevinus, edebatur τῷ Ἐλάτου υἱῷ, Heynius omitti voluit: libri τῷ κλεινέως ἀδελφῷ. ‖ 7. κατηρᾶτο maluit Heynius. ‖ ὃν (vel καὶ) Faber: ὡς R^{c}, in mg. ὃς, et sic edebatur. ‖ 8. post prius δὲ Commelinus inseruit ἐγκύουσαν, Aegius ἔγκυον οὖσαν, om. libri. ‖ 14. γοργόνης libri, Γοργόνος Faber et reliqui. ‖ τῷ — ῥυέντι et mox τῷ δὲ Zenob. 1, 18 et sic Clavier: erat τὸ ῥυὲν et τὸ δέ. ‖ 17. εὗρον sqq. susp. Heynio, ‖ 18. ὡς Στ, φ. ἐν Ἐριφύλῃ Sevinus et Heynius ex Sext. Emp. adv. math. 1, 12. et Schol. Eur. Alc. 2: legebatur ὡς δὲ Στ, φ. Ἐριφύλην. cf. Klein. Stes. fr. p. 74. Marckscheffel Hes. etc. fr, p. 411. ‖ 19. τυνδάρεω D. ‖ 21. μνησαγόρας PDR^{abc}X, vulg. Μνησιγόρας: verum nomen esse Μελησαγόρας sive Ἀμελησαγόρας coniecit Meurs. ad Antig. Car. 12. cf. Mus. crit Cant. 1. p. 225. ‖ 22. αὐτοῦ ex Heynii corr. Clavier. ‖

σθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον, δεηθείσης δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. ὁ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων ἐποίμαινε, καὶ τὰς θηλείας βόας πάσας διδυματόκους ἐποίησεν. εἰσὶ δὲ οἱ λέγοντες Ἀφαρέα μὲν καὶ Λεύκιππον ἐκ Περιήρους γενέσθαι τοῦ Αἰόλου, Κυνόρτου δὲ Περιήρην, τοῦ δὲ Οἴβαλον, Οἰβάλου δὲ καὶ Νηίδος νύμφης Βατείας Τυνδάρεων, Ἱπποκόωντα, Ἰκαρίωνα.

5. Ἱπποκόωντος μὲν οὖν ἐγένοντο παῖδες Δορυκλεύς, Σκαῖος, Ἐναρσφόρος, Εὐτείχης, Βουκόλος, Λυκάν, Τέβρος, Ἱππόθοος, Εὔρυτος, Ἱπποκορυστής, Ἀλκίνους, Ἄλκων. τούτους Ἱπποκόων ἔχων παῖδας Ἰκαρίωνα καὶ Τυνδάρεων ἐξέβαλε Λακεδαίμονος. οἱ δὲ φεύγουσι πρὸς Θέστιον καὶ συμμαχοῦσιν αὐτῷ πρὸς τοὺς ὁμόρους πόλεμον ἔχοντι. καὶ γαμεῖ Τυνδάρεως Θεστίου θυγατέρα Λήδαν. αὖθις δέ, ὅτε Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς τούτου παῖδας ἀπέκτεινε, κατέρχονται, καὶ παραλαμβάνει Τυνδάρεως τὴν βασιλείαν. 6. Ἰκαρίου μὲν οὖν καὶ Περιβοίας νύμφης Νηίδος Θόας, Δαμάσιππος, Ἰμεύσιμος, Ἀλήτης, Περίλεως, καὶ θυγάτηρ Πηνελόπη, ἣν ἔγημεν Ὀδυσσεύς· Τυνδάρεω [δὲ] καὶ Λήδας Τιμάνδρα, ἣν Ἔχεμος ἔγημε, καὶ Κλυταιμνήστρα, ἣν ἔγημεν Ἀγαμέμνων, ἔτι τε Φυλονόη, ἣν Ἄρτεμις ἀθάνατον ἐποίησε. 7. Διὸς δὲ Λήδᾳ συνελθόντος ὁμοιωθέντος κύκνῳ καὶ κατὰ τὴν αὐτὴν νύκτα Τυνδάρεω, Διὸς μὲν ἐγεννήθη Πολυδεύκης καὶ

2. ἐμέλλησε PRcV, vulg. ἐμέλησε. ‖ 5. τούτου D. ‖ 6. πάσας uncis inclusit Commelinus. ‖ 8. περιήρης libri: Περιήρην, τοῦ δὲ susp. Hemsterh. ad Luc. 1. p. 269 et Heynio. ‖ 9. Τυνδάρεων — Ἰκαρίωνα om. Rb. ‖ 10. Δορκεὺς ex Paus. 3, 15. Heynius. ‖ 11. Ἐναρσφόρος Heynius, vulg. Ἐμάρσφορος: cf. Buttm. gr. 2. p. 461 sq. et Schneidewin. coni. crit. p. 11. ‖ εὐτείχης PDRcV, edebatur εὐτύχης: cf. Schneidw. p. 10. ‖ λύκαν DRcV, λύκανον P, edebatur Λύκων. ‖ Σέβρος Faber. ‖ 13. ἐξέβαλον libri, vulg. ἐξέβαλεν. ‖ 15. αὐτοῦ PD. ‖ 16. post Θεστίου quod intulit Aegius τοῦ Αἰτωλοῦ om. libri. ‖ 17. κατέρχεται Heynius. ‖ 19. ante Θόας ex Schol. Lycophr. 511 Aegius inseruit υἱοὶ ἄρρενες πέντε, om. libri. ‖ 21. δὲ addidit Heynius. ‖ 23. φυλονόη PRc, legebatur Φιλονόη. ‖ 25. Τυνδάρεως vulg. ‖ διὸς DRcV, υἱὸς M, legebatur ἐκ Διός. ‖ ἐγεννήθησαν Commelin. ‖

Ἑλένη, Τυνδάρεω δὲ Κάστωρ. λέγουσι δὲ ἔνιοι Νεμέσεως Ἑλένην εἶναι καὶ Διός· ταύτην γὰρ τὴν Διὸς φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν μεταβαλεῖν, ὁμοιωθέντα δὲ καὶ Δία τῷ κύκνῳ συνελθεῖν, τὴν δὲ ὠὸν ἐκ τῆς συνουσίας
5 ἀποτεκεῖν. τοῦτο δὲ ἐν τοῖς ἅλσεσιν εὑρόντα τινὰ ποιμένα Λήδᾳ κομίσαντα δοῦναι, τὴν δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν καὶ χρόνῳ καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατέρα τρέφειν. γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ Θησεὺς ἁρπάσας εἰς Ἀθήνας ἐκόμισε. Πολυδεύκης δὲ
10 καὶ Κάστωρ εἰς Ἀθήνας ἐπιστρατεύσαντες ἐν Ἅιδου Θησέως ὄντος αἱροῦσι τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι καὶ τὴν Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον. 8. παρεγένοντο δὲ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες Ἑλλάδος. ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε· Ὀδυσσεὺς Λαέρ-
15 του, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος, Ἀγαπήνωρ Ἀγκαίου, Σθένελος Καπανέως, Ἀμφίμαχος Κτεάτου, Θάλπιος Εὐρύτου, Μέγης Φυλέως, Ἀμφίλοχος Ἀμφιαράου, Μενεσθεὺς Πετεώ, Σχέδιος Ἐπιστρόφου, Πολύξενος Ἀγασθένους, Πηνέλεως Λητίου, Αἴας Ὀϊλέως, Ἀσκάλαφος καὶ Ἰάλ-
20 μενος Ἄρεος, Ἐλεφήνωρ Χαλκώδοντος, Εὔμηλος Ἀδμήτου, Πολυποίτης Πειρίθου, Λεοντεὺς Κορώνου, Ποδαλείριος καὶ Μαχάων Ἀσκληπιοῦ, Φιλοκτήτης Ποίαντος, Εὐρύπυλος Εὐαίμονος, Πρωτεσίλαος Ἰφίκλου, Μενέλαος Ἀτρέως, Αἴας καὶ Τεῦκρος Τελαμῶνος, Πάτροκλος Μενοιτίου. τούτων ὁρῶν
25 τὸ πλῆθος Τυνδάρεως ἐδεδοίκει μὴ κριθέντος ἑνὸς στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου δὲ τοῦ Ὀδυσσέως, ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον, ὑποθήσεσθαι τρόπον τινὰ δι' οὗ μηδεμία γενήσεται στάσις, ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκίσαι τοὺς
30 μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμφίος ὑπὸ ἄλλου

1. ἐκ Τυνδ. Heynius. ‖ post Κάστωρ excidisse καὶ Κλυταιμνήστρα monuit Galeus. ‖ νεμέσεος DR^c. ‖ 4. τῷ susp. Heynio. ‖ 7. φυλάξαι Aegius. ‖ 9. εἰς Ἀφίδνας utroque loco v. Staveren misc. observ. 10. p. 382. ‖ 16. Ἀμφίλοχος vulg. ‖ 18. Σχέδιος καὶ Ἐπίστροφος Ἰφίτου ex Hom. Iliad 2, 517 Palmerius et Heynius. ‖ 19. Πηνέλεως Ἱππαλκίμου καὶ Λήιτος Ἀλεκτρυόνος idem ex Hom. Il. 17. 602. ‖ 20. χαλκόδοντος libri. ‖ 25. προκριθέντος Faber. ‖ 27. ὑποθήσεσθαι PDV et quidam libri Aegii, vulg. ὑποθέσθαι. ‖ 28. ὡς δὲ ὑ. Heynius. ‖ 30. μνήστορας V. ‖ ὑπ' ἄλλου

τινος αδικῆται περὶ τὸν γάμον. ἀκούσας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας ἐξορκίζει, καὶ Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον, Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην.

XI. 1. Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά τινας Νικόστρατον, ἐκ δούλης [δὲ] Πιερίδος, γένος Αἰτωλίδος, ἢ, καθάπερ Ἀκουσίλαός φησι, Τηριδάης Μεγαπένθη, ἐκ Κνωσσίας δὲ νύμφης κατὰ Εὔμηλον Ξενόδαμον. 2. τῶν δὲ ἐκ Λήδας γενομένων παίδων Κάστωρ μὲν ἤσκει τὰ κατὰ πόλεμον, Πολυδεύκης δὲ πυγμήν, καὶ διὰ τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. βουλόμενοι δὲ γῆμαι τὰς Λευκίππου θυγατέρας, ἐκ Μεσσήνης ἁρπάσαντες ἔγημαν. καὶ γίνεται μὲν Πολυδεύκους καὶ Φοίβης Μνησίλεως, Κάστορος δὲ καὶ Ἱλαείρας Ἀνώγων. ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας βοῶν λείαν μετὰ τῶν Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως ἐπιτρέπουσιν Ἴδᾳ διελεῖν, ὁ δὲ τεμὼν βοῦν εἰς μέρη τέσσαρα τοῦ πρώτου καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι καὶ τοῦ δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε τὸ μέρος τὸ ἴδιον πρῶτον Ἴδας καὶ τὸ τοῦ ἀδελφοῦ, καὶ μετ' ἐκείνου τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρατεύσαντες δὲ ἐπὶ Μεσσήνην οἱ Διόσκουροι τήν τε λείαν ἐκείνην καὶ πολλὴν ἄλλην συνελαύνουσι, καὶ τὸν Ἴδαν ἐλόχων καὶ τὸν Λυγκέα. Λυγκεὺς δὲ ἰδὼν Κάστορα ἐμήνυσεν Ἴδᾳ, κἀκεῖνος αὐτὸν κτείνει. Πολυδεύκης δὲ ἐδίωξεν αὐτούς, καὶ τὸν μὲν Λυγκέα κτείνει τὸ δόρυ προέμενος, τὸν δὲ Ἴδαν διώκων, βληθεὶς ὑπ' ἐκείνου πέτρᾳ κατὰ τῆς κεφαλῆς πίπτει σκοτωθείς. καὶ Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν ἀνάγει. μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν ὄντος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις παρ' ἡμέραν καὶ ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς ἔδωκε. μεταστάντων δὲ εἰς

τινὸς M. cett. ὑπὸ ἄλλου, vulg. ἀπὸ ἄλλου τ. ‖ 5. vulg. Λούλης: adieci δὲ. ‖ Πιερίδος γένος ἢ Αἰτ. Heynius. ‖ 6. cf. Sturz. Acus. fr. p. 221. ‖ τηρηίδος PDR^{c}VO, qui et μεγαπένθης et ξενοδάμων praeter P, qui praebet ξενωδώμων. ‖ 7. cf. Marckscheffel Hes. etc. fr. p. 406. ‖ 11. μεσήνης PDV et infra. ‖ 12. μησίλεως DR^{b}V. ‖ 13. ἰλαίρας libri. ‖ Ἄναξις v. Ἀναξίας Faber. ‖ 14. βοῶν λείαν DR^{c}X et P in mg., item quidam libri Aegii, legebatur βουλείαν. ‖ 15. διελεῖν P, vulg. διελθεῖν. ‖ 16. πρῶτος PDR^{c}. ‖ 21. ὑπὸ δρυὶ quod erat post Ἴδαν, ex Pind. Nem. 115 illatum, om. PDR^{abc}VM. ‖ 23. Πολυδεύκης — κτείνει om. VM. ‖

θεοὺς τῶν Διοσκούρων Τυνδάρεως μεταπεμψάμενος Μενέλαον εἰς Σπάρτην τούτῳ τὴν βασιλείαν παρέδωκεν.

XII. 1. Ἠλέκτρας δὲ τῆς Ἄτλαντος καὶ Διὸς Ἰασίων καὶ Δάρδανος ἐγένοντο. Ἰασίων μὲν οὖν ἐρασθεὶς Δήμητρος καὶ θέλων καταισχύναι τὴν θεὸν κεραυνοῦται, Δάρδανος δὲ ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ λυπούμενος Σαμοθρᾴκην ἀπολιπὼν εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε. ταύτης δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου καὶ νύμφης Ἰδαίας, ἀφ' οὗ καὶ οἱ τὴν χώραν νεμόμενοι Τεῦκροι προσηγορεύοντο. ὑποδεχθεὶς δὲ ὑπὸ τοῦ βασιλέως καὶ λαβὼν μέρος τῆς γῆς καὶ τὴν ἐκείνου θυγατέρα Βάτειαν Δάρδανον ἔκτισε πόλιν, τελευτήσαντος δὲ Τεύκρου τὴν χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε. 2. γενομένων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἴλος μὲν οὖν ἄπαις ἀπέθανεν, Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν βασιλείαν, γήμας Ἀστυόχην τὴν Σιμόεντος τεκνοῖ Τρῶα. οὗτος παραλαβὼν τὴν βασιλείαν τὴν μὲν χώραν ἀφ' ἑαυτοῦ Τροίαν ἐκάλεσε. καὶ γήμας Καλιρρόην τὴν Σκαμάνδρου γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας δὲ Ἴλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. τοῦτον μὲν οὖν διὰ κάλλος ἁναρπάσας Ζεὺς δι' ἀετοῦ θεῶν οἰνοχόον ἐν οὐρανῷ κατέστησεν, Ἀσσαράκου δὲ καὶ Ἱερομνήμης τῆς Σιμόεντος Κάπυς, τοῦ δὲ καὶ Θέμιδος τῆς Ἴλου Ἀγχίσης, ᾧ δι' ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη συνελθοῦσα Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἄπαις ἀπέθανε. 3. Ἴλος δὲ εἰς Φρυγίαν ἀφικόμενος καὶ καταλαβὼν ὑπὸ τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα νικᾷ πάλην, καὶ λαβὼν ἆθλον πεντήκοντα κούρους καὶ κόρας τὰς ἴσας, δόντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ βοῦν ποικίλην καὶ φράσαντος, ἐν ᾧπερ ἂν αὐτὴ κλεθῇ τόπῳ πόλιν κτίζειν, εἴπετο τῇ βοΐ. ἡ δὲ ἀφικομένη ἐπὶ τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κλίνεται, ἔνθα πόλιν κτίσας Ἴλος ταύτην μὲν Ἴλιον ἐκάλεσε· τῷ δὲ Διὶ σημεῖον εὐξάμενος αὐτῷ τι φανῆναι, μεθ' ἡμέραν τὸ διιπετὲς Παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεά-

3. ἰασίων P, ἰασίμων DV. ‖ 7. ἀντίπερι P, ἀντίπαρα R^c. ‖ 12. τεῦκρος PD, τεύκρους V. ‖ 13. αὐτῷ παίδων VM, παίδων αὐτῶν vulg. ‖ ἴλλου et ἴλλος libri. ‖ 17. γήμας δὲ Heynius. ‖ 21. θέμιστος PD, θεμίστης R^c. ‖ τοῦ vulg. ‖ 23. Λύρνον Heynius. ‖ 28. κτίζει M. ‖

σατο. ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς δὲ ποσὶ συμβεβηκός, καὶ τῇ μὲν δεξιᾷ δόρυ διῃρμένον ἔχον, τῇ δὲ ἑτέρᾳ ἠλακάτην καὶ ἄτρακτον. ἱστορία δὲ ἡ περὶ τοῦ Παλλαδίου τοιήδε φέρεται. φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφεσθαι, ᾧ θυγάτηρ ἦν Παλλάς, ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προελθεῖν· μελλούσης δὲ πλήττειν τῆς Παλλάδος τὸν Δία φοβηθέντα τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ' αὐτῇ γενομένην, ξόανον ἐκείνης ὅμοιον κατασκευάσασαν καὶ περιθεῖναι τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα καὶ τιμᾷν ἱδρυσαμένην παρὰ τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν φθορὰν τούτῳ προσφυγούσης διαρρίψαι μετ' Ἄτης καὶ τὸ Παλλάδιον εἰς τὴν Ἰλιάδα χώραν. Ἴλον δὲ τούτου ναὸν κατασκευάσαντα τιμᾷν. καὶ περὶ μὲν Παλλαδίου ταῦτα λέγεται. Ἴλος δὲ γήμας Εὐρυδίκην τὴν Ἀδράστου Λαομέδοντα ἐγέννησεν, ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου, κατὰ δέ τινας Πλακίαν τὴν Ἀτρέως, κατ' ἐνίους δὲ Λευκίππου, καὶ τεκνοῖ παῖδας μὲν Τιθωνόν, Λάμπωνα, Κλύτιον, Ἱκετάονα, Ποδάρκην, θυγατέρας δὲ Ἡσιόνην καὶ Κίλλαν καὶ Ἀστυόχην, ἐκ δὲ νύμφης Καλύβης Βουκολίωνα. 4. Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα εἰς Αἰθιοπίαν κομίζει, κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας Ἡμαθίωνα καὶ Μέμνονα.

5. Μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ Ἡρακλέους, ὡς μικρῷ πρόσθεν ἡμῖν λέλεκται, ἐβασίλευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος. καὶ γαμεῖ πρώτην Ἀρίσβην τὴν Μέροπος, ἐξ ἧς αὐτῷ παῖς Αἴσακος γίνεται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κε-

2. διηρτημένον vulg. ‖ 3. ἱστορία — φέρεται susp. Heynio. ‖ 7. vulg. προσθῆναι: Faber προθεῖναι vel προτεῖναι. ‖ 8. post ἀναβλέψαι ex Schol. Lycophr. addidit Aegius πρὸς τὴν αἰγίδα. ‖ 9. αὐτὴν D. ‖ 10. κατασκευάσαι καὶ Scaliger, sic aut καὶ deleto cum Fabro voluit Heynius. ‖ περιθεῖναι DR^cVO, vulg. περιθῆναι. ‖ 11. ἣν ἔδεισεν susp. Galeo. ‖ 13. διαρρίψας V: τὸν Δία ῥίψαι Galeus, διαρπάσαι Scaliger. ‖ Ἄτης Galeus, vulg. αὐτῆς, quod reposuit Clavier: μετ' Ἄτης. καὶ susp. Heynio. ‖ 14. τοῦτο Heynius. ‖ ναὸν καὶ κ. PR^c. ‖ 17. στρυμὼ DV, τρυμὼ M, μῆδὼ P, Στρυμνὼ vulg. ‖ Πλακίας ed. pr. ‖ 18. Λευκίππην Mezirlac ad Ovid. l. p. 355. ‖ 19. λάμπονα D: Λάμπον Heynius. ‖ 24. μικρῷ PDR^cO, legebatur μικρὸν. ‖ 26. καὶ] ὃς Heynius. ‖ πρῶτον V. ‖ 27. αἴσακος R^c, αἴσοπος P. ‖ στερόπην PDR^ab. ‖ κεβρῆνος libri: κεβριόνου Aegius ex Steph. B. ‖

βρῆνος θυγατέρα, ἣν πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν Ἑκάβην τὴν Λύμαντος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς ἕτεροι λέγουσιν Σαγγαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῇ πρῶτος μὲν Ἕκτωρ, δευτέρου δὲ γεννᾶσθαι μέλλοντος βρέφους ἔδοξεν Ἑκάβῃ καθ' ὕπαρ δαλὸν τεκεῖν διάπυρον, τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν. μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον Αἴσακον τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μητροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν τῆς πατρίδος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος ἐκέλευσε. Πρίαμος δὲ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδωσιν ἐκθεῖναι οἰκέτῃ κομίσοντι εἰς Ἴδην· ὁ δὲ οἰκέτης Ἀγέλαος ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὁ δὲ σωζόμενον εὑρὼν ἀναιρεῖται, καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανίσκος καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις Ἀλέξανδρος προσωνομάσθη, λῃστὰς ἀμυνόμενος καὶ τοῖς ποιμνίοις ἀλεξήσας, ὅπερ ἐστὶ βοηθήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας ἀνεῦρε. μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέουσαν, Λαοδίκην, Πολυξένην, Κασσάνδραν, ᾗ συνελθεῖν βουλόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν· ἡ δὲ μαθοῦσα οὐ συνῆλθεν, ὅθεν Ἀπόλλων ἀφείλετο τῆς μαντικῆς αὐτοῦ τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέννησε Δηίφοβον, Ἕλενον, Πάμμονα, Πολίτην, Ἄντιφον, Ἱππόνοον, Πολύδωρον, Τρώιλον. τοῦτον ἐξ Ἀπόλλωνος λέγεται γεγεννηκέναι. ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες γίνονται Μελάνιππος, Γοργυθίων, Φιλαίμων, Ἱππόθοος, Γλαῦκος, Ἀγάθων, Χερσιδάμας, Εὐαγόρας, Ἱπποδάμας, Μήστωρ, Ἄτας, Δόρυκλος, Λυκάων, Δρύοψ,

4. ἀσαγγάριος et ἀσσαγγάριος libri. ‖ 8. κατεπέμψατο DR^abc. ‖ 10. τούτου εἰπόντος — γενήσεσθαι Faber. ‖ 11. ἐκέλευε R^c. ‖ 12. ἐκθῆν D super scripto ει, ἐλθεῖν V. ‖ οἰκέτι M, οὐκ ἔτι libri Aegii. ‖ κομίσαντι DV et libri Aegii. ‖ 13. ἡγέλαος P. ‖ post ὠνομάζετο ex Schol. Lycophr. 138 ἢ Ἀρχέλαος addidit Aegius. ‖ 14. ἄρτου PD. ‖ 19. ὅπερ ἐ. β. susp. Heynio. ‖ 21. κασάνδραν D. ‖ 23. αὐτοῦ delendum censuit cum Fabro Heynius aut scribendum αὐτὴν vel τὴν μαντικὴν αὐτῆς. ‖ 29. ἱπποδάμος R^c. ‖ ἄτης R^c. ‖ Δρύωψ vulg. ‖

Βίας, Χρόμιος, Ἀστύγονος, Τελέστας, Εὔανδρος, Κεβριόνης, Μήλιος, Ἀρχέμαχος, Λαοδόκος, Ἐχέφρων, Ἰδομενεύς, Ὑπερίων, Ἀσκάνιος, Δημοκόων, Ἄρρητος, Δηιόπτης, Κλόνιος, Ἐχέμων, Ὑπείροχος, Αἰγεωνεύς, Αὐσίθοος, Πολυμέδων, θυγατέρες δὲ Μέδουσα, Μηδεσικάστη, Λυσιμάχη, Ἀριστοδήμη. 6. Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ, Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ θυγατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα προὔλεγεν Ἀλεξάνδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην, μὴ πείθουσα δὲ εἶπεν, ἐὰν τρωθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνην γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης ἁρπάσαι. πολεμουμένης δὲ Τροίας τοξευθέντα ὑπὸ Φιλοκτήτου τόξοις Ἡρακλείοις πρὸς Οἰνώνην ἐπανελθεῖν εἰς Ἴδην, ἡ δὲ μνησικακοῦσα θεραπεῦσαι οὐκ ἔφη. Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα, Οἰνώνη δὲ μετανοήσασα τὰ πρὸς θεραπείαν φάρμακα ἔφερε, καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.

Ὁ δὲ Ἀσωπὸς ποταμὸς Ὠκεανοῦ καὶ Τηθύος, ὡς δὲ Ἀκουσίλαος λέγει Πηροῦς καὶ Ποσειδῶνος, ὡς δέ τινες Διὸς καὶ Εὐρυνόμης. οὗτος Μετώπην γημάμενος (Λάδωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη) δύο μὲν παῖδας ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέρας, ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσωπὸς ζητῶν ἧκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σισύφου τὸν ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν κεραυνώσας διώκοντα πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε ῥεῖθρα. διὰ τοῦτο μέχρι καὶ νῦν ἐκ τῶν τούτου ῥείθρων ἄνθρακες φέρονται. Αἴγιναν δὲ εἰσκομίσας εἰς τὴν τότε Οἰνώνην λεγομένην νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης

1. βίβας libri. ‖ Ἀστύνοος Galeus. ‖ 3. Ἀρήιος Mercer. ad Dict. 4, 7. ‖ δηιόπτιον libri: Δηιοπίτης Heynius. ‖ 4. ἐχέμμων P, cett. ἐχέμων. ‖ Αἰγωνεύς Heynius. ‖ 5. πολυμέδωρ Rc. ‖ 9. προέλεγεν PV. ‖ 11. μόνη PV, μόνῃ D. ‖ 17. post ἀνήρτησεν quae leguntur in ed. pr., ἡ γὰρ Οἰνώνη ἰατρικὴν καὶ μουσικὴν (Anna Fabri ad Dict. 4, 21 φυσικὴν, Meziriac. ad Ovid. epp. p. 413 μαγικὴν, Spanhem. ad Julian. Caes. p. 25 et Hemst. ad Luc. l. p. 236 μαντικὴν) ἤσκει, om. libri. ‖ 18. ποταμοῦ ὤν V. ‖ 19. cf. Sturz Acus. fr. p. 220. ‖ 20. τοῦ om. X. ‖ 21. θυγατέρα, Commelin. ‖ post Αἴγιναν ex Schol. Lycophr. 175 ἥτις Οἰνώνη ἐκαλεῖτο intulit Aegius. ‖ 26. ἐκ] ἐπὶ Heynius. ‖

κληθεῖσαν, μίγνυται καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν. τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε. γαμεῖ δὲ Αἰακὸς Ἐνδηίδα τὴν Σκείρωνος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο Πηλεύς τε καὶ Τελαμών. Φερεκύδης δέ φησι
5 Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλὰ Ἀκταίου παῖδα καὶ Γλαύκης τῆς Κυχρέως. μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φύκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον. ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. διὸ καὶ τὴν Ἑλλάδα κατεχούσης ἀφορίας
10 διὰ Πέλοπα, ὅτι Στυμφάλῳ τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν, τὴν Ἀρκαδίαν ἑλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν ἔκτεινεν αὐτὸν καὶ διέσπειρε μελεΐσας, χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται. ποιησαμένου δὲ εὐχὰς
15 Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται. τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακὸς καὶ τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει. διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ Τελαμὼν συγγυμναζόμενον αὐτὸν βαλὼν δίσκῳ κατὰ τῆς
20 κεφαλῆς κτείνει, καὶ κομίσας μετὰ Πηλέως κρύπτει κατά τινος ὕλης. φωραθέντος δὲ τοῦ φόνου φυγάδες ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται. 7. καὶ Τελαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν [Ποσειδῶνος καὶ] Σαλαμῖνος τῆς Ἀσωποῦ. κτείνας δὲ ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον, ἧς
25 αὐτὸς ἐβασίλευε, καὶ τελευτῶν ἅπαις τὴν βασιλείαν παραδίδωσι Τελαμῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀλκάθου τοῦ Πέλοπος. καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους, ἵνα αὐτῷ παῖς ἄρρην γένηται, φανέντος δὲ μετὰ τὰς εὐχὰς ἀετοῦ, τὸν γεν-

1. τεκνοῖ PDR^cV, vulg. γεννᾷ. || 3. κείρωνος R^c, cett. σκείρωνος, scribebatur Χείρωνος ex Schol. Pind. Nem. 5, 12. || αὐτοῦ D. || 4. cf. Sturz. Pherec. fr. p. 78. || 5. Ἄκτορος v. Ἄκτωνος Galeus, Ἀγκαίου Faber. || 6. κυθρέως PV, κρυθρέως D, Κρηθέως vulg. || 7. φόκην O, cett. φύλην, vulg. πηγήν: Heynius φύκην. || ἀλλαγμένην PD, ἠλλαγμένην V. || 8. ἀνελθεῖν vulg. || 10. στυφάλῳ PD. || 11. δυνάμενον R^c || 12. μελίσσας PDR^cVM, μελίσας pr. m. R^c. || 17. Φώκῳ vulg. || 23. κυγχρέα PD, κεγχρέα R^cX. || Ποσειδῶνος καὶ om. PDR^c. || 24. υἱὸν quod vulg. erat post Ἀσωποῦ om. libri. || ἧς αὐτὸς] αὐτῆς Heynius, recepit Clavier. || 26. ἀλκάνδρου libri. ||

νηθέντα ἐκάλεσεν Αἴαντα, καὶ στρατευσάμενος ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ λαμβάνει γέρας Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.

XIII. 1. Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν Ἄκτορος ὑπ' αὐτοῦ καθαίρεται, καὶ λαμβάνει παρ' αὐτοῦ τὴν θυγατέρα Ἀντιγόνην καὶ τῆς χώρας τὴν τρίτην μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν ἔγημε Βῶρος ὁ Περιήρους. 2. ἐντεῦθεν δὲ ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν σὺν ἀκόντιον Εὐρυτίωνος τυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ ὑπ' αὐτοῦ καθαίρεται. 3. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια, Ἀκάστου γυνή, Πηλέως ἐρασθεῖσα περὶ συνουσίας προσέπεμψεν αὐτῷ λόγους, μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ πέμψασα ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα ἀγχόνην ἀνάπτει· Πηλέως δὲ πρὸς Ἄκαστον καταψεύδεται, λέγουσα ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι. [ἃ] Ἄκαστος ἀκούσας κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν ἀμίλλης περὶ θήρας γενομένης Πηλεὺς μὲν οὖν, ὧν ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς πῆραν ἐτίθει, οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρακότος τοῦ Πηλέως. ὁ δὲ τὰς γλώσσας παρασχόμενος ὅσας εἶχεν ἐκείνοις, τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος [δὲ] αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται, ὁ δὲ ἐξαναστὰς καὶ ζητῶν τὴν μάχαιραν ὑπὸ τῶν Κενταύρων καταληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σώζεται δὲ ὑπὸ Χείρωνος. οὗτος καὶ τὴν μάχαιραν αὐτοῦ ἐκζητή-

1. καὶ] ὃς Faber. ‖ 3. αὐτοῦ PD. ‖ 4. εὔρυτον libri. ‖ 7. αὐτοῦ PDR^cV. ‖ πολυδώρα lidem, vulg. Πολυδώρη. ‖ 13. μελία PDR^c. ‖ 19. ὃ vel ἃ ante Ἄκαστος excidisse vidit Emperius. ‖ 21. θήρας vulg., θῆρας Faber. ‖ θήραν DR^cM. ‖ 22. οὖν susp. Heynio. ‖ 23. εἰς πίω ἀντίθει PDR^cVM. ‖ ταὐτὰ Sommerus. ‖ 24. τεθηρακότες PDR^cVX, legebatur τεθηρευκότες. ‖ 26. δὲ addidi cum Heynio. ‖ 30. οὕτως· καὶ γὰρ τὴν Faber, ὃς καὶ τὴν — δίδωσιν αὐτῷ Galeus. ‖ post ἐκζητήσας vulg. additur καὶ ἐξευρὼν, om. libri. ‖

κληθεῖσαν, μίγνυται καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν. τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε. γαμεῖ δὲ Αἰακὸς Ἐνδηίδα τὴν Σκείρωνος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο Πηλεύς τε καὶ Τελαμών. Φερεκύδης δέ φησι
5 Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλὰ Ἀκταίου παῖδα καὶ Γλαύκης τῆς Κυχρέως. μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φύκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον. ἦν δὲ εὐσεβέστατος ἁπάντων Αἰακός. διὸ καὶ τὴν Ἑλλάδα κατεχούσης ἀφορίας
10 διὰ Πέλοπα, ὅτι Στυμφάλῳ τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν, τὴν Ἀρκαδίαν ἑλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν ἔκτεινεν αὐτὸν καὶ διέσπειρε μελεΐσας, χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται. ποιησαμένου δὲ εὐχὰς
15 Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται. τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακὸς καὶ τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει. διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ Τελαμὼν συγγυμναζόμενον αὐτὸν βαλὼν δίσκῳ κατὰ τῆς
20 κεφαλῆς κτείνει, καὶ κομίσας μετὰ Πηλέως κρύπτει κατά τινος ὕλης. φωραθέντος δὲ τοῦ φόνου φυγάδες ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται. 7. καὶ Τελαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν [Ποσειδῶνος καὶ] Σαλαμῖνος τῆς Ἀσωποῦ. κτείνας δὲ ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον, ἧς
25 αὐτὸς ἐβασίλευε, καὶ τελευτῶν ἅπαις τὴν βασιλείαν παραδίδωσι Τελαμῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀλκάθου τοῦ Πέλοπος. καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους, ἵνα αὐτῷ παῖς ἄρρην γένηται, φανέντος δὲ μετὰ τὰς εὐχὰς ἀετοῦ, τὸν γεν-

1. τεκνοῖ PDR^cV, vulg. γεννᾷ. ‖ 3. κείρωνος R^c, cett. σκείρωνος, scribebatur Χείρωνος ex Schol. Pind. Nem. 5, 12. ‖ αὐτοῦ D. ‖ 4. cf. Sturz. Pherec. fr. p. 78. ‖ 5. Ἄκτορος v. Ἄκτωνος Galeus, Ἀγκαίου Faber. ‖ 6. κυθρέως PV, κρυθρέως D, Κρηθέως vulg. ‖ 7. φόκην O, cett. φύλην, vulg. πηγὴν: Heynius φώκην. ‖ ἀλλαγμένην PD, ἠλλαγμένην V. ‖ 8. ἀνελθεῖν vulg. ‖ 10. στυφάλῳ PD. ‖ 11. δυνάμενον R^c ‖ 12. μελίσσας PDR^cVM, μελίσας pr. m. R^c. ‖ 17. Φώκῳ vulg. ‖ 23. κυγχρέα PD, κεγχρέα R^cX. ‖ Ποσειδῶνος καὶ om. PDR^c. ‖ 24. υἱὸν quod vulg. erat post Ἀσωποῦ om. libri. ‖ ἧς αὐτὸς] αὐτῆς Heynius, recepit Clavier. ‖ 26. ἀλκάνδρου libri. ‖

νηθέντα ἐκάλεσεν Αἴαντα, καὶ στρατευσάμενος ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ λαμβάνει γέρας Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.

XIII. 1. Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν Ἄκτορος ὑπ' αὐτοῦ καθαίρεται, καὶ λαμβάνει παρ' αὐτοῦ τὴν θυγατέρα Ἀντιγόνην καὶ τῆς χώρας τὴν τρίτην μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν ἔγημε Βῶρος ὁ Περιήρους. 2. ἐντεῦθεν δὲ ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν σὺν ἀκόντιον Εὐρυτίωνος τυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν μὲν οὖν ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ ὑπ' αὐτοῦ καθαίρεται. 3. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα πρὸς Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια, Ἀκάστου γυνή, Πηλέως ἐρασθεῖσα περὶ συνουσίας προσέπεμψεν αὐτῷ λόγους, μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ πέμψασα ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα ἀγχόνην ἀνάπτει· Πηλέως δὲ πρὸς Ἄκαστον καταψεύδεται, λέγουσα ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι. [ἃ] Ἄκαστος ἀκούσας κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. ἔνθεν ἀμίλλης περὶ θήρας γενομένης Πηλεὺς μὲν οὖν, ὧν ἐχειροῦτο θηρίων, τὰς γλώσσας τούτων ἐκτέμνων εἰς πῆραν ἐτίθει, οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρακότος τοῦ Πηλέως. ὁ δὲ τὰς γλώσσας παρασχόμενος ὅσας εἶχεν ἐκείνοις, τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος [δὲ] αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται, ὁ δὲ ἐξαναστὰς καὶ ζητῶν τὴν μάχαιραν ὑπὸ τῶν Κενταύρων καταληφθεὶς ἔμελλεν ἀπόλλυσθαι. σώζεται δὲ ὑπὸ Χείρωνος. οὗτος καὶ τὴν μάχαιραν αὐτοῦ ἐκζητή-

1. καὶ] ὃς Faber. || 3. αὐτοῦ PD. || 4. εὕρυτον libri. || 7. αὐτοῦ PDR^cV. || πολυδώρα lidem, vulg. Πολυδώρη. || 13. μελία PDR^c. || 19. ὃ vel ἃ ante Ἄκαστος excidisse vidit Emperius. || 21. θήρας vulg., θῆρας Faber. || θήραν DR^cM. || 22. οὖν susp. Heynio. || 23. εἰς πίω ἀνετίθει PDR^cVM. || ταὐτὰ Sommerus. || 24. τεθηρακότες PDR^cVX, legebatur τεθηρευκότες. || 26. δὲ addidi cum Heynio. || 30. οὕτως· καὶ γὰρ τὴν Faber, ὃς καὶ τὴν — δίδωσιν αὐτῷ Galeus. || post ἐκζητήσας vulg. additur καὶ ἐξευρών, om. libri. ||

σας δίδωσι. 4. γαμεῖ δὲ * ὁ Πηλεὺς Πολυδώραν * τὴν Περιήρους, ἐξ ἧς αὐτῷ γίνεται Μενέσθιος ἐπίκλην, ὁ Σπερχειοῦ τοῦ ποταμοῦ. 5. αὖθις δὲ γαμεῖ Θέτιν τὴν Νηρέως, περὶ ἧς τοῦ γάμου Ζεὺς καὶ Ποσειδῶν ἤρισαν. Θέμιδος δὲ θεσπιῳδούσης ἔσεσθαι τὸν ἐκ ταύτης γεννηθέντα κρείττονα τοῦ πατρὸς ἀπέσχοντο. ἔνιοι δέ φασι Διὸς ὁρμῶντος ἐπὶ τὴν ταύτης συνουσίαν εἰρηκέναι Προμηθέα, τὸν ἐκ ταύτης αὐτῷ γεννηθέντα οὐρανοῦ δυναστεύσειν. τινὲς δὲ λέγουσι μὴ βουληθῆναι Θέτιν Διὶ συνελθεῖν ὑπὸ Ἥρας τραφεῖσαν, Δία δὲ ὀργισθέντα θνητῷ ἐθέλειν αὐτὴν συνοικῆσαι. Χείρωνος μὲν οὖν ὑποθεμένου Πηλεῖ συλλαβεῖν καὶ κατέχειν αὐτὴν μεταμορφουμένην, ἐπιτηρήσας συναρπάζει. γινομένην δὲ ὁτὲ μὲν πῦρ, ὁτὲ δὲ ὕδωρ, ὁτὲ δὲ θηρίον, οὐ πρότερον ἀνῆκε πρὶν ἢ τὴν ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ Πηλίῳ· κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν. καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ ἵππους Βάλιόν τε καὶ Ξάνθον. ἀθάνατοι δὲ ἦσαν οὗτοι. 6. ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρυβοῦσα τῆς νυκτὸς ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον, μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε, καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρεΐδας ᾤχετο. κομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὁ

1. Πηλεὺς om. R^c. ‖ 2. αὐτῷ R^ab, cett. αὐτοῦ. ‖ μενέσθιος R^c VM, μένεσθος R^ab, cett. μὲν ἔθιος. ‖ 3. τοῦ om. VM. totus locus ab Aegio ex Homero concinnatus vulg. sic legitur: γαμεῖ δὲ, ὡς λέλεκται, Πηλεὺς Ἀντιγόνην τὴν Εὐρυτίωνος, ἐξ ἧς αὐτῷ γίνεται Πολυδώρη, ἣν ἔγημε Σπερχεῖος ὁ ποταμὸς ἐπίκλην Βῶρος ὁ Περιήρους υἱός, ἐξ ἧς Μενέσθιον τεκνοῖ. Heynio visa sunt haec ex mg. illata aut sic scribenda: γαμεῖ δὲ Πολυδώραν τὴν Πηλέως Βῶρος ὁ Περιήρους, ἐξ ἧς αὐτῷ γίνεται Μενέσθιος ἐπίκλην, ὁ Σπερχειοῦ τοῦ ποταμοῦ. ‖ Πηλεὺς quod legebatur ante γαμεῖ om. libri. ‖ 4. τέθιος V, vulg. Θέτιδος. ‖ 5. αὐτῆς Commelin., et sic iterum paullo post. ‖ 6. ἀποσχεῖν quidam Aegii libri, cett. ἀποσχόντα: Faber ἀποοχέσθαι. ‖ 8. δυναστεύειν vulg. ‖ 9. προτραπεῖσαν Faber. ‖ 10. ἐθέλειν αὐτῇ PDR^c, θέλειν αὐτῇ V, ἐθελῆσαι αὐτὴν vulg. ‖ συνοικίσαι v. d. in Misc. obss. 10. p. 347. ‖ 11. κατ' εὐχὴν PR^c, κατευχεῖ D. ‖ 12. γινομένην Emperius. ‖ 14. πηλείῳ V, μήλινον R^c. ‖ 17. post Ξάνθον quod ex Schol. Lycophr. 178 intulit Aegius, Ἥφαιστος δὲ μάχαιραν καὶ οἱ λοιποὶ ἕτερα, om. libri. ‖ 21. σπαίροντα libri. ‖

δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα· πρότερον μὲν ἦν ὄνομα αὐτῷ Λιγύρων, ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε. 7. Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις ἐπόρθησεν Ἰωλκόν, καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυναῖκα φονεύει, καὶ διελὼν τὰ μέλη διήγαγε δι' αὐτῆς τὸν στρατὸν εἰς τὴν πόλιν. 8. ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεύς, Κάλχαντος λέγοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι, Θέτις προειδυῖα ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ ὡς παρθένον παρέθετο *** κἀκεῖ τρεφόμενος τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ μίγνυται, καὶ γίνεται παῖς Πύρρος αὐτῷ ὁ κληθεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ Λυκομήδους ζητῶν Ἀχιλλέα σάλπιγγι χρησάμενος εὗρε. καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε. συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Ἀμύντορος. οὗτος ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακίδος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις βασιλέα κατέστησε Δολόπων. συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθενέλης τῆς Ἀκάστου ἢ Περιάπιδος τῆς Φέρητος ἤ, καθάπερ φησὶ Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος ἐν Ὀποῦντι διενεχθεὶς ἐν παιδιᾷ περὶ ἀστραγάλων παίζων παῖδα Κλυτώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε, καὶ φυγὼν μετὰ τοῦ πατρὸς παρὰ Πηλεῖ κατῴκει καὶ Ἀχιλλέως ἐρώμενος γίνεται.

2. μὲν accessit ex P. ‖ 6. τὰ addidit Heynius, qui voluit tamen τ. μ. αὐτῆς δ. τ. σ.: Faber δ' αὐτῶν, Coraes μεληδόν. ‖ 10. παρακατέθετο Faber: lacunae signum apposuit Heynius sic explendae ex Schol. Hom. Iliad. 19, 338. εἰς Σκῦρον παρὰ Λυκομήδει: Galeus εἰς τὸν Λυκομήδους παρθενῶνα ἐν τῇ Σκύρῳ, Lennep ad Phal. p. 179 κρύψασα ἐσθῆτι Λυκομήδει ὡς παρθένον παρέθετο. ‖ 12. αὐτῷ V, vulg. αὐτοῦ. ‖ 13. λυκομήδου PV: λυκομήδει Emperius. ‖ 16. καταψευσάμενος PR^c: αὐτοῦ addi voluit Valcken. diatr. p. 268. ‖ φθορᾷ vulg. ‖ φθίας libri: κλυτίας Aegius ex Schol. Lycophr. 421. ‖ 21. Πολυμήλου τοῦ vulg. ‖ 22. post Ὀποῦντι Aegius inseruit τῆς Λοκρίδος, om. libri. ‖ διενεγχθεὶς vulg. ‖ ἐν παιδιᾷ et παίζων ex mg. iliata credidit Heynius. ‖ 23. κλυτώνυμον PDR^{c}M, κλειτώνυμον O, legebatur κλυσώνυμον. ‖ ἄκων quod ante ἀπέκτεινε addidit Aegius om. libri. ‖ καὶ — γίνεται om. D: deinde vero nonnulla excidisse intellexit Heynius. ‖

* * *

XIV. 1. Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ' ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, 5 ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ 10 Πανδροσίῳ δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς κριτὰς ἔδωκεν, οὐχ ὡς εἰπόν τινες Κέκροπα καὶ Κραναόν, οὐδὲ Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα, καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος ὅτι πρῶτον τὴν 15 ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον [πεδίον] ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε. 2. Κέκροψ δὲ γήμας τὴν Ἀκταίου κόρην Ἄγραυλον παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε, θυγατέρας δὲ Ἄγραυλον, 20 Ἕρσην, Πάνδροσον. Ἀγραύλου μὲν οὖν καὶ Ἄρεος Ἀλκίππη γίνεται. ταύτην βιαζόμενος Ἁλιρρόθιος ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης ὑπὸ Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται δικαζόντων τῶν δώδεκα θεῶν Ἄρει, καὶ ἀπολύεται. 3. Ἕρσης δὲ καὶ Ἑρμοῦ Κέφαλος, οὗ 25 ἐρασθεῖσα Ἠὼς ἥρπασε, καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε Τιθωνόν, οὗ παῖς ἐγένετο Φαέθων· τούτου δὲ Ἀστύνοος, τοῦ δὲ Σάνδακος, ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν πόλιν

1. κέκροψ libri quidam. ‖ 4. καταβάλλεσθαι vulg. ‖ 8. καταλύσεως PDRc. ‖ 9. κέκροπι V. ‖ 11. Ἀθ. καὶ Ποσ. susp. Heynio. ‖ 12. δαναὸν P aliique, δάτιον O: ἢ Κραναὸν Heynius. ‖ ἐσίχθονα D, cett. ἐρεσίχθονα, legebatur Ἐρεχθία. ‖ 14. ὅτι P, vulg. ὅτε. ‖ 17. πεδίον om. PD atque alii. ‖ ἐπέκλυσε Ra, ἐπεκάλυσε D, ἐπεκάλυε Rc, libri Aegii ἐπεκάκωσε et ἐκάλυψε, vulg. ἐπεκάλυψε. ‖ 18. παῖδας vulg. ‖ 19. ἀγραύλην PRc. ‖ 20. ἕρσην et ἕρσην libri. ‖ ἀγραύλης PRcVM. ‖ ἄλκιππος PRcM. ‖ 24. ἄρει PDRcVOX, vulg. Ἄρη. ‖ 27. σάνδακος PRcVO, vulg. Σάνδοκος. ‖

ἔκτισε Κελένδεριν καὶ γήμας Φαρνάκην τὴν Μεγεσσάρου Κινύραν τὸν Συρίων βασιλέα ἐγέννησε. Κινύρας οὗτος ἐν Κύπρῳ παραγενόμενος σὺν λαῷ ἔκτισε Πάφον, γήμας δὲ ἐκεῖ Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων βασιλέως, Ὀξύπορον ἐγέννησε καὶ Ἄδωνιν, πρὸς δὲ τούτοις θυγατέρας 5 Ὀρσεδίκην, Λαογόρην καὶ Βραισίαν. αὗται δὲ διὰ μῆνιν Ἀφροδίτης ἀλλοτρίοις ἀνδράσι συνευναζόμεναι τὸν βίον ἐν Αἰγύπτῳ μετήλλαξαν. 4. Ἄδωνις δὲ ἔτι παῖς ὢν Ἀρτέμιδος χόλῳ πληγεὶς ἐν θήραις ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασις δέ φησι 10 Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδίτης (οὐ γὰρ αὐτὴν ἐτίμα) ἴσχει τοῦ πατρὸς ἔρωτα, καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνηνύασθη. ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος ξίφος ἐδίωκεν αὐτήν, ἡ δὲ περικαταλαμβανομένη θεοῖς 15 ηὔξατο ἀφανὴς γενέσθαι, θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ τοῦ δένδρου ῥαγέντος γεννηθῆναι τὸν λεγόμενον Ἄδωνιν, ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον κρύφα θεῶν εἰς πάρνακα κρύψασα Περσεφόνῃ παρίστατο. ἐκείνη δὲ ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. κρίσεως δὲ ἐπὶ Διὸς γενομένης εἰς μοίρας διῃρέθη ὁ ἐνιαυτός, καὶ μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρὰ Ἀφροδίτῃ. ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν. ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς ἀπέθανε. 25

5. Κέκροπος δὲ ἀποθανόντος Κραναὸς αὐτόχθων ὤν, ἐφ' οὗ τὸν ἐπὶ Δευκαλίωνος λέγεται κατακλυσμὸν γενέσθαι,

1. κελλένδριν DR. ‖ Φαρνάκην ex Hesychio Meurs. Cypr. 2, 9 et Munck. ad Anton. 34: θαινάκην P, vulg. Θανάκην. ‖ 2. Κινύραν om. libri. ‖ συρίων DRabcV, συρίων P, vulg. Ἀσσυρίων: Heynio susp. τὸν Σ. β. ‖ 9. θήρᾳ Heynius. ‖ cf. Marckscheffel Hes. fr. p. 296. ‖ 10. πανύασσις libri. ‖ 11. θόαντος vulg. ‖ σμίρναν P. ‖ 15. περὶ καταλαμβανομένη PV, παρακαταλαμβανομένη vulg.: προκαταλαμβανομένη Faber. ‖ 16. ἀφανὴς PDOX, ἀφανῆ vulg. ‖ 17. καλοῦσιν DRc. ‖ μύρναν DRc, σμύρνας V. ‖ 19. κάλλος DRc, vulg. κάλλους. ‖ κρύφα θεῶν ex mg. illata censuit Heynius. ‖ 21. τρεῖς quod vulg. est ante μοίρας om. libri. ‖ 22. ἑαυτοῦ PDV. ‖ 23. περὶ P. ‖ 26. αὐτοχθόνων DX, αὐτοχθόνων Rabc: βασιλεύει add. Faber. ‖

οὗτος γήμας ἐκ Λακεδαίμονος Πεδιάδα τὴν Μήνυτος ἐγέννησε Κραναὴν καὶ Κραναίχμην καὶ Ἀτθίδα, ἧς ἀποθανούσης ἔτι παρθένου τὴν χώραν Κραναὸς Ἀτθίδα προσηγόρευσε. 6. Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε. τοῦτον ἔνιοι μὲν Δευκαλίωνος, ἔνιοι δὲ αὐτόχθονα λέγουσι. βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλλει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθηνᾶς οὕτως. Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον ὅπλα κατασκευάσαι θέλουσα, ὁ δὲ ἐγκαταλελειμμένος ὑπὸ Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε τῆς Ἀθηνᾶς καὶ διώκειν αὐτὴν ἤρξατο, ἡ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλός) ἐπειρᾶτο συνελθεῖν, ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἠνέσχετο. ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς, ἐκείνη δὲ μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔριψε. φευγούσης δὲ αὐτῆς καὶ τῆς γονῆς εἰς γῆν πεσούσης Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν ἀθάνατον θέλουσα ποιῆσαι, καὶ καταθεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα, καὶ, ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔριψαν. ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν Νηίδα νύμφην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖς Πανδίων ἐγεννήθη. 7. Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν

1. ἐκ Λακ. susp. Heynio. ‖ μήνυτος libri, vulg. Μήνητος. ‖ 5. αὐτόχθονα O et alii, vulg. αὐτόχθονος. ‖ 6. ἐπὶ δώδεκα PDR^{abc}, vulg. ἐπὶ δώδεκα ἔτη: cf. Pierson ad Moer. p. 112. ‖ 7. Ἡφαίστης τῆς Κραναῆς vulg.: τοῦ post τῆς add. Faber. ‖ 10. ἐγκαταλελεγμένος PDR^{c}VX. ‖ 11. ὡς ἐγγὺς P. ‖ 15. τὸ vulg., τὴν γονὴν Faber. ‖ 19. ἐπικατέθετο P. ‖ 20. δὲ libri, vulg. om. ‖ 21. περιεσπειραμένον ex Heynii coni. Clavier. ‖ 22. ὑπ' PR^{c}V, vulg. ἀπ'. ‖ 24. αὐτὰς PR^{c}V, vulg. αὐτὰς. ‖ 27. πραξιθέαν cum σ super ξ P, πρασιθέαν DR^{c}VMO, legebatur Παοιθέαν. ‖ 28. ἧς αὐτῆς PDR^{c}V, ἧς αὐτῇ MO: ἧς αὐτῷ Galeus, erat ἧς. ‖

τῷ τεμένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ' οὗ Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ Δήμητρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο, Διόνυσον δὲ Ἰκάριος, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου. καὶ τὰ περὶ τὴν οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων 5 χάριτας ἀνθρώποις ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἐλκύσαντες πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν. μεθ' ἡμέραν δὲ νοήσαντες ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ τῇ θυγατρὶ τὸν πατέρα μαστευούσῃ κύων συνήθης ὄνομα Μαίρα, ἣ τῷ 10 Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε, κἀκείνη κατοδυρομένη τὸν πατέρα ἑαυτὴν ἀνήρτησε. 8. Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελφὴν θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν, παῖδας δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ ἐξαναστάντος πρὸς Λάβδακον περὶ γῆς ὅρων ἐπε- 15 καλέσατο βοηθὸν ἐκ Θρᾴκης Τηρέα τὸν Ἄρεος, καὶ τὸν πόλεμον σὺν αὐτῷ κατορθώσας ἔδωκε Τηρεῖ πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα Πρόκνην. ὁ δὲ ἐκ ταύτης γεννήσας παῖδα Ἴτυν καὶ Φιλομήλας ἐρασθεὶς ἔφθειρε καὶ ταύτην, εἰπὼν τεθνᾶναι Πρόκνην, κρύπτων ἐπὶ τῶν χωρίων. αὖθις δὲ γή- 20 μας Φιλομήλαν συνηυνάζετο καὶ τὴν γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ ὑφήνασα ἐν πέπλῳ γράμματα καὶ διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφοράς. ἡ δὲ ἀναζητήσασα τὴν ἀδελφὴν κτείνει τὸν παῖδα Ἴτυν [καὶ] καθεψήσασα Τηρεῖ δεῖπνον ἀγνοοῦντι προτίθησι, καὶ μετὰ τῆς ἀδελφῆς διαταχέων ἔφυγε. 25 Τηρεὺς δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν ἐδίωκεν, αἱ δὲ ἐν Δαυλίᾳ τῆς Φωκίδος γενόμεναι περικατάληπτοι θεοῖς εὔχον-

1. τῷ α τῷ τεμένει libri: ἐν τῷ αὐτῷ τεμένει Scaliger, ἐν τῷ τῆς Ἀθηνᾶς τεμένει Faber. ‖ ἀφ' PDR^cM. ‖ 3. εἰς τ. Ἐλ. susp. Heynio. ‖ 7. δι' ἡδονὴν ἀφειδῶς PDV, ἀφειδῶς δι' ἡδονὴν vulg. ‖ ἑλκύσαντες R^cVO, ἐλαύσαντες P (?), vulg. ἐκλύσαντες. ‖ 9. νήφοντες Faber, νήψαντες Valckenarius. ‖ 15. λαύδακον DR^cM. ‖ 16. ἄρεος P: ἄρεως Aegius. ‖ 19. φιλομήλας PDR^cV, vulg. Φιλομήλης. ‖ εἰπὼν γὰρ Heynius, qui et καὶ κρ. cum Fabro, transpositis tamen καὶ κρύπτων ἐπὶ τῶν χωρίων post συνηυνάζετο, et omisso καὶ ante τὴν γλ. ‖ 21. συνευνάζετο V. ‖ 22. καὶ deleri voluit Faber. ‖ 24. καὶ inseruit Heynius. ‖ 25. παρατίθησι Faber. ‖ 26. πελέκην ἔδωκεν V. ‖ 27. περικατάληπτοι PDR^cV, παρακατάληπτος X et in mg. V, sed ἐπικατάληπτοι ex P notat Galeus, vulg. προκατάληπτοι. ‖

οὗτος γήμας ἐκ Λακεδαίμονος Πεδιάδα τὴν Μήνυτος ἐγέννησε Κραναὴν καὶ Κραναίχμην καὶ Ἀτθίδα, ἧς ἀποθανούσης ἔτι παρθένου τὴν χώραν Κραναὸς Ἀτθίδα προσηγόρευσε. 6. Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε. τοῦτον ἔνιοι μὲν Δευκαλίωνος, ἔνιοι δὲ αὐτόχθονα λέγουσι. βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλλει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθηνᾶς οὕτως. Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον ὅπλα κατασκευάσαι θέλουσα, ὁ δὲ ἐγκαταλελειμμένος ὑπὸ Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε τῆς Ἀθηνᾶς καὶ διώκειν αὐτὴν ἤρξατο, ἡ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλός) ἐπειρᾶτο συνελθεῖν, ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἠνέσχετο. ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς, ἐκείνη δὲ μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔριψε. φευγούσης δὲ αὐτῆς καὶ τῆς γονῆς εἰς γῆν πεσούσης Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν ἀθάνατον θέλουσα ποιῆσαι, καὶ καταθεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα, καὶ, ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔριψαν. ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν Νηίδα νύμφην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖς Πανδίων ἐγεννήθη. 7. Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν

1. ἐκ Λακ. susp. Heynio. ‖ μήνυτος libri, vulg. Μήνητος. ‖ 5. αὐτόχθονα O et alii, vulg. αὐτόχθονος. ‖ 6. ἐπὶ δώδεκα PDR^{abc}, vulg. ἐπὶ δώδεκα ἔτη: cf. Pierson ad Moer. p. 112. ‖ 7. Ἡφαίστης τῆς Κραναῆς vulg.: τοῦ post τῆς add. Faber. ‖ 10. ἐγκαταλελεγμένος PDR^{c}VX. ‖ 11. ὡς ἐγγὺς P. ‖ 15. τὸ vulg., τὴν γονὴν Faber. ‖ 19. ἐπικατέθετο P. ‖ 20. δὲ libri, vulg. om. ‖ 21. περιεσπειραμένον ex Heynii coni. Clavier. ‖ 22. ὑπ' PR^{c}V, vulg. ἀπ'. ‖ 24. αὐτὰς PR^{c}V, vulg. αὐτάς. ‖ 27. πραξιθέαν cum ὅ super ξ P, πρασιθέαν DR^{c}VMO, legebatur Πασιθέαν. ‖ 28. ἧς αὐτῆς PDR^{c}V, ἧς αὐτῇ MO: ἧς αὐτῷ Galeus, erat ἧς. ‖

τῷ τεμένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ' οὗ Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ Δήμητρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο, Διόνυσον δὲ Ἰκάριος, καὶ λαμβάνει παρ' αὐτοῦ κλῆμα ἀμπέλου. καὶ τὰ περὶ τὴν οἰνοποιίαν μανθάνων καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων χάριτας ἀνθρώποις ἀφικνεῖται πρός τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν. μεθ' ἡμέραν δὲ νοήσαντες ἔθαψαν αὐτόν. Ἠριγόνη δὲ τῇ θυγατρὶ τὸν πατέρα μαστευούσῃ κύων συνήθης ὄνομα Μαίρα, ἣ τῷ Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε, κἀκείνη κατοδυρομένη τὸν πατέρα ἑαυτὴν ἀνήρτησε. 8. Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελφὴν θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν, παῖδας δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ ἐξαναστάντος πρὸς Λάβδακον περὶ γῆς ὅρων ἐπεκαλέσατο βοηθὸν ἐκ Θρᾴκης Τηρέα τὸν Ἄρεος, καὶ τὸν πόλεμον σὺν αὐτῷ κατορθώσας ἔδωκε Τηρεῖ πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα Πρόκνην. ὁ δὲ ἐκ ταύτης γεννήσας παῖδα Ἴτυν καὶ Φιλομήλας ἐρασθεὶς ἔφθειρε καὶ ταύτην, εἰπὼν τεθνᾶναι Πρόκνην, κρύπτων ἐπὶ τῶν χωρίων. αὖθις δὲ γήμας Φιλομήλαν συνηυνάζετο καὶ τὴν γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ ὑφήνασα ἐν πέπλῳ γράμματα καὶ διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφοράς. ἡ δὲ ἀναζητήσασα τὴν ἀδελφὴν κτείνει τὸν παῖδα Ἴτυν [καὶ] καθεψήσασα Τηρεῖ δεῖπνον ἀγνοοῦντι προτίθησι, καὶ μετὰ τῆς ἀδελφῆς διαταχέων ἔφυγε. Τηρεὺς δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν ἐδίωκεν, αἱ δὲ ἐν Δαυλίᾳ τῆς Φωκίδος γενόμεναι περικατάληπτοι θεοῖς εὔχον-

1. τῷ α τῷ τεμένει libri: ἐν τῷ αὐτῷ τεμένει Scaliger, ἐν τῷ τῆς Ἀθηνᾶς τεμένει Faber. ‖ ἀφ' PDR^cM. ‖ 3. εἰς τ. Ἐλ. susp. Heynio. ‖ 7. δι' ἡδονὴν ἀφειδῶς PDV, ἀφειδῶς δι' ἡδονὴν vulg. ‖ ἑλκύσαντες R^cVO, ἐλαύσαντες P (?), vulg. ἐκλύσαντες. ‖ 9. νήφοντες Faber, νήψαντες Valckenarius. ‖ 15. λαύδακον DR^cM. ‖ 16. ἄρεος P: ἄρεως Aeglus. ‖ 19. φιλομήλας PDR^cV, vulg. Φιλομήλης. ‖ εἰπὼν γὰρ Heynius, qui et καὶ κρ. cum Fabro, transpositis tamen καὶ κρύπτων ἐπὶ τῶν χωρίων post συνηυνάζετο, et omisso καὶ ante τὴν γλ. ‖ 21. συνευνάζετο V. ‖ 22. καὶ deleri voluit Faber. ‖ 24. καὶ inseruit Heynius. ‖ 25. παρατίθησι Faber. ‖ 26. πελέκην ἔδωκεν V. ‖ 27. περικατάληπτοι PDR^cV, παρακατάληπτος X et in mg. V, sed ἐπικατάληπτοι ex P notat Galeus, vulg. προκατάληπτοι. ‖

ται ἀπορνεωθῆναι. καὶ Πρόκνη μὲν γίνεται ἀηδών, Φιλομήλα δὲ χελιδών. ἀπορνεοῦται δὲ καὶ Τηρεὺς καὶ γίνεται ἔποψ.

XV. 1. Πανδίονος δὲ ἀποθανόντος οἱ παῖδες τὰ πα-
5 τρῷα ἐμερίσαντο, καὶ τὴν βασιλείαν Ἐρεχθεὺς λαμβάνει, τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ Ἐριχθονίου Βούτης. γήμας δὲ Ἐρεχθεὺς Πραξιθέαν τὴν Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ ἔσχε παῖδας Κέκροπα, Πάνδωρον, Μητίονα, θυγατέρας δὲ Πρόκριν, Κρέουσαν, Χθο-
10 νίαν, Ὠρείθυιαν, ἣν ἥρπασε Βορέας. Χθονίαν μὲν οὖν ἔγημε Βούτης, Κρέουσαν δὲ Ξοῦθος, Πρόκριν δὲ Κέφαλος ὁ Δηιόνος. ἡ δὲ λαβοῦσα χρυσοῦν στέφανον Πτελέοντι συνευνάζεται, καὶ φωραθεῖσα ὑπὸ Κεφάλου πρὸς Μίνωα φεύγει. ὁ δὲ αὐτῆς ἐρᾷ καὶ πείθει συνελθεῖν. εἰ δέ γε συνέλθοι
15 γυνὴ Μίνωι, ἀδύνατον ἦν αὐτὴν σωθῆναι· Πασιφάη γάρ, ἐπειδὴ πολλαῖς Μίνως συνηυνάζετο γυναιξίν, ἐφαρμάκευσεν αὐτόν, καὶ ὁπότε ἄλλῃ συνηυνάζετο, εἰς τὰ ἄρθρα ἐφίει θηρία, καὶ οὕτως ἀπώλλυντο. ἔχοντος οὖν αὐτοῦ κύνα ταχὺν ἀκόντιόν τε ἰθυβόλον, ἐπὶ τούτοις Πρόκρις δοῦσα τὴν Κιρ-
20 καίαν πιεῖν ῥίζαν πρὸς τὸ μηδὲν βλάψαι συνευνάζεται. δείσασα δὲ αὖθις τὴν Μίνωος γυναῖκα ἧκεν εἰς Ἀθήνας, καὶ διαλλαγεῖσα Κεφάλῳ μετὰ τούτου παραγίνεται ἐπὶ θήραν· ἦν γὰρ θηρευτική. διωκούσης γὰρ αὐτῆς ἐν τῇ λόχμῃ ἀγνοήσας Κέφαλος ἀκοντίζει καὶ τυχὼν ἀποκτείνει Πρόκριν, καὶ
25 κριθεὶς ἐν Ἀρείῳ πάγῳ φυγὴν ἀΐδιον καταδικάζεται. 2. Ὠρείθυιαν δὲ περῶσαν ἐπὶ Ἰλισσοῦ ποταμοῦ ἁρπάσας Βο-

2. ἀπορνεοῦται libri, vulg. ἀπωρνεοῦται. ‖ 5. Ἐρεχθέως Heynius. ‖ πρασιθέαν V. ‖ 8. κεφίσου PR^{c}, κυφίσου D, κυφισοῦ V. ‖ 10. ὠρθείαν P, ὠρειθείαν DR^{c}V, vulg. Ὠρειθεῖαν. ‖ 11. δηιόνος PDR^{c}VM omisso ὁ, vulg. Δηιονέως. ‖ 12. πτελέοντι R^{c}, τελέοντι V, παντελέοντι M. ‖ 14. συνέλθοι P. ‖ 16. συνευνάζετο A. ‖ 17. ἀφίει Heynius. ‖ 18. ἀπώλοντο P. ‖ οὖν Κεφάλου αὐτοῦ ex Hygino Aegius. ‖ 19. τε om. libri. ‖ ἴδουσα libri: ἰδοῦσα Aegius, qui add. τὸν ἄνδρα. ‖ 20. πίει Aegius, qui et καὶ add. ante συνευν. ‖ 22. ἐπὶ PDR^{c}O, vulg. εἰς. ‖ 23. διωκούσης γὰρ αὐτῆς PDR^{abc}VM, legebatur διώκουσαν γὰρ αὐτὴν; pro γὰρ Aegius et Faber οὖν vel δὲ. ‖ λογχμῇ O, cett. λόγχῃ. ‖ 24. τυχὼν libri, vulg. τυχὸν. ‖ 25. φυγὴν PDR^{c}VO, vulg. φυγεῖν. ‖ 26. παίζουσαν v. d. in misc. obss. nov. 4. p. 462. ‖ ἰλισσοῦ PDV. ‖

ρέας συνῆλθεν, ἡ δὲ γεννᾷ θυγατέρας μὲν Κλεοπάτραν καὶ Χιόνην, υἱοὺς δὲ Ζήτην καὶ Κάλαϊν πτερωτούς, οἳ πλέοντες σὺν Ἰάσονι καὶ τὰς Ἁρπυίας διώκοντες ἀπέθανον. ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ Τῆνον ὑφ' Ἡρακλέους ἀπώλοντο. 3. Κλεοπάτραν δὲ ἔγημε Φινεύς, ᾧ γίνονται παῖδες ἐξ αὐτῆς Πλήξιππος καὶ Πανδίων. ἔχων δὲ τούτους ἐκ Κλεοπάτρας παῖδας Ἰδαίαν ἐγάμει τὴν Δαρδάνου. κἀκείνη τῶν προγόνων πρὸς Φινέα φθορὰν καταψεύδεται, καὶ πιστεύσας Φινεὺς ἀμφοτέρους τυφλοῖ. παραπλέοντες δὲ οἱ Ἀργοναῦται σὺν Βορέᾳ κολάζονται αὐτόν. 4. Χιόνη δὲ Ποσειδῶνι μίγνυται, ἡ δὲ κρύφα τοῦ πατρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής, εἰς τὸν βυθὸν ῥίπτει τὸ παιδίον. Ποσειδῶν δὲ ἀνελόμενος εἰς Αἰθιοπίαν κομίζει, καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν αὐτοῦ θυγατρὶ καὶ Ἀμφιτρίτῃ. ὡς δὲ ἐτελειώθη ἔνδον ἐν Βενθεσικύμης, ὁ ἀνὴρ τὴν ἑτέραν αὐτῷ τῶν θυγατέρων δίδωσιν. ὁ δὲ καὶ τὴν ἀδελφὴν τῆς γαμηθείσης ἐπεχείρησε βιάζεσθαι, καὶ διὰ τοῦτο φυγαδευθεὶς μετὰ Ἰσμάρου τοῦ παιδὸς πρὸς Τεγύριον ἦκε, Θρᾳκῶν βασιλέα, ὃς αὐτοῦ τῷ παιδὶ τὴν θυγατέρα συνῴκισεν. ἐπιβουλεύων δὲ ὕστερον Τεγυρίῳ καταφανὴς γίνεται καὶ πρὸς Ἐλευσινίους φεύγει καὶ φιλίαν ποιεῖται πρὸς αὐτούς. αὖθις δὲ Ἰσμάρου τελευτήσαντος μεταπεμφθεὶς ὑπὸ Τεγυρίου παραγίνεται, καὶ τὴν προτοῦ μάχην διαλυσάμενος τὴν βασιλείαν παρέλαβε. καὶ πολέμου ἐνστάντος πρὸς Ἀθηναίους τοῖς Ἐλευσινίοις, ἐπικληθεὶς ὑπὸ Ἐλευσινίων μετὰ πολλῆς συνεμάχει Θρᾳκῶν δυνάμεως. Ἐρεχθεῖ δὲ ὑπὲρ Ἀθηναίων νίκης χρωμένῳ ἔχρησεν ὁ θεός, κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν τῶν θυγατέρων σφάξῃ. καὶ σφάξαντος αὐτοῦ τὴν νεωτά-

1. καὶ ante Χιόνην om. PR^bc. ‖ 4. Sturz. Acus. fr. p. 219. ‖ παρὰ R^cV. ‖ Αἶνον Galeus. ‖ 5. cf. Schol. Soph. Ant. 980. ‖ παῖδες αὐτοῦ PR^cV, παῖδες αὐτῆς M. ‖ 7. ἐγάμει VM, ἔγαμε D, vulg. ἐγάμησεν. ‖ 9. σὺν βορίᾳ V, σὺν βορέα PDR^c, vulg. σὺν Βορεάδαις. ‖ 12. καταφανὴς PR^c, legebatur καταφανές. ‖ 14. θυγατρίτῃ P. ‖ Ἀμφιτρίτῃ vulg. ‖ 15. ἔνδον ἐν βένθεσι κύμης ἀνὴρ τὴν P, idem R^c om. ἐν, vulg. ὁ Βενθεσικύμης ἀνὴρ. ‖ αὐτοῦ vulg. ‖ 16. ἐπεχείριζε V. ‖ 18. γεγύριον D, τερύριον M, τενύριον O, γεφύριον X. ‖ 19. συνῴκησε vulg. ‖ 20. αὐτὸν P. ‖ 23. πρὸ τοῦ PDMV, πρὸς αὐτοῦ et in mg. πρὸ τοῦ R^c, πρὸς τούτου vulg.: πρὸς τούτους Faber, πρὸς αὐτὸν Clavier. ‖ 24. πολέμου δὲ Heynius. ‖ καὶ Ἐλευσινίους vulg. ‖ 28. σφάξαντος δὲ Heynius. ‖

τὴν καὶ αἱ λοιπαὶ ἑαυτὰς κατέσφαξαν· ἐπεποίηντο γαρ, ως ἔφασάν τινες, συνωμοσίαν ἀλλήλαις συναπολέσθαι. γενομένης δὲ μετὰ σφαγὴν τῆς μάχης Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔμολπον. 5. *Ποσειδῶνος δὲ καὶ τὸν Ἐρεχθέα καὶ τὴν οἰκίαν*
5 *αὐτοῦ καταλύσαντος Κέκροψ ὁ πρεσβύτατος τῶν Ἐρεχθέως παίδων ἐβασίλευσεν, ὃς γήμας Μητιάδουσαν τὴν Εὐπαλάμου παῖδα ἐτέκνωσε Πανδίονα. οὗτος μετὰ Κέκροπα βασιλεύων ὑπὸ τῶν Μητίονος υἱῶν κατὰ στάσιν ἐξεβλήθη. καὶ παραγενόμενος εἰς Μέγαρα πρὸς Πύλαν τὴν ἐκείνου θυγατέρα*
10 *Πελίαν γαμεῖ. αὖθις [δὲ] καὶ τῆς πόλεως βασιλεὺς ὑπ' αὐτῆς καθίσταται· κτείνας γὰρ Πύλας τὸν τοῦ πατρὸς ἀδελφὸν Βίαντα τὴν βασιλείαν δίδωσι Πανδίονι, αὐτὸς δὲ εἰς Πελοπόννησον σὺν λαῷ παραγενόμενος κτίζει πόλιν Πύλον. Πανδίονι δὲ ἐν Μεγάροις ὄντι παῖδες ἐγένοντο Αἰγεύς, Πάλ-*
15 *λας, Νῖσος, Λύκος. ἔνιοι δὲ Αἰγέα Σκυρίου εἶναι λέγουσιν, ὑποβληθῆναι δὲ ὑπὸ Πανδίονος.* 6. *μετὰ δὲ τὴν Πανδίονος τελευτὴν οἱ παῖδες αὐτοῦ στρατεύσαντες ἐπ' Ἀθήνας ἐξέβαλον τοὺς Μητιονίδας καὶ τὴν ἀρχὴν τετραχῇ διεῖλον. εἶχε δὲ τὸ πᾶν κράτος Αἰγεύς. γαμεῖ δὲ πρῶτον μὲν Μήταν τὴν*
20 *Ὄπλητος, δευτέραν δὲ Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγένετο παῖς αὐτῷ, δεδοικὼς τοὺς ἀδελφοὺς εἰς Πυθίαν ἦλθε καὶ περὶ παίδων γονῆς ἐμαντεύετο. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ·*

ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν,
μὴ λύσῃς πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

25 7. *ἀπορῶν δὲ τὸν χρησμὸν ἀνῄει πάλιν εἰς Ἀθήνας. καὶ Τροιζῆνα διοδεύων ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος, ὃς τὸν χρησμὸν συνεὶς, μεθύσας αὐτὸν τῇ θυγατρὶ συγκατέκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλησίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ, ἐὰν ἄρρενα γεννήσῃ, τρέφειν*

2. ἀλλήλοις PD. ‖ 4. καὶ prius deleri voluit Heynius. ‖ 6. μετιάδουσαν R^c. ‖ 7. Κέκροπος vulg. ‖ 8. μητίωνος vel μετίωνος libri. ‖ 10. Πυλίαν aut Πελιάδα Faber. ‖ δὲ addidit Heynius. ‖ ὑπ' αὐτοῦ idem, sed ut glossema delendum censuit. ‖ 15. νίσης libri. ‖ συνρίου libri. ‖ 19. μὴ τὰν τὴν ὁ πλῆτος D. ‖ 21. Πυθὼ exspectabat Heynius. ‖ 22. ὁ δὲ θεὸς libri, vulg. ὁ δ' ὁ θεός: Faber ὧδ' ὁ θεός. ‖ 23. πόδα μέγα libri, edebatur ποδάονα: Muret. var. lect. 3, 14. τὸν προὔχοντ' ἀσκοῦ ποδεῶν', ὦ φίλτατε λαῶν. sed cf. Plat. Thes. c. 3. ‖ 25. δὲ om. PR^c. ‖

καὶ τίνος ἔσται μὴ λέγειν, ἀπέλιπε [δὲ] ὑπό τινα πέτραν μάχαιραν καὶ πέδιλα, εἰπών, ὅταν ὁ παῖς δύνηται τὴν πέτραν ἀποκυλίσας ἀνελέσθαι ταῦτα, τότε μετ' αὐτῶν αὐτὸν ἀποπέμπειν. αὐτὸς δὲ ἧκεν εἰς Ἀθήνας καὶ τὸν τῶν Παναθηναίων ἀγῶνα ἐπετέλει, ἐν ᾧ ὁ Μίνως παῖς Ἀνδρόγεως ἐνίκησε πάντας. τοῦτον Αἰγεὺς ἐπὶ Μαραθώνιον ἔπεμψε ταῦρον, ὑφ' οὗ διεφθάρη. ἔνιοι δὲ αὐτὸν λέγουσι πορευόμενον εἰς Θήβας ἐπὶ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀγωνιστῶν ἐνεδρευθέντα διὰ φθόνον ἀπολέσθαι. Μίνως δὲ ἀγγελθέντος αὐτῷ τοῦ θανάτου θύων ἐν Πάρῳ ταῖς Χάρισι τὸν μὲν στέφανον ἀπὸ τῆς κεφαλῆς ἔρριψε καὶ τὸν αὐλὸν κατέσχε, καὶ τὴν θυσίαν οὐδὲν ἧττον ἐπετέλεσεν. ὅθεν ἔτι καὶ δεῦρο χωρὶς αὐλῶν καὶ στεφάνων ἐν Πάρῳ θύουσι ταῖς Χάρισι. 8. μετ' οὐ πολὺ δὲ θαλασσοκρατῶν ἐπολέμησε στόλῳ τὰς Ἀθήνας, καὶ Μέγαρα εἷλε Νίσου βασιλεύοντος τοῦ Πανδίονος, καὶ Μεγαρέα τὸν Ἱππομένους ἐξ Ὀγχηστοῦ Νίσῳ βοηθὸν ἐλθόντα ἀπέκτεινεν. ἀπέθανε δὲ καὶ Νῖσος διὰ θυγατρὸς προδοσίαν· ἔχοντι γὰρ αὐτῷ πορφυρέαν ἐν μέσῃ τῇ κεφαλῇ τρίχα, ταύτης ἀφαιρεθείσης τελευτᾷ. ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα ἐρασθεῖσα Μίνωος ἐξεῖλε τὴν τρίχα. Μίνως δὲ Μεγάρων κρατήσας καὶ τὴν κόρην τῆς πρύμνης τῶν ποδῶν ἐκδήσας ὑποβρύχιον ἐποίησε. χρονιζομένου δὲ τοῦ πολέμου μὴ δυνάμενος ἑλεῖν Ἀθήνας εὔχεται Διὶ παρ' Ἀθηναίων λαβεῖν δίκας, γενομένου δὲ τῇ πόλει λιμοῦ τε καὶ λοιμοῦ τὸ μὲν πρῶτον κατὰ λόγιον Ἀθηναῖοι παλαιὸν τὰς Ὑακίνθου κόρας Ἀνθηίδα, Αἰγληίδα, Ἡνθηνίδα, Λυταίαν, Ὀρθαίαν, ἐπὶ τὸν Γεραίστου

1. ἐστὶ Faber. ‖ ἀπέλειπε D. ‖ δὲ deleri voluit Faber. ‖ τινα πέτραν PR^{ab}V, τινα πέτρα D, τινι πέτρᾳ vulg. ‖ 2. δύναται P. ‖ 5. ἀπετέλει P. ‖ 6. Αἰγεὺς Pierson veris. p. 252: vulg. ὁ Ζεύς. ‖ 8. Θήβας Meurs. d. reg. Att. 3, 2: vulg. Ἀθήνας. ‖ 9. ἀγγελθέντος αὐτῷ Wyttenbach. ad Plut. Mor. 2. p. 849, ἐπαγγελθέντος Heynius: legebatur ἐπελθόντος αὐτοῦ. ‖ 11. τὴν δὲ Heynius. ‖ 12. ἥψον ἐπετέλεσαν D. ‖ 13. θύουσιν ἐν πάρῳ V. ‖ 14. ταῖς Ἀθήναις Faber. ‖ 15. τῶν πανδ. libri. ‖ 16. ὀχετοῦ DR^{c}. ‖ 18. τρίχα μοῖρα ἦν ταύτης Emperius. ‖ 19. ἡ δὲ — τρίχα susp. Heynio, transposuit Sommerus hoc modo: ἔχοντι γὰρ αὐτῷ — τρίχα ἡ θυγάτηρ — ἐξεῖλε τὴν τρίχα· ταύτης δὲ ἀφαιρεθείσης τελευτᾷ. ‖ 20. Μίνως] μόνον libri. ‖ 21. ἐκδύσας PR^{c}. ‖ 24. λιμοῦ τε καὶ λοιμοῦ libri, vulg. λοιμοῦ τε καὶ λιμοῦ. ‖ 25. ἀθηναίοις PDR^{c}. ‖ 26. ἀγλυηίδα PR^{c}, αἰγλυηίδα DV. ‖ ἠνθηνίδα ex Ἀνθηίδα corruptum censuit Galeus. ‖ Λουσίαν Meurs. lect. att. 4,

τοῦ Κύκλωπος τάφον κατέσφαξαν. τούτων δὲ ὁ πατὴρ Ὑάκινθος ἐλθὼν ἐκ Λακεδαίμονος Ἀθήνας κατῴκει. ὡς δὲ οὐδὲν ὄφελος ἦν τοῦτο, ἐχρῶντο περὶ ἀπαλλαγῆς. ὁ δὲ θεὸς ἀνεῖπεν αὐτοῖς, Μίνωι διδόναι δίκας ἃς ἂν αὐτὸς αἱρῆται. πέμ-
5 ψαντες οὖν πρὸς Μίνωα ἐπέτρεπον αἰτεῖν δίκας. Μίνως δὲ ἐκέλευσεν αὐτοῖς κούρους ἑπτὰ καὶ κόρας τὰς ἴσας χωρὶς ὅπλων πέμπειν τῷ Μινωταύρῳ βοράν. ἦν δὲ οὗτος ἐν λαβυρίνθῳ καθειργμένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι· πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπέ-
10 κλειε. κατεσκευάκει δὲ αὐτὸν Δαίδαλος ὁ Εὐπαλάμου παῖς τοῦ Μητίονος καὶ Ἀλκίππης. οὗτος ἦν ἀρχιτέκτων ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. 9. οὗτος ἐξ Ἀθηνῶν ἔφυγεν ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελφῆς Πέρδικος υἱὸν Τάλω, μαθητὴν ὄντα, δείσας μὴ διὰ τὴν εὐφυίαν αὐτὸν
15 ὑπερβάλῃ· σιαγόνα γὰρ ὄφεως εὑρὼν ξύλον λεπτὸν ἔπρισε. φωραθέντος δὲ τοῦ νεκροῦ κριθεὶς ἐν Ἀρείῳ πάγῳ, καταδικασθεὶς πρὸς Μίνωα ἔφυγε, κἀκεῖ Πασιφάης ἐρασθείσης τοῦ Ποσειδῶνος ταύρου συνήργησε τεχνησάμενος ξυλίνην βοῦν, καὶ τὸν λαβύρινθον κατεσκεύασεν, εἰς ὃν κατὰ ἔτος
20 Ἀθηναῖοι κούρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν ἔπεμπον.

XVI. 1. Θησεὺς δὲ γεννηθεὶς ἐξ Αἴθρας Αἰγεῖ παῖς, ὡς ἐγενήθη τέλειος, ἀπωσάμενος τὴν πέτραν τὰ πέδιλα καὶ τὴν μάχαιραν ἀναιρεῖται, καὶ πεζὸς ἠπείγετο εἰς τὰς Ἀθήνας.
25 φρουρουμένης δὲ ὑπὸ ἀνδρῶν κακούργων τῆς ὁδοῦ ἡμέρωσε. πρῶτον μὲν οὖν Περιφήτην τὸν Ἡφαίστου καὶ Ἀντικλείας,

18 ex Steph. B. ‖ ὀρθαίαν add. PDR^{c}VMO, vulg. om. ‖ γερέστου DR^{c}, γεράστου V, γερέκινθος P versu uno omisso. ‖ 3. ἀνεῖπεν Koen. ad Greg. p. 235 et Verheyk ad Anton. p. 10, ἀνεῖλεν Faber: vulg. ἀπεῖπεν. ‖ 4. αἱρεῖται legebatur. ‖ 6. αὐτοῖς εἰ' κούρους ἑπτὰ libri. ‖ 8. εἰς ὃν Heynius. ‖ 9. ἀπέκλειεν, ὃς κατεσκευάκει αὐτὸν Δ. Heynius. ‖ 10. παῖς PDR^{abc}VMX, παιδὸς vulg. ‖ 11. μητίωνος vulg. ‖ ἄλκιππος M. ‖ 13. Περδίκας Faber, ex mg. illatum credidit Heynius aut scrib. τ. τ. ἀδ. καὶ Τάλω υἱὸν Πέρδικα. ‖ 14. ἀτάλω libri, Τάλῳ vulg.: Τάλαον vel Τάλων Aegius. ‖ 15. ὑπερβάλῃ libri, ὑπερβάλλῃ vulg. ‖ ἔτρισε V ‖ 16. καὶ καταδ. Heynius. ‖ 18 συνήρπασε vulg.: συνήργασε Commelin., συνήντησε Canterus, συνέπηξε Faber, συνείργησε Galeus. ‖ 20. κούρας D. ‖ 24. ἠπείγετο PV, vulg. ἐπείγετο. ‖

ὃς ἀπὸ τῆς κορύνης ἣν ἐφόρει Κορυνήτης ἐπεκαλεῖτο, ἔκτεινεν ἐν Ἐπιδαύρῳ. πόδας δὲ ἀσθενεῖς ἔχων οὗτος ἐφόρει κορύνην σιδηρᾶν, δι᾽ ἧς τοὺς παριόντας ἔκτεινε. ταύτην ἀφελόμενος Θησεὺς ἐφόρει. 2. δεύτερον δὲ κτείνει Σίνιν τὸν Πολυπήμονος καὶ Συλέας τῆς Κορίνθου. οὗτος Πιτυοκάμπτης ἐπεκαλεῖτο· οἰκῶν γὰρ τὸν Κορινθίων ἰσθμὸν ἠνάγκαζε τοὺς παριόντας πίτυς κάμπτοντας ἀνέχεσθαι, οἱ δὲ διὰ τὴν ἀσθένειαν οὐκ ἠδύναντο κάμπτειν, καὶ ὑπὸ τῶν δένδρων ἀναρριπτούμενοι πανωλέθρως ἀπώλλυντο. τούτῳ τῷ τρόπῳ Θησεὺς Σίνιν ἀπέκτεινεν. * * *

1. ὃς — ἐπεκαλεῖτο ex mg. illata credidit Heynius. ‖ 4. σίνιν PDR^cV. ‖ 6. ὑπεκαλεῖτο PO, cett. ἐπεκαλεῖτο, vulg. ἐκαλεῖτο. ‖ 7. κάμπτων Heynius. ‖ 8. κάμπτειν deleri voluit idem, sequutus est Clavier. ‖ 9. ἀναριπτούμενοι D. ‖ ἀπώλλυντο PR^cVX, vulg. ἀπώλυντο. ‖ 10. post Θησεὺς excidisse καὶ visum est Emperio.

ΚΟΝΩΝΟΣ

ΔΙΗΓΗΣΕΙΣ

[Ex Photii biblioth. cod. CLXXXVI.]

[*Ἀνεγνώσθη βιβλιδάριον, Κόνωνος διηγήσεις. προσφωνεῖ μὲν τὸ πονημάτιον Ἀρχελάῳ Φιλοπάτορι βασιλεῖ, περιέχεται δ' αὐτῷ ἐκ πολλῶν ἀρχαίων συνειλεγμένα ν' διηγήματα. ὧν*]

I. *Τὰ περὶ Μίδα καὶ Βριγῶν, ὅπως τε θησαυρῷ περιτυχὼν ἀθρόον τε εἰς πλοῦτον ἤρθη, καὶ Ὀρφέως κατὰ Πιέρειαν τὸ ὄρος ἀκροατὴς γενόμενος πολλαῖς τέχναις Βριγῶν βασιλεύει. καὶ ὡς Σειληνὸς περὶ τὸ Βέρμιον ὄρος Μίδου βασι-*
5 *λεύοντος ὤφθη, ὑφ' ᾧ καὶ τὸ ἔθνος ᾤκει πολυανθρωπότατον ὄν· καὶ ὡς ἤχθη τὸ ζῶον ἐξηλλαγμένον τὴν ἰδέαν ὡς ἐν ἀνθρώπου φύσει. καὶ ὅπως αὐτῷ χρυσὸς ἐγίνετο καὶ τὰ εἰς τροφὴν παρατιθέμενα ἅπαντα· καὶ ὡς διὰ τοῦτο πείσας τὸ ὑπήκοον ἀπ' Εὐρώπης διαβῆναι τὸν Ἑλλήσποντον ὑπὲρ Μυ-*
10 *σίαν ᾤκισε, Φρύγας ἀντὶ Βριγῶν βραχύ τι παραλλαγείσης τῆς λέξεως μετονομασθέντας. Μίδας δὲ πολλοὺς ἔχων ἀπαγγέλλοντας αὐτῷ τὰ ὅσα ἐλέγετό τε καὶ ἐπράττετο τοῖς ὑπηκόοις, καὶ διὰ τοῦτο ἐν τῷ ἀνεπιβουλεύτῳ τὴν βασιλείαν ἔχων καὶ εἰς γῆρας ἐλθὼν, μακρὰ ὦτα ἔχειν ἐλέχθη, καὶ κατ' ὀλί-*

Quae praecedunt verba sunt Photii. ‖ 3. *τὸ ὄρος* delevit Heynius. ‖ 4. *Σιληνὸς παρὰ* vulg. ‖ *βρέμιον* A. ‖ 6. *ἐν*] *σὺν* Kannius. ‖ 7. *καὶ* alterum add. A. ‖ 8. *παραθέμενα* vulg. ‖ *μετὰ τοῦτο* Heynius. ‖ 10. *ᾤκησε* libri. ‖

γον ἡ φήμη ὄνου ὦτα τὰ μακρὰ μετεποίει, καὶ ἀπὸ τοῦ σκῶψαι τὴν ἀρχὴν ὁ λόγος ἔργον εἶναι ἐπιστεύθη.

II. Δεύτερον τὰ περὶ Βυβλίδος, ὡς παῖς ἦν Μιλήτῳ, ἔχουσα ἐξ αὐτῆς ἀδελφὸν Καῦνον. ᾤκουν δὲ Μίλητον τῆς Ἀσίας, ἣν ὕστερον μὲν Ἴωνες καὶ οἱ ἀπ' Ἀθηνῶν μετὰ Νηλέως ὁρμηθέντες ᾤκησαν, τότε δ' ἐνέμοντο Κᾶρες, ἔθνος μέγα κωμηδὸν οἰκοῦντες. Καύνῳ δ' ἔρως ἐγείρεται ἀμήχανος τῆς ἀδελφῆς Βυβλίδος· ὡς δ' ἀπετύγχανε πολλὰ κινήσας, ἔξεισι τῆς γῆς ἐκείνης. καὶ ἀφανισθέντος μυρίῳ ἄχει κατεχομένη ἡ Βυβλὶς ἐκλείπει καὶ αὐτὴ τὴν πατρῴαν οἰκίαν, καὶ πολλὴν ἐρημίαν πλανηθεῖσα καὶ πρὸς τοὺς ἀτελεῖς ἱμέρους ἀπαγορεύουσα, βρόχον τὴν ζώνην τινὸς καρύας καθάψασα ἑαυτὴν ἀνήρτησεν· ἔνθα δὴ κλαιούσης αὐτῆς ἐρρύη τὰ δάκρυα καὶ κρήνην ἀνῆκε, Βυβλίδα τοῖς ἐπιχωρίοις ὄνομα. Καῦνος δὲ πλανώμενος εἰς Λυκίαν φθάνει, καὶ τούτῳ Προνόη (Ναὶς δ' ἦν αὕτη) ἀναδῦσα τοῦ ποταμοῦ τά τε συνενεχθέντα τῇ Βυβλίδι λέγει, ὡς ἐχρήσατο Ἔρωτι δικαστῇ, καὶ πείθει αὐτὸν αὐτῇ ἐπὶ τῷ τῆς χώρας λαβεῖν τὴν βασιλείαν (καὶ γὰρ εἰς αὐτὴν ἀνῆπτο) συνοικῆσαι. ὁ δὲ Καῦνος ἐκ τῆς Προνόης τίκτει Αἰγιαλόν, ὃς καὶ παραλαβὼν τὴν βασιλείαν, ἐπεὶ ὁ πατὴρ ἐτελεύτησεν, ἤθροισέ τε τὸν λαὸν σποράδην οἰκοῦντα καὶ πόλιν ἔκτισεν ἐπὶ τῷ ποταμῷ μεγάλην καὶ εὐδαίμονα, Καῦνον ἀπὸ τοῦ πατρὸς ἐπονομάσας.

III. Τρίτον, ἡ παρὰ τὸν Ἰόνιον πόντον Σχερία νῆσος, οὐχ ἑκὰς οὖσα τῆς ἠπείρου καὶ τῶν Κεραυνίων ὀρῶν, αὕτη Φαίακας ἔσχεν οἰκήτορας τὸ πρότερον, αὐτόχθονας, ἔθνος λαχὸν τὴν ἐπωνυμίαν ἀπό τινος τῶν ἐπιχωρίων βασιλέως· ὕστερον δ' ἐπῴκησεν αὐτὴν μοῖρα Κορινθίων, καὶ τό τε ὄνομα εἰς Κέρκυραν μετέβαλε καὶ τῆς περὶ ἐκεῖνα θαλάσσης ἦρξε. Φαίακος δὲ τοῦ τῆς νήσου βασιλεύοντος τελευτήσαντος οἱ

3. Μιλητοῦ Kannius. ‖ 4. ἔχουσα corr. A, ἔχων vulg.: εἶχε καὶ αὐτὴ Scaliger, ἔχουσα καὶ αὐτὴ Heynius. ‖ 5. καὶ add. A. ‖ 6. τότε corr. A, vulg. τὸ. ‖ 13. δὴ add. A. ‖ 15. δὲ A, vulg. καὶ. ‖ 17. ὡς ἐχρήσατο ἔρωτι A, καὶ ὡς ἐχρήσατο τῷ ἔρωτι vulg. ‖ δικαστῇ] διδάσκει Heynius. ‖ 18. τῷ A, vulg. τὸ. ‖ 24. τρίτον om. A. ‖ παρὰ] κατὰ Heynius. ‖ 25. Κεραυνείων ὀρῶν λέγεται αὕτη vulg. ‖ 26. αὐτόχθον Kannius. ‖ 28. ἐπῴκησεν pr. m. A, vulg. ἐπῴκησαν. ‖ 29. Κορκίραν vulg. ‖

ΚΟΝΩΝΟΣ

ΔΙΗΓΗΣΕΙΣ

[Ex Photii biblioth. cod. CLXXXVI.]

[Ἀνεγνώσθη βιβλιδάριον, Κόνωνος διηγήσεις. προσφωνεῖ μὲν τὸ πονημάτιον Ἀρχελάῳ Φιλοπάτορι βασιλεῖ, περιέχεται δ' αὐτῷ ἐκ πολλῶν ἀρχαίων συνειλεγμένα ν' διηγήματα. ὧν]

I. Τὰ περὶ Μίδα καὶ Βριγῶν, ὅπως τε θησαυρῷ περιτυχὼν ἀθρόον τε εἰς πλοῦτον ἤρθη, καὶ Ὀρφέως κατὰ Πιέρειαν τὸ ὄρος ἀκροατὴς γενόμενος πολλαῖς τέχναις Βριγῶν βασιλεύει. καὶ ὡς Σειληνὸς περὶ τὸ Βέρμιον ὄρος Μίδου βασι-
5 λεύοντος ὤφθη, ὑφ' ᾧ καὶ τὸ ἔθνος ᾤκει πολυανθρωπότατον ὄν· καὶ ὡς ἤχθη τὸ ζῶον ἐξηλλαγμένον τὴν ἰδέαν ὡς ἐν ἀνθρώπου φύσει. καὶ ὅπως αὐτῷ χρυσὸς ἐγίνετο καὶ τὰ εἰς τροφὴν παρατιθέμενα ἅπαντα· καὶ ὡς διὰ τοῦτο πείσας τὸ ὑπήκοον ἀπ' Εὐρώπης διαβῆναι τὸν Ἑλλήσποντον ὑπὲρ Μυ-
10 σίαν ᾤκισε, Φρύγας ἀντὶ Βριγῶν βραχύ τι παραλλαγείσης τῆς λέξεως μετονομασθέντας. Μίδας δὲ πολλοὺς ἔχων ἀπαγγέλλοντας αὐτῷ τὰ ὅσα ἐλέγετό τε καὶ ἐπράττετο τοῖς ὑπηκόοις, καὶ διὰ τοῦτο ἐν τῷ ἀνεπιβουλεύτῳ τὴν βασιλείαν ἔχων καὶ εἰς γῆρας ἐλθών, μακρὰ ὦτα ἔχειν ἐλέχθη, καὶ κατ' ὀλί-

Quae praecedunt verba sunt Photii. ‖ 3. τὸ ὄρος delevit Heynius. ‖ 4. Σιληνὸς παρὰ vulg. ‖ βρέμιον A. ‖ 6. ἐν] σὺν Kannius. ‖ 7. καὶ alterum add. A. ‖ 8. παραθέμενα vulg. ‖ μετὰ τοῦτο Heynius. ‖ 10. ᾤκησε libri. ‖

γον ἡ φήμη ὄνου ὦτα τὰ μακρὰ μετεποίει, καὶ ἀπὸ τοῦ σκῶψαι τὴν ἀρχὴν ὁ λόγος ἔργον εἶναι ἐπιστεύθη.

II. Δεύτερον τὰ περὶ Βυβλίδος, ὡς παῖς ἦν Μιλήτῳ, ἔχουσα ἐξ αὐτῆς ἀδελφὸν Καῦνον. ᾤκουν δὲ Μίλητον τῆς Ἀσίας, ἣν ὕστερον μὲν Ἴωνες καὶ οἱ ἀπ' Ἀθηνῶν μετὰ Νηλέως ὁρμηθέντες ᾤκησαν, τότε δ' ἐνέμοντο Κᾶρες, ἔθνος μέγα κωμηδὸν οἰκοῦντες. Καύνῳ δ' ἔρως ἐγείρεται ἀμήχανος τῆς ἀδελφῆς Βυβλίδος· ὡς δ' ἀπετύγχανε πολλὰ κινήσας, ἔξεισι τῆς γῆς ἐκείνης. καὶ ἀφανισθέντος μυρίῳ ἄχει κατεχομένη ἡ Βυβλὶς ἐκλείπει καὶ αὐτὴ τὴν πατρῴαν οἰκίαν, καὶ πολλὴν ἐρημίαν πλανηθεῖσα καὶ πρὸς τοὺς ἀτελεῖς ἱμέρους ἀπαγορεύουσα, βρόχον τὴν ζώνην τινὸς καρύας καθάψασα ἑαυτὴν ἀνήρτησεν· ἔνθα δὴ κλαιούσης αὐτῆς ἐρρύη τὰ δάκρυα καὶ κρήνην ἀνῆκε, Βυβλίδα τοῖς ἐπιχωρίοις ὄνομα. Καῦνος δὲ πλανώμενος εἰς Λυκίαν φθάνει, καὶ τούτῳ Προνόη (Ναὶς δ' ἦν αὕτη) ἀναδῦσα τοῦ ποταμοῦ τά τε συνενεχθέντα τῇ Βυβλίδι λέγει, ὡς ἐχρήσατο Ἔρωτι δικαστῇ, καὶ πείθει αὐτὸν αὐτῇ ἐπὶ τῷ τῆς χώρας λαβεῖν τὴν βασιλείαν (καὶ γὰρ εἰς αὐτὴν ἀνῆπτο) συνοικῆσαι. ὁ δὲ Καῦνος ἐκ τῆς Προνόης τίκτει Αἰγιαλόν, ὃς καὶ παραλαβὼν τὴν βασιλείαν, ἐπεὶ ὁ πατὴρ ἐτελεύτησεν, ἤθροισέ τε τὸν λαὸν σποράδην οἰκοῦντα καὶ πόλιν ἔκτισεν ἐπὶ τῷ ποταμῷ μεγάλην καὶ εὐδαίμονα, Καῦνον ἀπὸ τοῦ πατρὸς ἐπονομάσας.

III. Τρίτον, ἡ παρὰ τὸν Ἰόνιον πόντον Σχερία νῆσος, οὐχ ἑκὰς οὖσα τῆς ἠπείρου καὶ τῶν Κεραυνίων ὀρῶν, αὕτη Φαίακας ἔσχεν οἰκήτορας τὸ πρότερον, αὐτόχθονας, ἔθνος λαχὸν τὴν ἐπωνυμίαν ἀπό τινος τῶν ἐπιχωρίων βασιλέως· ὕστερον δ' ἐπῴκησεν αὐτὴν μοῖρα Κορινθίων, καὶ τό τε ὄνομα εἰς Κέρκυραν μετέβαλε καὶ τῆς περὶ ἐκεῖνα θαλάσσης ἦρξε. Φαίακος δὲ τοῦ τῆς νήσου βασιλεύοντος τελευτήσαντος οἱ

3. Μιλητοῦ Kannius. ‖ 4. ἔχουσα corr. A, ἔχων vulg.: εἶχε καὶ αὐτὴ Scaliger, ἔχουσα καὶ αὐτὴ Heynius. ‖ 5. καὶ add. A. ‖ 6. τότε corr. A, vulg. τὸ. ‖ 13. δὴ add. A. ‖ 15. δὲ A, vulg. καὶ. ‖ 17. ὡς ἐχρήσατο ἔρωτι A, καὶ ὡς ἐχρήσατο τῷ ἔρωτι vulg. ‖ δικαστῇ] διδάσκει Heynius. ‖ 18. τῷ A, vulg. τὸ. ‖ 24. τρίτον om. A. ‖ παρὰ] κατὰ Heynius. ‖ 25. Κεραυνείων ὀρῶν λέγεται αὕτη vulg. ‖ 26. αὐτόχθον Kannius. ‖ 28. ἐπῴκησεν pr. m. A, vulg. ἐπῴκησαν. ‖ 29. Κορκίραν vulg. ‖

υἱεῖς Ἀλκίνους καὶ Λοκρὸς στασιάσαντες συνέβησαν πάλιν ἐφ' ᾧ βασιλεύειν μὲν Ἀλκίνουν τῆς Φαιακίδος, Λοκρὸν δὲ κειμήλια καὶ μοῖραν λαβόντα τοῦ ἔθνους ἀποικίζεσθαι τῆς χώρας· ὃς καὶ ἐπὶ Ἰταλίας πλεύσας ξενίζεται παρὰ Λατίνῳ
5 Ἰταλῶν βασιλεῖ, δόντι πρὸς γάμον τὴν θυγατέρα Λαυρίνην. διὰ ταῦτα ὡς συγγενεῖς Φαίακες Λοκροὺς τοὺς ἐν Ἰταλίᾳ προσεποιοῦντο. ὁ δὲ Ἡρακλῆς κατ' ἐκεῖνο καιροῦ τὰς τοῦ Γηρυόνου περικαλλεῖς ὅσαι βόες οὔσας ἐξ Ἐρυθείας ἐλαύνων εἰς Ἰταλίαν ἀφικνεῖται, καὶ ξενίζεται φιλοφρόνως παρὰ τῷ
10 Λοκρῷ· ὁ δὲ Λατῖνος πρὸς τὴν θυγατέρα ἐλθὼν καὶ τὰς βοῦς ἰδὼν ἠράσθη τε καὶ ἤλαυνεν. ὅπερ ἀναμαθὼν Ἡρακλῆς ἐκεῖνον τόξῳ βαλὼν ἀνεῖλε, τὰς δὲ βοῦς ἀνεκόμισε. Λοκρὸς δὲ δεδιὼς περὶ τῷ Ἡρακλεῖ μή τι δεινὸν ὑπὸ Λατίνου πάθῃ (ἦν γὰρ Λατῖνος σώματι γενναῖος καὶ ψυχῇ), ἐξελαύνει ἐπὶ
15 βοηθείᾳ τοῦ ξενισθέντος, ἀμειψάμενος καὶ στολήν. Ἡρακλῆς δ' ἰδὼν αὐτὸν θέοντα καὶ νομίσας τινὰ εἶναι ἄλλον πρὸς ἐπικουρίαν σπεύδοντα Λατίνου, βαλὼν ἄτρακτον κτείνει. ὕστερον δὲ μαθὼν ἀπωλοφύρατο μὲν καὶ τὰ ὅσια αὐτῷ ἐπετέλεσε· καὶ μεταστὰς δ' ἐξ ἀνθρώπων ἔχρησε, φάσματι φαν-
20 εὶς τῷ λαῷ, πόλιν οἰκίζειν ἐπ' Ἰταλίας, ἐν ᾧ ἦν τὸ σῆμα τοῦ Λοκροῦ. καὶ διαμένει τῇ πόλει τοὔνομα τιμώσῃ τῇ κλήσει τὸν Λοκρόν. [οὕτω μὲν καὶ ἡ τρίτη διήγησις. ἀλλὰ τί μοι δεῖ μικροῦ μεταγράφειν ταύτας, δέον πολλῷ κεφαλαιωδέστερον ἐπελθεῖν;]

25 IV. Ἡ τοίνυν δ' διήγησις τὰ περὶ Ὀλύνθου τῆς πόλεως καὶ Στρυμόνος τοῦ Θρᾳκῶν βασιλεύσαντος ἀπαγγέλλει, οὗ καὶ ὁ πάλαι Ἠιονεὺς ποταμὸς ἐπώνυμος· καὶ ὅτι παῖδες αὐτῷ τρεῖς γεγόνασι, Βράγγας καὶ Ῥῆσσος καὶ Ὄλυνθος· καὶ Ῥῆσσος μὲν ἐπὶ Τροίαν Πριάμῳ συστρατεύσας ἀναιρεῖται
30 χειρὶ Διομήδους, Ὄλυνθος δὲ λέοντι συστὰς ἑκουσίως ἔν τινι κυνηγεσίῳ θνήσκει· καὶ Βράγγας ὁ ἀδελφὸς πολλὰ κατολο-

2. Ἀλκίνουν μὲν vulg. ‖ 4. Λακίνῳ Duker. ad Thuc. 3, 70. ‖ 5. τὴν] καὶ τὴν vulg. ‖ 6. ὡς συγγενεῖς] μὲν ὡς συγγενῶν A, μὲν ὡς συγγενεῖς vulg. ‖ 8. ὅσαι βόες] βοῦς corr. A: Γ. βοῦς περικαλλεῖς οὔσας Heyn. ‖ 9. εἰς — φιλοφρόνως] ἥκε A. ‖ 19. καὶ ante μετάστας delevit Heynius. ‖ 27. Ἰωνεὺς vulg. ‖ 22. verba sunt Photii. ‖ 28. γέγονεν A. ‖ 30. ἑκούσιος vulg. ‖

φυρόμενος τὴν συμφορὰν Ὄλυνθον ᾧπερ ἐτελεύτησε τόπῳ θάπτει, εἰς Σιθονίαν δὲ ἀφικόμενος πόλιν ἔκτισεν εὐδαίμονα καὶ μεγάλην, Ὄλυνθον αὐτὴν ἀπὸ τοῦ παιδὸς ὀνομάσας.

V. Ἡ ε′ περὶ Ῥηγίνου καὶ Εὐνόμου τοῦ Λοκροῦ τῶν κιθαρῳδῶν τὴν ἱστορίαν ποιεῖται, καὶ ὡς εἰς Δελφοὺς ἀφί- 5 κοντο· καὶ ὅτι ποταμῷ διοριζόμενοι Ῥηγῖνοί τε καὶ Λοκροὶ (Ἅλης ὄνομα τῷ ποταμῷ) οἱ μὲν ἀφώνους, ἡ δὲ Λοκρὶς ᾄδοντας ἔχει τοὺς τέττιγας· καὶ ὡς ἐρίζων Εὔνομος τῷ Ῥηγίνῳ τέττιγος ᾠδῇ κρατεῖ τοῦ ἀνταγωνιστοῦ. ἑπταχόρδου γὰρ τότε τῆς ἁρμονίας οὔσης καὶ μιᾶς ῥαγείσης τῶν χορδῶν, τέττιξ 10 ἐπεπτὰς τῇ κιθάρᾳ, τὸ λεῖπον ἀνεπλήρωσε τῆς ᾠδῆς.

VI. Ἡ ς′ ὡς Μόψος ὁ Μάντης καὶ Ἀπόλλωνος τῆς μητρὸς τελευτησάσης ἐκδέχεται κλῆρον τὸ ἐν Κλάρῳ Ἀπόλλωνος μαντεῖον. κατ' ἐκεῖνο δὲ καιροῦ ἀφικνεῖται Κάλχας εἰς Κολοφῶνα, ἐν ᾧ Μόψος ἔχων ἔχρα τὸ μαντεῖον, μετὰ 15 Τροίας πλανώμενος ἅλωσιν. ἤριζον οὖν ἐπὶ πολὺ ἀλλήλοις, καὶ Ἀμφίμαχος ὁ Λυκίων βασιλεὺς λύει τὴν ἔριν· ἐπὶ πόλεμον γὰρ ἐξιόντα Μόψος μὲν ἐκώλυεν ἧττων προαγγέλλων, Κάλχας δὲ ἐπέτρεπε νίκην σημαίνων, καὶ ἡττᾶται, καὶ Μόψος μὲν ἐπὶ μᾶλλον ἐτιμήθη, Κάλχας δ' ἑαυτὸν διεχρήσατο. 20

VII. Ἡ ζ′ διηγεῖται ὡς Φιλάμμων παῖς Φιλωνίδος, ἣ γέγονεν ἐξ Ἑωσφόρου καὶ Κλεοβοίας ἐν Θορικῷ τῆς Ἀττικῆς, οὗτος ὁ Φιλάμμων ὑπερφυὴς τὸ κάλλος ἐγένετο. μία δὲ τῶν νυμφῶν ἐρᾷ τοῦ νεανίου καὶ ἐγκύμων γίνεται. αἰδουμένη δ' ἀπαίρει Πελοποννήσου, καὶ εἰς τὴν Ἀκτὴν παραγε- 25 νομένη τίκτει κοῦρον Θάμυριν, ὃς ἡβήσας ἐπὶ τοσοῦτον ἦκε κιθαρῳδίας ὡς καὶ βασιλέα σφῶν, καίπερ ἐπηλύτην ὄντα, Σκύθας ποιήσασθαι. ἐρίσας δὲ καὶ ταῖς Μούσαις ὑπὲρ ᾠδῆς, καὶ ἄθλων τῷ νικήσαντι τεθέντων, ἐκείνῳ μὲν τοὺς

4. περὶ] τὰ περὶ vulg. ‖ Ῥηγίνου] Ἀρίστωνος τοῦ Ῥηγίνου Heynius: cf. Strab. 6. p. 260. Antig. hist. mir. c. 1. ‖ 12. μάντης A, Μάντους vulg.: Μαντοῦς Heynius. ‖ 14. ἐκεῖνο] cf. Bast. comm. pal. p. 775. ‖ 15. ἔχρα τὸ μαντεῖον A: τὸ μαντεῖον ἔχρα Kannius, fuerat μαντεῖον ἐχρᾶτο. ‖ 18. ἐκώλυεν vulg. ‖ ἡττᾷν vulg., ἧττον vel ἡττᾶσθαι Heynius. ‖ προαπαγγέλλων vulg. ‖ 20. ἔτι μᾶλλον Casaub., sed vid. Boeckh. in Plat. Min. p. 153 et Schaef. ad Bos. ell. p. 557. ‖ 22. θωρικῶς A. ‖ 27. ἐπήλυτον vulg. ‖ 28. καὶ add. A. ‖ 29. τοῦ Μ. γάμου Heynius, τῶν Μ. γάμων aut ἆθλα — τιθέντων Kannius. ‖

Μουσῶν γάμους, ἐκείναις δὲ ὃ ἔλοιντο τῶν αὐτοῦ, ἐξεκόπη τοὺς ὀφθαλμοὺς ἡττηθείς.

VIII. Ἡ ἡ διηγεῖται τὰ περὶ Πρωτέως τοῦ Αἰγυπτίου μάντεως, οὗ ἡ θυγάτηρ Θεονόη ἐρασθεῖσα Κανώβου (ἦν δ' οὗτος κυβερνήτης Μενελάου τοῦ Τρῴου) ἀποτυγχάνει· καὶ ὡς ὁ Κάνωβος καλὸς καὶ νέος ἀπαίροντος Μενελάου ἀπ' Αἰγύπτου καὶ Ἑλένης, καὶ προσορμισαμένων τῇ γῇ, ὑπὸ ἐχίδνης δηχθεὶς καὶ σαπεὶς τὸ σκέλος μετ' οὐ πολὺ θνήσκει· καὶ Μενέλαος καὶ Ἑλένη θάπτουσιν αὐτὸν ἐπ' Αἰγύπτου, οὗ νῦν ἐπώνυμος ᾤκισται πόλις. καὶ τῶν τοῦ Νείλου στομάτων τὸ τελευταῖον ὁ Κάνωβος ἢ Κανωβικὸν ἐκ τοῦ κυβερνήτου τὴν ὀνομασίαν ἕλκει.

IX. Ἡ θ' τὰ περὶ Σεμιράμεως λέγει, καὶ Σεμίραμιν οὐχὶ γυναῖκα κατὰ τοὺς ἄλλους φησὶ Νίνου γενέσθαι, ἀλλὰ θυγατέρα· καὶ λόγῳ ἑνί, ὅσα οἱ ἄλλοι περὶ Ἀτόσσης τῆς Ἀσσυρίου ἀναγράφουσι, ταῦθ' οὗτος εἰς Σεμίραμιν ἀναφέρει, οὐκ ἔχω λέγειν εἴτε δυσὶν ὀνόμασι τὴν αὐτὴν νομίζων καλεῖσθαι, ἢ τὰ περὶ Σεμιράμεως ἄλλως οὐκ εἰδώς. λέγει δ' ὡς ἡ Σεμίραμις αὕτη τῷ υἱῷ λάθρα καὶ ἀγνοοῦσα μιγεῖσα, εἶτα γνοῦσα ἄνδρα ἐν τῷ φανερῷ ἔσχε, καὶ ἐξ ἐκείνου, πρότερον βδελυκτὸν ὄν, Μήδοις καὶ Πέρσαις καλὸν καὶ νόμιμον ἔδοξε μητράσι μίγνυσθαι.

X. Ἡ ί δὲ ὡς Σίθων ὁ Ποσειδῶνος καὶ Ὄσσης, ὁ τῆς Θρᾳκίας χερρονήσου βασιλεύς, γεννᾷ θυγατέρα Παλλήνην ἐκ Μενδηίδος νύμφης· ἣν πολλῶν μνηστευομένων ἆθλον ἔκειτο τῷ μάχῃ κρατήσαντι Σίθωνος καὶ τὴν κόρην ἔχειν καὶ τὴν βασιλείαν. ἀναιρεῖται οὖν ὑπὲρ τοῦ γάμου διαθλῶν Μέροψ ὁ Ἀνθεμουσίας βασιλεὺς καὶ Περιφήτης ὁ Μυγδονίας. ἔπειτα Σίθων ὁρίζει μὴ πρὸς αὐτὸν, ἀλλὰ πρὸς ἀλλήλους διαμάχεσ-

3. ἡ A, vulg. καὶ ἡ. ‖ 5. Τρῴου A: Ἀτρέως Kannius ex em. Hoeschelii, fuerat Τρωός. ‖ 6. ἀπαιρόντων Heynius. ‖ Α. μεθ' Ἑ. Kannius. ‖ 7. καὶ ὡς ὁρμισαμένων A. ‖ 10. τοῦ add. A. ‖ τὸ A, vulg. τὸν. ‖ 15. αἰγόσσης A: Ἀτόσσης Kannius, fuerat Ἀττόσης. ‖ τῆς add. A. ‖ 17. δὲ quod vulg. est post ἔχω om. A. ‖ νομίζειν A. ‖ 21. νομικὸν vulg.: cf. Schaef. ad Greg. p. 405. ‖ 22. μητράσι] ὅτι οὐ τὰς μητέρας γαμοῦσιν, ἀλλὰ ταῖς μητρυιαῖς μίγνυνται οἱ Πέρσαι ἕως τοῦ νῦν, ἀπέχονται δὲ τῶν γεννησαμένων, ὡς λέγεται παρὰ τῶν εἰδότων τὰ κατ' αὐτούς mg. A. ‖ 23. Σίθων Heynius: libri οἴθων hic et infra. ‖ 27. διαθλεύων corr. A. ‖

θαι τοὺς μνηστῆρας, καὶ τῷ νικήσαντι τὸ αὐτὸ ἆθλον εἶναι. διαγωνίζεται τοίνυν Δρύας καὶ Κλῖτος, καὶ πίπτει Δρύας δόλῳ Παλλήνης. οὗ διαγνωσθέντος Σίθωνι ἔμελλε δίκην θάνατον Παλλήνη διδόναι, εἰ μὴ Ἀφροδίτη νυκτὸς ἐπιφοιτήσασα πᾶσι τοῖς πολίταις τὴν κόρην ἥρπασε θανάτου. καὶ τελευτήσαντος τοῦ πατρὸς Παλλήνη καὶ Κλῖτος τὴν βασιλείαν ἐκδέχονται, καὶ ἀπ' αὐτῆς ἡ χώρα Παλλήνη ἔλαβεν ὄνομα.

XI. Ἡ ια' τὰ περὶ τῆς Ἡρακλέους θυσίας, ἣν Λίνδιοι μετὰ ἀρᾶς θύουσιν αὐτῷ, διέξεισι, καὶ ὡς τὴν ἀρχὴν ἔσχεν ἀπό τινος ἀροτῆρος Λινδίου, ὃς, ἐπεὶ τροφὰς ᾔτει Ἡρακλῆς ὑπὲρ Ὕλλου τοῦ παιδός, ὃν κομιδῇ νέον κατὰ τὴν ὁδὸν συνεπήγετο, ἀντὶ τοῦ παρασχεῖν καὶ προσύβρισεν. Ἡρακλῆς δὲ χαλεπήνας, ἕνα τῶν βοῶν κατασφάξας αὐτός τε θοινᾶται καὶ τῷ παιδὶ δίδωσιν. ἠρᾶτο δὲ πόρρωθεν ὁ ἀροτήρ. καὶ ὁ Ἡρακλῆς γέλωτι διδοὺς τὰς ἀρὰς οὐδέποτε ἀπεφθέγξατο θοίνης ἡδίονος ἀπολαῦσαι ἢ τῆς μετὰ τῶν ἀρῶν.

XII. Ἡ ιβ' τὰ περὶ Τρωὸς τοῦ Ἐριχθονίου τοῦ Δαρδάνου διαλαμβάνει, ὃς ἐβασίλευσε τῶν περὶ τὴν Ἴδην χωρίων, καὶ γεννᾷ ἐκ Καλιρρόης τῆς Σκαμάνδρου Ἶλον (ἐξ οὗ τὸ Ἴλιον) καὶ Ἀσάρακον καὶ Γανυμήδην, ὃν ἥρπασε Ζεύς. Ἀσάρακος δὲ σὺν τῷ πατρὶ Δαρδανίας ἐβασίλευσε, καὶ ἦν τοῦτο τῶν Τρώων βασίλειον. Ἶλος δέ, ὃς κτίζει τὸ Ἴλιον, κρατεῖ μάχῃ Βεβρύκων βασιλέως Βύζου ὄνομα, καὶ ἐπὶ μέγα τὸ Ἴλιον αἴρει.

XIII. Ἡ δὲ ιγ' τὰ περὶ Αἰθίλας διέξεισιν, ἥτις ἦν θυγάτηρ μὲν Λαομέδοντος, ἀδελφὴ δὲ Πριάμου. ταύτην Πρωτεσίλαος ἐξ Ἰλίου μετὰ καὶ ἄλλων νηυσὶν ἄγων αἰχμάλωτον, εἰς τὸν μεταξὺ Μένδης καὶ Σκιώνης μετὰ πολλοὺς χειμῶνας μόλις ὁρμίζονται. καὶ πρὸς ὑδρείαν τῶν περὶ Πρωτεσίλαον ἁπάντων τοῦ αἰγιαλοῦ ἄνωθεν πρὸς τὴν χώραν ἀναδραμόντων, ἄλλα τε ἡ Αἰθίλλα τοῖς συναιχμαλώτισιν εἰποῦσα, καὶ ὡς, εἰ ἀφίκοιντο σὺν τοῖς Ἕλλησιν εἰς τὴν Ἑλλάδα, χρυσὸς

2. Κλεῖτος hic et infra maluit Bekkerus. ‖ 3. θάνατον susp. Heynio. ‖ 7. ἐκδέχεται A. ‖ 9. ἡρακλέως A. ‖ 13. τοῦ A, τοῦ μὴ vulg., quod tuetur Schaef. ad Greg. p. 102. ‖ 20. καλλιρόης A. ‖ 22. δὲ om. A. ‖ 23. ὃς] ὡς A. ‖ κρατεῖ] καὶ κρατεῖ A. ‖ 26. οἱ περὶ Πρωτεσίλαον Kannius. ‖ 27. καὶ A, vulg. τῶν. ‖ αἰχμαλώτων vulg. ‖ 28. Σκιώνης] Σκιόνης vulg.: πόλπον vel ὅρμον excidisse censuit Kannius. ‖

ἂν αὐταῖς δόξειε τὰ τῆς Τροίας κακά, πείθει πῦρ ἐνεῖναι ταῖς ναυσί. καὶ καταμένουσι σὺν αὐταῖς ἐν τῇ χώρᾳ καὶ ἄκοντες οἱ Ἕλληνες, καὶ πόλιν κτίζουσι Σκιώνην καὶ συνοικίζουσιν.

5 XIV. Ἡ ιδ' τὰ περὶ Ἐνδυμίωνος ἱστορεῖ, ὅτι τε παῖς ἦν Ἀεθλίου τοῦ Διὸς καὶ Πρωτογενείας τῆς Δευκαλίωνος, καὶ ὡς δύο τέκοι παῖδας Εὐρυπύλην καὶ Αἰτωλόν, ὃς ἐκ Πελοποννήσου τὴν πατρῴαν λιπὼν ἀρχὴν εἰς τὴν ἀντίπερα ταύτης γῆν μετὰ τῆς ἑπομένης μοίρας, Κουρῆτας ἐκβαλὼν ᾤκησε,
10 καὶ ἀντὶ Κουρήτιδος Αἰτωλίδα καλεῖσθαι δίδωσιν. ὁ δ' Εὐρυπύλης καὶ Ποσειδῶνος παῖς Ἦλις τελευτήσαντος τοῦ μητροπάτορος Ἐνδυμίωνος τὴν βασιλείαν ἐκδέχεται, καὶ τῇ κτισθείσῃ πόλει ὑπὸ Ἐνδυμίωνος Ἦλιν ἐπώνυμον ἔθετο.

XV. Ἡ ιε' περὶ Φενεατῶν καὶ Δήμητρος καὶ Κόρης, ἣν
15 Πλούτων ἁρπάσας καὶ λαθὼν τὴν μητέρα εἰς τὰ κάτω βασίλεια ἤγαγε· καὶ ὡς Φενεάταις μηνύσασι Δήμητρι τὸ χωρίον, δι' οὗ ἡ κάθοδος (ἦν δέ τι χάσμα ἐν Κυλλήνῃ), ἄλλα τε ἀγαθὰ ἐχαρίσατο καὶ μηδέποτε ὑπεριδεῖν ἑκατὸν ἄνδρας Φενεατῶν ἐν πολέμῳ πεσεῖν.

20 XVI. Ἡ ις' τὰ περὶ Προμάχου καὶ Δευκοκόμα τῶν Κνωσσίων (πόλις δὲ Κρήτης ἡ Κνωσσός) διέξεισιν, ὡς ἤρα Πρόμαχος νεανίου καλοῦ τοῦ Δευκοκόμα, ὡς ἆθλα αὐτῷ μεγάλα προὔτεινε καὶ κινδύνων μεστά, ὡς πάντα ὑπέστη Πρόμαχος ἐλπίδι τοῦ τυχεῖν, ὡς οὐδ' οὕτω τυγχάνει, καὶ ἀντιλυπεῖ
25 Δευκοκόμαν, τὸ τελευταῖον τῶν ἄθλων (κράνος δ' ἦν περιβόητον) ἑτέρῳ καλῷ νεανίᾳ ὁρῶντος περιθεὶς τοῦ Δευκοκόμα· καὶ ὃς οὐκ ἐνεγκὼν τὴν ζηλοτυπίαν ξίφει ἑαυτὸν διεχρήσατο.

XVII. Ἡ ιζ' Δίκαιος καὶ Συλεὺς ἀδελφοί, Ποσειδῶνος υἱοί, περὶ τὸ Πήλιον ὄρος τῆς Θεσσαλίας ᾤκουν. καὶ ἦν ὁ μὲν δίκαιος, καὶ ὡς ὠνομάζετο, οὕτω καὶ ἦν· Συλέα δὲ ἀθέμιστον ὄντα Ἡρακλῆς ἀναιρεῖ. ξενίζεται δ' ὑπὸ Δικαίου,

6. Ἀεθλίου Kannius, fuerat Ἀέθνου. ‖ 10. Αἰτωλίαν maluit Bekkerus. ‖ 11. Ἠλεῖος Heynius. ‖ 13. ἐπώνυμον] ὄνομα Kannius. ‖ 17. κυλήνῃ A. ‖ 18. ἄνδρας ἑκατὸν vulg. ‖ 21. ὡς] ὃς Galeus. ‖ 24. οὐδ' A, δ' οὐδ' vulg. ‖ 26. ἑτέρῳ] legebatur ἐν ἑτέρῳ, Kannius τινὶ ἑτέρῳ voluit. ‖ 27. ὃς A, ὡς vulg. ‖ 30. Πήλειον vulg. ‖ τῆς Θεσσαλίας A, Θεσσαλίαν vulg. ‖

καὶ ἐρᾷ τῆς Συλέως θυγατρὸς ἰδὼν αὐτὴν παρ' αὐτῷ τρεφομένην, καὶ ἄγεται εἰς γυναῖκα. ἡ δὲ ἀποδημήσαντος Ἡρακλέους τῷ περὶ αὐτὸν ἔρωτι καὶ πόθῳ βαλλομένη θνήσκει· καὶ ἐπὶ προσφάτῳ τῇ κηδείᾳ ἐπανιὼν Ἡρακλῆς ἔμελλεν αὐτὸν τῇ πυρᾷ συγκατακαίειν, εἰ μὴ οἱ παρόντες λόγοις παρηγοροῦσι μόλις ἐκώλυσαν. καὶ ἀπελθόντος Ἡρακλέους τὸ σῆμα τῆς κόρης οἱ πρόσοικοι περιεδείμαντο, καὶ ἀντὶ μνήματος ἱερὸν Ἡρακλέους ἀπέφηναν. 5

XVIII. Ἡ ιη', Λοκροὶ μαχόμενοι, ἐπεὶ συγγενὴς αὐτοῖς Αἴας ἦν, ἐν τῇ παρατάξει χώραν κενὴν ἐῶσιν, ὡς δῆθεν Αἴας ἐν ᾗ παρατάττοιτο. παρατεταγμένων οὖν ἐν τῇ πρὸς Κροτωνιάτας μάχῃ Αὐτολέων Κροτωνιάτης ἠβουλήθη διὰ τοῦ διαλείποντος διεκπεσεῖν μέρους καὶ κυκλώσασθαι τοὺς πολεμίους. τρωθεὶς δ' ὑπὸ φάσματος τὸν μηρὸν ἀπετράπη, καὶ ἐσφακέλιζεν, ἕως ἂν κατὰ χρησμὸν εἰς τὴν ἐν Πόντῳ Ἀχίλλειον νῆσον (ἔστι δ' αὕτη παραπλεύσαντι τὸν Ἴστρον ὑπὲρ τῆς Ταυρικῆς) ἐκεῖσε παραγεγονὼς καὶ τούς τε ἄλλους ἥρωας ἐπικαλεσάμενος, μάλιστα δὲ τὴν Αἴαντος τοῦ Λοκροῦ ψυχήν, ἰάθη. κἀκεῖθεν ἐξιόντα ἀπαγγέλλειν αὐτὸν Στησιχόρῳ Ἑλένη κελεύει τὴν εἰς αὐτὴν ᾄδειν, εἰ φιλεῖ τὰς ὄψεις, παλινῳδίαν. Στησίχορος δ' αὐτίκα ὕμνους Ἑλένης συντάττει καὶ τὴν ὄψιν ἀνακομίζεται. 10 15 20

XIX. Ἡ ιθ', ὡς Ψαμάθη ἡ Κροτώπου ἐξ Ἀπόλλωνος κύει, καὶ τεκοῦσα, ἐπεὶ τὸν πατέρα ἐδεδοίκει, ἐκτίθεται, Λίνον ὀνομάσασα. καὶ ὁ δεξάμενος ποιμὴν ὡς ἴδιον ἀνέτρεφε, καί ποτε οἱ τῆς ποίμνης κύνες διέσπασαν αὐτόν. ἡ δὲ ὑπερπαθήσασα κατάφωρος γίνεται τῷ πατρί, καὶ δικάζει αὐτῇ θάνατον, πεπορνεῦσθαι καὶ καταψεύδεσθαι αὐτὴν Ἀπόλλωνος οἰηθείς. Ἀπόλλων δὲ τῷ τῆς ἐρωμένης φόνῳ χολωθεὶς λοιμῷ κολάζει τοὺς Ἀργείους. καὶ χρωμένοις ὑπὲρ ἀπαλλαγῆς Ψαμάθην ἀνεῖλε καὶ Λίνον ἱλάσκεσθαι. οἱ δὲ τά τε ἄλλα ἐτίμησαν αὐτοὺς καὶ γύναια ἅμα κόραις ἔπεμπον θρηνεῖν Λί- 25 30

2. ἡρακλέως A, Ἡρακλέος vulg., et sic infra. ‖ 13. ἐκπεσεῖν vulg. ‖ 14. ἀπεσάπη Pierson ad Moer. p. 342. ‖ 19. ἐξιὼν A. ‖ 23. ψα μήθη ἡ κροτόπου A. ‖ 27. τῷ] καὶ τῷ A. ‖ 28. πορνεῦσαι ex mg. notatum praetulit Kennius. ‖ 31. ἀνεῖπε Teucherus. ‖

νον· αἱ δὲ θρήνους ἀντιβολίαις μιγνῦσαι τάς τε ἐκείνων καὶ τὰς σφετέρας ἀνέκλαιον τύχας. καὶ οὕτως ἦν ἐκπρεπὴς ὁ ἐπὶ Λίνῳ θρῆνος, ὡς ἀπ' ἐκείνων καὶ τοῖς ἔπειτα ποιηταῖς παντὸς πάθους παρενθήκη Λίνος ᾄδεται. μῆνά τε ὠνόμασαν
5 ἀρνεῖον, ὅτι ἀρνάσι Λίνος συνανετράφη· καὶ θυσίαν ἄγουσι καὶ ἑορτὴν ἀρνίδα, κτείνοντες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ κυνῶν ὅσους ἂν εὕρωσι. καὶ οὐδ' οὕτως ἐλώφα τὸ κακόν, ἕως Κρότωπος κατὰ χρησμὸν ἔλιπε τὸ Ἄργος, καὶ κτίσας πόλιν ἐν τῇ Μεγαρίδι καὶ Τριποδίσκιον ἐπικαλέσας κατῴκησεν.

10 XX. Ἡ κ', ὡς Θέοκλος ὁ Χαλκιδεὺς αἰχμάλωτος ὑπὸ Βισαλτῶν γεγονὼς (οἱ δὲ Βισάλται Θρᾳκικὸν ἔθνος, ἀντίπερα Παλλήνης οἰκοῦντες) οὗτος Χαλκιδεῖς λάθρα μεταπεμψάμενος προδίδωσι Βισάλτας· καὶ αὐτοὶ πρῶτον μὲν τῷ αἰφνιδίῳ ἐτάραξαν Βισάλτας, εἶτα τειχήρεις ποιήσαντες βου-
15 κόλου δόλῳ αἰχμαλώτου παρ' αὐτῶν γεγενημένου αἱροῦσι τὴν πόλιν, ἐκδιώξαντες τοὺς Βισάλτας. τὸν δὲ προδότην βουκόλον παραβάντες τὰς συνθήκας κτείνουσι, καὶ μῆνις αὐτοῖς διὰ τοῦτο θεόθεν ἐνέσκηψε. καὶ μετὰ χρησμὸν τάφον κρικαλλῆ χώσαντες τῷ βουκόλῳ καὶ ὡς ἥρωι θύοντες τοῦ κα-
20 κοῦ ἀπηλλάγησαν.

XXI. Ἡ κα', Δάρδανος καὶ Ἰάσων παῖδες ἦστην Διὸς ἐξ Ἠλέκτρας τῆς Ἀτλαντίδος, καὶ ᾤκουν Σαμοθρᾴκην τὴν νῆσον. ἀλλ' ὁ μὲν Ἰάσων φάσμα Δήμητρος αἰσχῦναι βουληθεὶς ἐκεραυνώθη, Δάρδανος δὲ ἐπὶ τὰδελφῷ συγχυθεὶς
25 εἰς τὴν ἀντίπερα γῆν, ἐν ᾗ καὶ πεδιὰς πολλὴ καὶ τὸ ὄρος ἡ Ἴδη, σχεδίαις (πλοίων γὰρ χρῆσις οὐδέπω ἦν) διαβαίνει. εἶχε δὲ τὸ κράτος τότε τῆς χώρας ὁ Σκαμάνδρου τοῦ ποταμοῦ καὶ νύμφης Τεῦκρος, ἐξ οὗ Τεῦκροί τε οἱ οἰκήτορες καὶ Τευκρία ἡ γῆ· ᾧ κατὰ λόγους συνελθὼν Δάρδανος λαμβάνει τὴν
30 ἡμίσειαν, καὶ πόλιν, ἐν ᾧ τῆς σχεδίας ἀπέβη, κτίζει Δαρδανίαν. ὕστερον δὲ τελευτήσαντος Τεύκρου ἡ πᾶσα τῆς χώρας εἰς αὐτὸν ἀρχὴ περιῆλθεν.

6. ἐν add. A. ‖ 12. χαλκίδης μεταπεμψάμενος λάθρα vulg. ‖ 14. βουκόλῳ καὶ δόλῳ αἰχμαλώτῳ—γεγενημένῳ libri, corr. Kannius et Heynius. ‖ 18. ἐπέσκηψε vulg. ‖ 21. Ἰασίων Holsten. ad Steph. B. p. 91: cf. Mueller. Orchom. p. 265. ‖ 28. Ἰδαίας post νύμφης ex Apollod. 3. 12, 1 et Diod. 4, 43 vulg. inserta legitur. ‖

XXII. Ἡ κβ', μειρακίῳ Κρητὶ γέννημα δράκοντος ἐραστὴς δωρεῖται. ὁ δὲ ἔτρεφέ τε καὶ ἐπεμελεῖτο, ἕως ηὐξήθη καὶ φόβον ἐνεποίει ὁ δράκων τοῖς ἐπιχωρίοις· οὗτοι γὰρ τότε ἠνάγκασαν τὸ μειράκιον ἐκθεῖναι τὸ θηρίον ἐπὶ τῆς ἐρημίας, καὶ πολλὰ κλαίων ἐξέθετο. ὕστερον δ' ἐπὶ θήραν ἐξελθόντος τοῦ μειρακίου καὶ λῃσταῖς περιπεσόντος, ἀνακαλουμένου τοὺς βοηθήσοντας, ἀναγνωρίσας ὁ δράκων τὴν φωνὴν τοὺς μὲν λῃστὰς διέφθειρεν ἑκάστῳ περιειληθείς, σημεῖα δὲ τῷ παιδὶ παλαιᾶς αἰσθήσεως ἐνδειξάμενος ἀπαλλάσσει τῆς ἐπιβουλῆς. 5 10

XXIII. Ἡ κγ', ὡς Ἀλεξάνδρου τοῦ Πάριδος καὶ Οἰνώνης, ἣν ἐγήματο πρὶν ἢ τὴν Ἑλένην ἁρπάσαι, παῖς Κόρυθος γίνεται, κάλλει νικῶν τὸν πατέρα. τοῦτον ἡ μήτηρ Ἑλένῃ προσέπεμπε, ζηλοτυπίαν τε κινοῦσα Ἀλεξάνδρῳ καὶ κακόν τι διαμηχανωμένη Ἑλένῃ. ὡς δὲ συνήθης ὁ Κόρυθος πρὸς Ἑλένην ἐγένετο, Ἀλέξανδρός ποτε παρελθὼν εἰς τὸν θάλαμον καὶ θεασάμενος τὸν Κόρυθον τῇ Ἑλένῃ παρεζόμενον καὶ ἀναφλεχθεὶς ἐξ ὑποψίας εὐθὺς ἀναιρεῖ. καὶ Οἰνώνη τῆς τε εἰς αὐτὴν ὕβρεως καὶ τῆς τοῦ παιδὸς ἀναιρέσεως πολλὰ Ἀλέξανδρον ἀρασαμένη, καὶ ἐπειποῦσα (καὶ γὰρ ἦν ἐπίπνους μαντείας καὶ τομῆς φαρμάκων ἐπιστήμων) ὡς τρωθείς ποτε ὑπ' Ἀχαιῶν καὶ μὴ τυγχάνων θεραπείας δεήσεται αὐτῆς, οἴκαδε ἥξει. ὕστερον δ' Ἀλέξανδρος ἐν τῇ πρὸς Ἀχαιοὺς ὑπὲρ Τροίας μάχῃ τρωθεὶς ὑπὸ Φιλοκτήτου καὶ δεινῶς ἔχων δι' ἀπήνης ἐκομίζετο πρὸς τὴν Ἴδην, καὶ προεκπέμψας κήρυκα ἐδεῖτο Οἰνώνης· ἡ δὲ ὑβριστικῶς μάλα τὸν κήρυκα διωσαμένη πρὸς Ἑλένην ἰέναι Ἀλέξανδρον ἐξωνείδιζε. καὶ Ἀλέξανδρος μὲν κατὰ τὴν ὁδὸν ὑπὸ τοῦ τραύματος τελευτᾷ, τὴν δὲ μήπω πεπυσμένην τὴν τελευτὴν μετάμελος ὅμως δεινὸς εἶχε, καὶ δρεψαμένη τῆς πόας ἔθει φθάσαι ἐπειγομένη. ὡς δ' ἔμαθε παρὰ τοῦ κήρυκος ὅτι τεθνήκοι καὶ ὅτι αὐτὴ αὐτὸν ἀνῄρηκεν, ἐκεῖνον μὲν τῆς ὕβρεως λίθῳ τὴν κεφαλὴν πατάξασα ἀναιρεῖ, 15 20 25 30

3. ἐποίει A. ‖ 5. κλαῖον vulg. ‖ 6. περιπεσ. καὶ ἀνακαλ. vulg. ‖ 7. βοηθήσοντας Heynius: βοηθήσαντας libri. ‖ 11. Πάριδος] καὶ Πάριδος Scaliger. ‖ 15. συνήθης] μυηθεὶς A. ‖ 27. ἐξωνείδιζε A, διωνείδιζε vulg. ‖ 29. δεινὸς corr. A, δεινῶς vulg. ‖ 32. τῆς A, ἀντὶ τῆς vulg. ‖

τῷ δ' Ἀλεξάνδρου νεκρῷ περιχυθεῖσα καὶ πολλὰ τὸν κοινὸν ἀμφοῖν καταμεμψαμένη δαίμονα ἑαυτὴν ἀνήρτησε τῇ ζώνῃ.

XXIV. Ἡ κδ', ἐν Θεσπείᾳ τῆς Βοιωτίας (ἔστι δ' ἡ πόλις οὐχ ἑκὰς τοῦ Ἑλικῶνος) παῖς ἔφυ Νάρκισσος πάνυ καλὸς καὶ ὑπερόπτης Ἔρωτός τε καὶ ἐραστῶν. καὶ οἱ μὲν ἄλλοι τῶν ἐραστῶν ἐρῶντες ἀπηγόρευσαν, Ἀμεινίας δὲ πολὺς ἦν ἐπιμένων καὶ δεόμενος· ὡς δ' οὐ προσίετο, ἀλλὰ καὶ ξίφος προσέπεμψεν, ἑαυτὸν πρὸ τῶν θυρῶν Ναρκίσσου διαχειρίζεται, πολλὰ καθικετεύσας τιμωρόν οἱ γενέσθαι τὸν θεόν. ὁ δὲ Νάρκισσος ἰδὼν αὐτοῦ τὴν ὄψιν καὶ τὴν μορφὴν ἐπὶ πρήνης ἐνδαλλομένην τῷ ὕδατι, καὶ μόνος καὶ πρῶτος ἑαυτοῦ γίνεται ἄτοπος ἐραστής. τέλος ἀμηχανῶν καὶ δίκαια πάσχειν οἰηθεὶς ἀνθ' ὧν Ἀμεινίου ἐξύβρισε τοὺς ἔρωτας, ἑαυτὸν διαχρᾶται. καὶ ἐξ ἐκείνου Θεσπιεῖς μᾶλλον τιμῶν καὶ γεραίρειν τὸν Ἔρωτα καὶ πρὸς ταῖς κοιναῖς θεραπείαις καὶ ἰδίᾳ θύειν ἔγνωσαν. δοκοῦσι δ' οἱ ἐπιχώριοι τὸν νάρκισσον τὸ ἄνθος ἐξ ἐκείνης πρῶτον τῆς γῆς ἀνασχεῖν, εἰς ἣν ἐξεχύθη τὸ τοῦ Ναρκίσσου αἷμα.

XXV. Ἡ κε', ὡς Μίνως υἱὸς Διὸς καὶ Εὐρώπης, ὁ βασιλεύων Κρήτης, κατὰ ζήτησιν Δαιδάλου στόλῳ πλεύσας εἰς Σικανίαν (αὕτη δ' ἐστὶν ἡ νῦν Σικελία) ὑπὸ τῶν Κωκάλου θυγατέρων (ἐβασίλευε δ' οὗτος Σικελῶν) ἀναιρεῖται. καὶ τὸ Κρητικὸν πολεμεῖ Σικελοῖς ὑπὲρ τοῦ βασιλέως καὶ ἡττᾶται. καὶ ἐπανιόντες ὑπὸ χειμῶνος ἐξέπεσον εἰς Ἰάπυγας, καὶ αὐτόθι τότε ἱδρύσαντο, ἀντὶ Κρητῶν γεγονότες Ἰάπυγες. χρόνῳ δὲ ὕστερον μοῖρά τις κατὰ στάσιν ἐκπεσόντες τῆς χώρας χρησμὸν ἔλαβον, ἔνθα ἄν τις αὐτοῖς γῆν καὶ ὕδωρ ὀρέξῃ, ἐνταῦθα οἰκίζεσθαι. καὶ ᾤκησαν τὴν Βοττιαίων· ἐκεῖ γὰρ παῖδες ἄρτων εἴδη καὶ ἄλλων ὄψων παίζοντες ἀπὸ πηλοῦ καὶ πλάττοντες αἰτουμένοις ἐπέδωκαν αὐτοῖς ἀντὶ ἄρτων τοὺς πηλίνους ἄρτους· καὶ οἵγε τὸν χρησμὸν τετελέσθαι νομίσαντες ᾐτήσαντο τὸν βασιλέα Μακεδόνων καὶ ἔλαβον οἰκεῖν τὴν Βοττιαίων, καὶ Βοττιαῖοι μὲν τρίτον γένος ἀπὸ Κρητῶν ἀμείψαντες μοῖρα νῦν εἰσι Μακεδόνων.

6. ἀπηγορεύθησαν vulg. ‖ ἀμινίας A et infra ἀμινίου. ‖ 14. θεσπιεῖς A, vulg. θεσπίσας. ‖ 15. καὶ ante πρὸς add. A. ‖ 22. Σικελῶν mg., libri σικεῶν. ‖ 27. ὀρίζει vulg. ‖ 28. ᾤκισαν vulg. ‖

XXVI. Ἡ κς΄ διέξεισιν ὡς φάσμα Ἀπόλλωνος, ὄνομα Κάρνος, Δωριεῦσιν ἑπόμενον Ἱππότης τις τῶν ἀφ' Ἡρακλέους ἀναιρεῖ, ὅτε κατήεσαν εἰς Πελοπόννησον Ἡρακλεῖδαι. καὶ λοιμοῦ τούτοις προσπεσόντος, χρησμὸν λαβόντες ἤλασαν τὸν Ἱππότην τοῦ στρατοπέδου. μάντις δ' ἦν τὸ φάσμα τοῖς Δωριεῦσιν. Ἡρακλείδαις μὲν κάθοδος εἰς Πελοπόννησον ἐγένετο· ὁ δ' Ἱππότης ἁλώμενος τίκτει παῖδα, ἐκ τοῦ πράγματος Ἀλήτην καλέσας, ὃς ἀνδρωθεὶς καὶ μοῖραν τοῦ Δωρικοῦ συλλέξας, καὶ Σισυφίδας ἐκβαλὼν Κορίνθου βασιλέας ὄντας καὶ τοὺς σὺν αὐτοῖς Ἴωνας, ἀνοικίζει τὴν πόλιν καὶ ἐπῄει κατὰ τῆς Ἀττικῆς, ὅτε καὶ χρησμὸν λαμβάνει νικήσειν, εἰ ἀπόσχοιντο τοῦ βασιλέως Ἀθηναίων. καὶ τοῦ χρησμοῦ γνωσθέντος Ἀθηναίοις, πείθουσι Κόδρον ἑβδομηκοντούτην ὄντα ἑκόντα δοῦναι ἑαυτὸν ὑπὲρ τῆς πατρίδος. καὶ ἀμειψάμενος τὴν στολὴν ὡς εἷς τῶν ξυλοφόρων ὑφ' ἑνὸς τῶν Δωριέων ἀναιρεῖται. καὶ γνόντες ὕστερον Δωριεῖς καὶ ἀπογνόντες τὴν νίκην ἐσπείσαντο Ἀθηναίοις.

XXVII. Ἡ κζ΄ τὰ περὶ Δευκαλίωνος ἀπαγγέλλει, ὃς ἐβασίλευε τῆς Φθιώτιδος, καὶ τοῦ κατ' αὐτὸν τῆς Ἑλλάδος κατακλυσμοῦ· καὶ περὶ Ἕλληνος τοῦ παιδὸς αὐτοῦ, ὃν ἔνιοι τοῦ Διὸς παῖδα εἶναί φασιν, ὃς καὶ διεδέξατο τὴν βασιλείαν τελευτήσαντος Δευκαλίωνος, καὶ τίκτει παῖδας τρεῖς. ὧν Αἴολον μὲν τὸν πρῶτον βασιλεύειν ἐδικαίωσεν ἧς ἦρχε γῆς, Ἀσωπῷ καὶ Ἐνιπεῖ δυσὶ ποταμοῖς τὴν ἀρχὴν διορισάμενος, ἐξ οὗ τὸ Αἰολικὸν κατάγεται γένος· Δῶρος δ' ὁ δεύτερος μοῖραν τοῦ λαοῦ λαβὼν παρὰ τοῦ πατρὸς ἀποικίζεται καὶ ὑπὸ τὸν Παρνασσὸν τὸ ὄρος κτίζει πόλεις Βοιόν, Κυτίνιον, Ἐρινέον, ἐξ οὗ Δωριεῖς· ὁ δὲ νεώτατος Ἀθήναζε ἀφικόμενος κτίζει τετράπολιν καλουμένην τῆς Ἀττικῆς καὶ γαμεῖ Κρέουσαν τὴν Ἐρεχθέως καὶ τίκτει ἐξ αὐτῆς Ἀχαιὸν καὶ Ἴωνα. καὶ ὁ μὲν Ἀχαιὸς ἀκούσιον φόνον ἐργασάμενος ἠλάθη, καὶ εἰς Πελοπόννησον ἐλθὼν Ἀχαΐαν κτίζει τετράπολιν, ἐξ οὗ

2. ἦν post ἑπόμενον inseri voluit Heynius. ‖ 4. χρησμὸν] καὶ χρησμὸν A. ‖ 5. φάντασμα vulg. ‖ 13. ἑβδομηκονταετὴν vulg., ἑβδομηκονταετῆ Heynius. ‖ 19. ἐβασίλευσε vulg. ‖ καὶ περὶ τοῦ Heynius. ‖ 22. παῖδας om. A. ‖ 27. Κτίνιον vulg. ‖ 28. Ἀθήναζεν vulg.: cf. Schaef. ad Greg. p. 166. ‖

Ἀχαιοί· Ἴων δὲ θανόντος τοῦ μητροπάτορος διά τε τὴν ἀρετὴν καὶ τὴν ἄλλην ἀξίωσιν αἱρεθεὶς βασιλεύει Ἀθηναίων, ἐξ οὗ Ἴωνες οἵ τε Ἀθηναῖοι ἤρξαντο καλεῖσθαι καὶ τὸ ἄλλο πᾶν Ἰωνικόν.

5 XXVIII. Ἡ κη΄, ὡς Τέννης καὶ Ἡμιθέα παῖδες ἦστην Κύκνῳ βασιλεῖ Τρῳάδος, καὶ Κύκνος ἀποθανούσης αὐτῷ τῆς γυναικὸς ἑτέραν ἐπεισάγεται· ἡ δ' ἐπιμανεῖσα Τέννῃ καὶ μὴ τυγχάνουσα καταψεύδεται τοῦ παιδὸς τὰ ἑαυτῆς· καὶ ὁ πατὴρ ἀκρίτως εἰς λάρνακα Τέννην κατακλείει, ἀλλὰ καὶ τὴν 10 Ἡμιθέαν περιαλγοῦσαν τὰδελφοῦ, καὶ ἀφίησι τῇ θαλάσσῃ. ἡ δ' εἰς νῆσον ἐκφέρεται, καὶ οἱ ἐπιχώριοι τὴν λάρνακα ἀνακομίζονται, καὶ τὸ κράτος τῆς γῆς ἐκείνης ἴσχουσι Τέννης καὶ Ἡμιθέα, καὶ ἡ νῆσος Τένεδος ἀντὶ Λευκόφρυος ὠνομάσθη. ὁ δὲ Κύκνος μεταγνοὺς καὶ ὁρμισάμενος πρὸς τὴν 15 νῆσον ἐδεῖτο τοῦ παιδὸς ἀπὸ τῆς νεὼς ἀμνηστίαν ἔχειν. ὁ δέ, ὡς μὴ ἐπιβαίη τῆς νήσου, πέλεκυν ἀράμενος τὰ πείσματα τῆς νεὼς διακόπτει. καὶ ἀπ' αὐτοῦ οἱ ἄνθρωποι ἐπὶ παντὸς ἀποτόμου πράγματος τὴν Τέννου πέλεκυν ἐπιλέγουσιν.

XXIX. Ἡ κθ΄, ὡς Μάγνητες οἱ Μαγνησίαν τὴν ἐν Ἀσίᾳ 20 νῦν οἰκοῦντες τὸ πρότερον περὶ Πηνειὸν ποταμὸν καὶ τὸ Πήλιον ὄρος ᾤκησαν, καὶ συνεστράτευσαν Ἀχαιοῖς κατὰ Τροίας ἡγουμένου αὐτῶν Προθόου, καὶ ἐκαλοῦντο Μάγνητες. εἶτα δεκάτῃ Μαγνήτων ἀνακομιζομένων αὐτῶν ἀπὸ Τροίας οἰκίζει κατ' εὐχὰς εἰς Δελφούς. μετὰ χρόνον δὲ 25 ἀναστάντες τοῦ ἱεροῦ καὶ κατιόντες ἐπὶ θάλασσαν ἐπεραιώθησαν εἰς Κρήτην. ὕστερον δὲ βιασθέντες ἀνέστησαν ἐκ Κρήτης, καὶ πλεύσαντες εἰς τὴν Ἀσίαν ἐρρύοντο κακῶν νεόκτιστον οὖσαν τὴν Ἰωνίαν καὶ τὴν Αἰολίδα, συμμαχοῦντες αὐτοῖς κατὰ τῶν ἐπιτιθεμένων. ἐκεῖθεν ἀφικνοῦνται ἐν ᾧ νῦν εἰσι, 30 καὶ κτίζουσι πόλιν, ἀπὸ τῆς κατὰ τὸ ἀρχαῖον πατρίδος Μαγνησίαν αὐτὴν ἐπικαλέσαντες.

XXX. Ἡ λ΄ τὰ περὶ Πειθηνίου τοῦ Ἀπολλωνιάτου, ὃς τὰ ἱερὰ Ἡλίου νέμων πρόβατα, ἐπεὶ αὐτῶν ἑξήκοντα λύκοι

6. καὶ κύκνος A, Κύκνος δὲ vulg. ‖ 9. εἰς λάρνακα A, λάρνακι vulg. ‖ ἀλλὰ] ἅμα Heynius. ‖ 10. ἀδελφοῦ vulg. ‖ 12. ἀνίσχουσι A. ‖ 21. καὶ συνεστράτευσαν A, συνεστράτευσαν δὲ vulg. ‖ 23. δεκάτην vulg. ‖ 33. ἡλίου A, τοῦ ἡλίου vulg. ‖ αὐτῶν (vel αὐτοῦ) ἑξήκ. λ. διεσπ. ἀμελ. A, ἀμελ.' τούτου αὐτῶν ἑξήκ. λ. διεσπ.

διεσπάραξαν ἀμελήσαντος, τὰς ὄψεις ὑπὸ τῶν πολιτῶν ἐκκόπτεται. καὶ ἡ γῆ καρπὸν Ἀπολλωνιάταις μηνίσαντος αὐτοῖς τοῦ θεοῦ οὐκ ἐδίδου, ἕως τέχνῃ καὶ προαστείοις δυσὶν ἱλασάμενοι Πειθήνιον καὶ οἰκίᾳ μιᾷ, ὧν αὐτὸς ᾑρετίσατο, τὴν ἀκαρπίαν διέφυγον. τῶν ἐπιφανῶν δ' ἦν ὁ Πειθήνιος, καὶ 5 ὅσοι ἄλλοι ἐκ διαδοχῆς τῶν ἱερῶν εἶχον προβάτων τὴν ἐπιμέλειαν. καὶ ἡ Ἀπολλωνία πόλις Ἑλλάς ἐστιν ἐν τῇ Ἰλλυριῶν γῇ, κεῖται δ' ἐπὶ τῆς θαλάσσης, καὶ ποταμὸς Λῶος διὰ μέσης αὐτῆς ῥέων εἰς τὸ Ἰόνιον ἐκβάλλει πέλαγος.

XXXI. Ἡ λά, ὡς Τηρεὺς, βασιλεὺς Θρᾳκῶν τῶν περὶ 10 Δαυλίαν καὶ τὴν ἄλλην Φωκίδα, ἄγεται Πρόκνην γυναῖκα τὴν Πανδίονος βασιλεύοντος Ἀθηνῶν, καὶ ὡς ἐπεμάνη καὶ ἐμίγη ἀκούσῃ Φιλομήλᾳ τῇ ἀδελφῇ Πρόκνης, καὶ τέμνει τὴν αὐτῆς γλῶσσαν, δεδιὼς τὸν ἐκ λόγων θρίαμβον. ἡ δὲ πέπλον ὑφαίνουσα γράφει τὰ πάθη τοῖς νήμασι. καὶ ἡ Πρόκνη 15 μαθοῦσα καὶ ἀμυνομένη παρατίθησιν αὐτῷ δεῖπνον τὰ αὐτοῦ γεννήματα. ὁ δὲ Τηρεὺς, μαθὼν τοῦ δείπνου τὸ μύσος ὑπ' αὐτῆς Πρόκνης, ἐδίωκεν αὐτήν τε καὶ τὴν ἀδελφὴν ὡς συνεργὸν ξίφει ἀνελεῖν. τὰς δὲ μῦθος λαβὼν ἐντεῦθεν Πρόκνην μὲν ἀηδόνα ποιεῖ, Φιλομήλαν δὲ χελιδόνα· καὶ ᾄδουσι 20 διὰ παντὸς τὰς τότε συμφοράς. ἀλλὰ καὶ ὁ Τηρεὺς εἰς ἔποπα ἔπτη τῷ μύθῳ. καὶ οὐδ' ἐν ὄρνισιν αὐτούς φασι πεπαῦσθαι τῆς ὀργῆς, ἀλλ' ἔποπες ἀεὶ ἀηδόνας καὶ χελιδόνας διώκουσιν.

XXXII. Ἡ λβ' τὰ περὶ Εὐρώπης τῆς Φοίνικος θυγα- 25 τρὸς ἀφάνοῦς γεγενημένης, καὶ ὡς πέμψειε τοὺς υἱεῖς ὁ πατὴρ κατὰ ζήτησιν τῆς ἀδελφῆς, ὧν ἦν καὶ Κάδμος, μεθ' οὗ συναπαίρει καὶ Πρωτεὺς ἐξ Αἰγύπτου, τὴν Βουσίριδος δεδιὼς βασιλείαν. καὶ ὡς κατὰ πολλὴν πλάνην μηδὲν εὑρόντες κατέσχον εἰς Παλλήνην, καὶ ὡς Πρωτεὺς ξένια δοὺς Κλίτῳ 30 καὶ λαβὼν φιλίαν (βασιλεὺς δ' ἦν ὁ Κλῖτος σώφρων καὶ δίκαιος Σιθώνων Θρᾳκίου ἔθνους) ἄγεται Πρωτεὺς γυναῖκα

vulg. ‖ 4. ὧν] ἦν corr. A. ‖ αὐτὸς] ultimae litterae correctae in A. ‖ 5. ἐπιφ. δ' A, δ' ἐπιφ. vulg. ‖ 8. Λῶος Kannius. ‖ 9. εἰς τὸ ἰόνιον ἐκβ. πελ. A, καὶ οὗτος ἐκβ. εἰς τὸ Ἰώνιον πελ. vulg. ‖ 13. τέμνοι vulg. ‖ 19. δὲ ὡς μῦθος vulg. ‖ 22. αὐτάς vulg. ‖ 23. χελιδόνας καὶ ἀηδόνας vulg. ‖

τὴν θυγατέρα Χρυσονόην. καὶ Βισαλτῶν ἀπελαθέντων τῆς οἰκείας γῆς τῷ πρὸς αὐτοὺς πολέμῳ, ὃν ἐπολέμησε Κλῖτος καὶ Πρωτεύς, βασιλεύει τῆς χώρας Πρωτεύς, καὶ τίκτει παῖδας οὐχ ὁμοίους αὐτῷ, ἀλλ' ὠμοὺς καὶ παρανόμους, οὓς Ἡρα-
5 κλῆς μισοπόνηρος ὢν ἀναιρεῖ. καὶ αὐτοῖς μὲν ὁ πατὴρ χῶμα ἔχωσεν, Ἡρακλέα δὲ (ἦν γὰρ ἐναγής) καθῆρε τοῦ φόνου.

XXXIII. Ἡ λγ', ὡς Δήμοκλος ὁ Δελφὸς γεννᾷ παῖδα ἐκπρεπῆ Σμῖκρον ὄνομα· καὶ ὡς πλεῖ κατὰ χρησμὸν ἐπὶ Μιλήτου, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν παῖδα ἐν ἡλικίᾳ· καὶ ὡς
10 καταλιμπάνει τοῦτον σπουδῇ τοῦ ἐκπλεῦσαι καὶ ἀγνοίᾳ, τρισκαιδέκατον ἔχοντα ἔτος· καὶ ὡς παῖς Ἐριθάρσου αἰπόλος καταλαμβάνει τὸν Σμῖκρον ἀθυμοῦντα, καὶ ἄγει πρὸς τὸν πατέρα· καὶ ὁ Ἐριθάρσης οὐκ ἔλαττον τοῦ ἰδίου παιδὸς, μαθὼν τὰς τύχας καὶ τὸ γένος τοῦ Σμίκρου, τοῦτον περιεῖπε.
15 καὶ περὶ τοῦ κύκνου τοῦ συλληφθέντος ἄμφω τοῖς παισί, καὶ τῆς ἔριδος, καὶ τοῦ τῆς Λευκοθέας φάσματος, ὡς εἴποι τε τοῖς παισὶ πρὸς Μιλησίους φάναι τιμᾷν αὐτὴν καὶ παίδων ἀγῶνα γυμνικὸν τελεῖν αὐτῇ· ἡσθῆναι γὰρ αὐτὴν τῇ ἔριδι τῶν παίδων. καὶ ὡς ὁ Σμῖκρός τινος τῶν ἐν Μιλησίοις ἐν-
20 δόξων θυγατέρα γαμεῖ, καὶ αὕτη τίκτουσα ὁρᾷ ὄψιν τὸν ἥλιον αὐτῇ διὰ τοῦ στόματος εἰσδύντα διὰ τῆς γαστρὸς καὶ τῶν αἰδοίων διεξελθεῖν· καὶ ἦν τὸ ὅραμα τοῖς μάντεσιν ἀγαθόν. καὶ ἔτεκε κόρον, Βράγχον ἀπὸ τοῦ ὀνείρου καλέσασα, ὅτι ὁ ἥλιος αὐτῆς διὰ τοῦ βράγχου διεξῆλθε. καὶ ἦν ὁ παῖς κάλ-
25 λιστος ἀνθρώπων, καὶ αὐτὸν ἐφίλησεν ἐρασθεὶς Ἀπόλλων, εὑρὼν ποιμαίνοντα ἔνθα βωμὸς Ἀπόλλωνος φιλίου ἵδρυται. ὁ δὲ Βράγχος ἐξ Ἀπόλλωνος ἐπίπνους μαντικῆς γεγονὼς ἐν Διδύμοις τῷ χωρίῳ ἔχρα. καὶ μέχρι νῦν χρηστηρίων Ἑλληνικῶν ὧν ἴσμεν μετὰ Δελφοὺς κράτιστον ὁμολογεῖται τὸ τῶν
30 Βραγχιδῶν.

XXXIV. Ἡ λδ', ὡς μετὰ τελευτὴν Ἀλεξάνδρου τοῦ Πάριδος οἱ Πριάμου παῖδες Ἕλενος καὶ Δηίφοβος ἤριζον ὑπὲρ τῶν Ἑλένης γάμων, καὶ κρατεῖ βίᾳ καὶ θεραπείᾳ τῶν δυνα-

5. μὲν add. A. ‖ 8. Σμικρὸς vulg. ‖ 14. τὸ om. A. ‖ 16. ὡς] καὶ ὡς vulg. ‖ εἴποι A, vulg. εἴ τοι. ‖ 17. τε] γε Kannius. ‖ 20. αὐτῇ τὸν ἥλιον vulg. ‖ 21. γαστρὸς δὲ καὶ vulg. ‖ 24. ἐξῆλθε vulg., εἰσῆλθε mg. ‖ 28. μέχρι τοῦ νῦν vulg. ‖

τῶν Δηίφοβος, νεώτερος ὢν Ἑλένου. Ἕλενος δὲ τὴν ὕβριν οὐ φέρων, εἰς τὴν Ἴδην ἀποχωρήσας ἡσύχαζε. καὶ κατὰ συμβουλὰς Κάλχαντος οἱ πολιορκοῦντες Τροίαν Ἕλληνες λόχῳ τὸν Ἕλενον συλλαμβάνουσι· καὶ τὰ μὲν ἀπειλαῖς, τὰ δὲ δώροις, πλέον δὲ τῇ πρὸς Τρῶας ὀργῇ ἀποκαλύπτει αὐτοῖς 5 Ἕλενος ὡς ξυλίνῳ ἵππῳ πεπρωμένον ἐστὶν Ἴλιον ἁλῶναι, καὶ τὸ τελευταῖον, ἐπειδὰν Ἀχαιοὶ λάβωσι τὸ διοπετὲς Ἀθηνᾶς Παλλάδιον, πολλῶν ὄντων τὸ σμικρότατον. στέλλονται οὖν ἐπὶ τῇ κλοπῇ τοῦ Παλλαδίου Διομήδης καὶ Ὀδυσσεύς, καὶ ἀναβαίνει ἐπὶ τὸ τεῖχος Διομήδης, ἐπιβὰς τῶν ὤμων Ὀδυσ- 10 σέως· ὁ δὲ οὐκ ἀνελκύσας Ὀδυσσέα, καίτοι τὰς χεῖρας ὀρέγοντα, ᾔει τὴν ἐπὶ τὸ Παλλάδιον, καὶ ἀφελόμενος αὐτὸ πρὸς Ὀδυσσέα ἔχων ὑπέστρεφε. καὶ διὰ τοῦ πεδίου κατιόντων πυνθανομένῳ ἕκαστα τῷ Ὀδυσσεῖ Διομήδης, τὸ δόλιον τἀνδρὸς εἰδώς, οὐχ ὅπερ ἔφησεν Ἕλενος Παλλάδιον λαβεῖν αὐτόν, 15 ἀλλ' ἀντ' ἐκείνου ἕτερον, ἀποκρίνεται. κινηθέντος δὲ τοῦ Παλλαδίου κατά τινα δαίμονα, γνοὺς Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο εἶναι καὶ κατόπιν γεγονὼς σπᾶται τὸ ξίφος, ἐκεῖνον μὲν ἀνελεῖν βουληθείς, αὐτὸς δ' Ἀχαιοῖς τὸ Παλλάδιον κομίζειν. καὶ αὐτοῦ μέλλοντος πληγὴν ἐμβαλεῖν (ἦν γὰρ σελήνη) ὁρᾷ Διομή- 20 δης τὴν αὐγὴν τοῦ ξίφους, Ὀδυσσεὺς δ' ἀναιρεῖν μὲν ἀπέσχετο ἀντισπασαμένου κἀκείνου ξίφος, δειλίαν δ' ὀνειδίσας πλατεῖ τῷ ξίφει οὐκ ἐθέλοντα προϊέναι τύπτων τὰ νῶτα ἤλαυνεν. ἐξ οὗ ἡ παροιμία „ἡ Διομήδειος ἀνάγκη", ἐπὶ παντὸς ἀκουσίου λεγομένη. 25

XXXV. Ἡ λε΄ δύο ποιμένας ὑπὸ Λυσσὸν τὸ ὄρος τῆς Ἐφεσίας γῆς εἰσάγει νέμοντας, οἳ μελισσῶν ἐσμὸν ἔν τινι βαθεῖ καὶ δυσκαθόδῳ θεασάμενοι σπηλαίῳ, ὁ μὲν εἰς φορμίδα κατιέναι ἐνέβη, ὁ δὲ καθίει κάλῳ ἀρτησάμενος. ὁ κατελθὼν δὲ καὶ τὸ μέλι καὶ χρυσὸν πολὺν εὑρὼν καὶ τῇ φορμίδι ἕως 30 τρὶς ἐμβαλὼν ἀνιμᾶν ἐκέλευσεν, ἐπιλείψαντος δὲ τοῦ χρυσοῦ ἑαυτὸν ἐμβαίνειν λοιπὸν προσβοήσας, ἐπεὶ ἐπιβουλῆς ἔννοια αὐτῷ ἅμα τῷ ῥήματι συνεισῄει, λίθον ἀνθ' αὐτοῦ τῇ φορ-

2. συμβουλὴν vulg. ‖ 10. ἐπὶ τὸ τεῖχος] τοῦ τείχους A. ‖ 14. τοῦ ἀνδρὸς vulg. ‖ 28. ὁ μὲν] ὅμως ὁ μὲν A. ‖ 30. καὶ τὸ add. A. ‖ 31. ἐμβάλλων A. ‖ δὲ A, καὶ vulg. ‖

μίδι βαλὼν ἐκέλευσεν ἀνιμᾶν. ὡς δ' ἐγγὺς τῆς στεφάνης ὁ ἀνιμῶν ἀπηωρήσατο, αὐτίκα ὡς διαφθερῶν τὸν ἕτερον ἀφίησι κατὰ τῆς φάραγγος, καὶ τὸ χρυσίον κατορύξας πιθανὰς ὑπὲρ τοῦ ἀφανοῦς ποιμένος ἐπλάττετο τοῖς πυνθανομένοις
5 τὰς προφάσεις. ὡς δ' ἦν ἄπορα πανταχόθεν τῷ ἐν τῷ σπηλαίῳ ποιμένι τὰ τῆς σωτηρίας, Ἀπόλλων κατ' ὄναρ κελεύει ὀξεῖ λίθῳ τὸ σῶμα ἀμύξαντα κεῖσθαι ἠρέμα. τοῦ δὲ πράξαντος τὸ προσταχθὲν γῦπες ὡς ἐπὶ νεκρὸν ἐφιπτάμενοι καὶ τοὺς ὄνυχας οἱ μὲν εἰς τὴν χαίτην, οἱ δ' εἰς τὴν ἐσθῆτα
10 πηξάμενοι ἐκούφιζον καὶ κατέφερον αὐτὸν κακῶν ἀπαθῆ ἐπὶ τὸν ὑποκείμενον αὐλῶνα. ἐλθὼν δ' ἐπὶ τὸ ἀρχεῖον ἅπαντα φράζει. καὶ τὸν μὲν ἐπιβουλεύσαντα οἱ Ἐφέσιοι ἐλεγχθέντα καὶ τὸν χρυσὸν κατορωρυγμένον καὶ ἄκοντα ἐπιδείξαντα τιμωροῦνται, τῷ δ' ἠδικημένῳ τὴν ἡμίσειαν τοῦ χρυσοῦ νεί-
15 μαντες τὴν ἑτέραν ἡμίσειαν ἱερὰν ἀπέφηναν Ἀρτέμιδι καὶ Ἀπόλλωνι. ὁ δὲ διασωθεὶς καὶ τῷ χρυσίῳ τιμηθεὶς ποιμὴν τῶν τε πάνυ πλουσίων ἐγένετο, καὶ βωμὸν ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ ὄρους Ἀπόλλωνος εἵσατο, γυπαιέως εἰς μνημεῖον τῶν συνενεχθέντων ὀνομάσας.

20 XXXVI. Ἡ λς', ὡς Φιλόνομος ὁ Σπαρτιάτης προδοὺς Λακεδαίμονα Δωριεῦσι δῶρον ἔχει Ἀμύκλας, καὶ συνοικίζει ταύτην ἐξ Ἴμβρου καὶ Λήμνου. τρίτῃ δὲ γενεᾷ στασιάσαντες πρὸς Δωριέας μετανίστανται Ἀμυκλῶν, συμπαραλαβόντες δὲ καί τινας Σπαρτιατῶν, ἡγουμένων αὐτοῖς Πόλιδος
25 καὶ Δελφοῦ, ἔπλεον ἐπὶ τῆς Κρήτης. ἐν τῷ παράπλῳ δὲ τοῦδε τοῦ στόλου Μῆλον ἀπόδασμος οἰκίζει, καὶ τὸ τῶν Μηλιέων γένος ἐνθένδε οἰκειοῦται Σπαρτιάτας. οἱ δὲ λοιποὶ ἅπαντες Γόρτυναν μηδενὸς εἴργοντος λαβόντες ταύτην ἅμα τῶν περιοίκων Κρητῶν συνοικίζουσιν.

30 XXXVII. Ἡ λζ', ὡς ἀπὸ Θάσου τοῦ Κάδμου ἀδελφοῦ Θάσος ἡ νῆσος ὠνομάσθη· ἐκεῖ γὰρ αὐτὸν ὁ ἀδελφὸς, δοὺς τοῦ στρατοῦ μοῖραν, ἀπολείπει. καὶ ὡς Κάδμος ὑπὸ τοῦ

1. ἐκέλευεν A. ‖ 2. διαφθείρων vulg. ‖ ἑταῖρον corr. A. ‖ 3. τῆς Kannius: τινος libri. ‖ 18. εἵσατο] ἐδωμήσατο corr. A. ‖ 24. ἡγουμένου Kannius. ‖ 26. τοῦδε add. A. ‖ Πηλιέων vulg. ‖ 27. ἐνθένδε Heynius: libri ἐνθάδε. ‖ Σπαρτιᾶται vulg.: cf. Holsten. ad Steph. B. p. 207. ‖ 29. τοῖς περιοίκοις Κρησὶ vulg. ‖

Φοινίκων βασιλέως, μέγα καὶ αὐτὸς δυνάμενος παρὰ Φοίνιξιν, ἐπὶ τὴν Εὐρώπην σταλείη. οἱ δὲ Φοίνικες τότε μέγα τε, ὡς λόγος, ἴσχυον, καὶ πολλὴν τῆς Ἀσίας καταστρεψάμενοι τὸ βασίλειον ἐν Θήβαις ταῖς Αἰγυπτίαις εἶχον. σταλῆναι δὲ Κάδμον οὐχ ὡς Ἕλληνές φασι κατὰ ζήτησιν Εὐρώπης, ἣν παῖδα Φοίνικος οὖσαν ἥρπασε Ζεὺς ἐν σχήματι ταύρου, ἀλλ' ἀρχὴν μὲν ἰδίαν ἐν Εὐρώπῃ μηχανώμενον πλάττεσθαι ἀδελφῆς ἡρπασμένης ποιεῖσθαι ζήτησιν, ἐξ οὗ καὶ ὁ τῆς Εὐρώπης μῦθος ἧκεν εἰς Ἕλληνας. περιπλέων δὲ τὴν Εὐρώπην τὸν μὲν ἀδελφὸν Θάσον, ὡς εἴρηται, τῇ νήσῳ λείπει, αὐτὸς δ' εἰς Βοιωτίαν πλεύσας ἄνεισι πρὸς τὰς νῦν καλουμένας Θήβας, καὶ σὺν τῇ δυνάμει περιτειχίσας τὸ χωρίον Θήβας ἀπὸ τῆς οἰκείας ἐπωνόμασε πατρίδος. τῶν δὲ Βοιωτῶν εἰς μάχην αὐτοῖς συμπλακέντων ἡττῶνται Φοίνικες, εἶτα κρατοῦσιν ἐνέδραις καὶ προλοχισμοῖς καὶ τῇ ἀήθει τῶν ὅπλων ὄψει· κράνος γὰρ καὶ ἀσπὶς οὔπω τοῖς Ἕλλησιν ἔγνωστο. καὶ κρατεῖ Κάδμος τῆς Βοιωτῶν γῆς, καὶ φυγόντων τῶν διασωθέντων ἐπὶ τὰς οἰκείας πόλεις οἰκίζει Φοίνικας ἐν Θήβαις, καὶ τὴν Ἄρεως καὶ Ἀφροδίτης Ἁρμονίαν γαμεῖ. Βοιωτοῖς δὲ πρὸς τὴν ἔκπληξιν τῶν ὅπλων καὶ τῶν προλοχισμῶν καὶ τῆς ἐνέδρας δόξα παρέστη αὐτοῖς ὅπλοις ἀνεῖναι τῆς γῆς τοὺς ἄνδρας, καὶ σπαρτοὺς ὡς ἐκ τοῦ χωρίου φύντας αὐτοὺς ἐκάλεσαν. περὶ μὲν Κάδμου καὶ Θηβῶν οἰκίσεως οὗτος ὁ ἀληθὴς λόγος, τὸ δ' ἄλλο μῦθος καὶ γοητεία ἀκοῆς.

XXXVIII. Ἡ λή, ὡς Μιλήσιός τις ἀνὴρ, τῆς πατρίδος αὐτῷ ὑπὸ Ἁρπάγου τοῦ Κύρου ἐν κινδύνῳ οὔσης, εἰς τὸ ἐν Σικελίᾳ Ταυρομένιον ἀπαίρει, κἀκεῖ φίλῳ τινὶ τραπεζίτῃ παραθέμενος τὸ χρυσίον οἴκαδ' ἔπλει. εἶτα δεδούλωτο μὲν Μίλητος Κύρῳ, δεινὸν δ' οὐδὲν ἄλλο ὧν ὑφεωρᾶτο ἐπεπόνθει· καὶ ὁ Μιλήσιος ἧκεν εἰς Ταυρομένιον ἀνακομισόμενος τὴν παρακαταθήκην. ὁ δὲ λαβὼν ὁμολογεῖ μὲν λαβεῖν, διε-

2. τε] τε Unger. Theb. parad. I. p. 71. ‖ 7. μηχανούμενον vulg. ‖ 11. πρὸς A, καὶ vulg. ‖ 16. γὰρ A, δὲ vulg. ‖ τοῖς ἕλλησιν A, αὐτοῖς vulg. ‖ 19. Ἄρεος vulg. ‖ 21. τὴν γῆν Heynius, probat Bekkerus, nisi legendum ἀνιέναι i. e. prodire. ‖ 23. μὲν οὖν K. vulg. ‖ οἰκήσεως A. ‖ 26. Κύρου] στρατηγοῦ aut simile quid desiderare censuit Kannius. ‖ 27. ἀπῆκε vulg. ‖ 29. ὑφωρᾶτο vulg. ‖ 30. ἀνακομισάμενος vulg. ‖

τείνετο δ' ἀποδεδωκέναι. ὡς δὲ μετὰ πολλὴν ἔριν καὶ λογομαχίαν ὁ Μιλήσιος εἰς ὅρκον τὸν ἀδικοῦντα προὐκαλεῖτο, ὁ τραπεζίτης μηχανᾶται τοιόνδε. νάρθηκα κοιλάνας καθάπερ αὐλὸν καὶ συντήξας τὴν παραθήκην τῷ νάρθηκι ἐγχεῖ καὶ
5 ἀσφαλίζεται· ἐπὶ δὲ τὸν ὅρκον ἰών, κατέχων ὡς βακτηρίαν προφάσει ποδῶν ἀσθενείας, τῷ νάρθηκι ἐπηρείδετο· μέλλων δ' ὀμνύειν πλησίον ἑστῶτι τῷ Μιλησίῳ, ὡς αὐτίκα πάλιν ἀναληψόμενος τὸν νάρθηκα ἐπιδίδωσιν. ὡς δὲ τὰς χεῖρας ἀνασχὼν κατώμνυτο τὴν παρακαταθήκην ἀποδοῦναι τῷ παραθεμένῳ,
10 περιπαθήσας ὁ Μιλήσιος ῥίπτει τὸν νάρθηκα, ἔρρειν ἅμα ἀνακραγὼν τὴν ἐν ἀνθρώποις πίστιν. καὶ ὁ νάρθηξ ἐρρήγνυτο, καὶ περιφανὲς ἦν πρὸς τὴν ὄψιν τοῦ χρυσίου τὸ σόφισμα τῆς ψευδορκίας. καὶ ὁ μὲν Μιλήσιος τὸ ἴδιον εἶχεν, ὁ δὲ τραπεζίτης ὑπ' αἰδοῦς καὶ τοῦ κακίζεσθαι πρὸς ἁπάντων
15 βρόχῳ τοῦ ζῆν ἑαυτὸν ἐξάγει.

XXXIX. Ἡ λθ', ὡς Μέλανθος γένος μὲν ἦν τῶν Νηλειδῶν, οἳ Πύλου καὶ Μεσσήνης ἀπὸ Ποσειδῶνος ἐβασίλευον. τοῦτον ἀναστήσαντες Ἡρακλεῖδαι πολέμῳ τὴν γῆν ἔσχον· ὁ δὲ κατὰ χρησμοὺς Ἀθήναζε ἀφικνεῖται, καὶ πολίτης γίνεται,
20 καὶ ἦν τῶν τιμωμένων. Ἀθηναίοις δὲ καὶ Βοιωτοῖς πόλεμος ὑπὲρ Οἰνόης συνίστατο, καὶ ἐδόκει ἐν τῇ τῶν βασιλέων μονομαχίᾳ τὴν κρίσιν εἶναι. Θυμοίτης μὲν οὖν βασιλεὺς Ἀθηναίων ἐδεδοίκει τὸν ἀγῶνα, καὶ ἐξίστατο τῆς βασιλείας τῷ βουλομένῳ διακινδυνεῦσαι πρὸς Ξάνθον, ὃς ἐβασίλευσε Βοιω-
25 τῶν. καὶ Μέλανθος ἐπ' ἄθλῳ τῆς βασιλείας ὑπέρχεται τὸν ἀγῶνα, καὶ προβαίνουσιν αἱ συνθῆκαι. ἐπεὶ δ' εἰς μάχην ἦκον, καθορᾷ ὁ Μέλανθος φάσμα τι τῷ Ξάνθῳ ἄνδρα ἑπόμενον ἀγένειον. ὡς δ' ἀνεβόησε μὴ δίκαια ποιεῖν παρὰ τὰς συνθήκας ἐπαγόμενον βοηθόν, μετεστράφη ὁ Ξάνθος πρὸς
30 τὸ ἄπιστον τοῦ λόγου ἐκπλαγείς· καὶ αὐτὸν εὐθὺς ὁ Μέλανθος τῷ δόρατι βαλὼν κτείνει, καὶ τήν τε Οἰνόην Ἀθηναίοις καὶ ἑαυτῷ τὴν βασιλείαν ἑνὶ περιεποιήσατο ἀγωνίσματι. τὸ μὲν δὴ τῶν Ἐρεχθειδῶν γένος εἰς τοὺς Μελανθίδας, ὧν ἦν

4. παρακαταθήκην vulg. ‖ τῷ] τῇ A. ‖ 5. ἰὼν καὶ κατ. vulg. ‖ 6. προφ. τῆς τῶν ποδῶν vulg. ‖ 9. περιθεμένῳ vulg. ‖ 16. ὡς om. A. ‖ Νηλειδῶν Leichius diatr. in Phot. p. IX: libri ἠλίδων. ‖ 25. τῇ βασιλείᾳ maluit Bekkerus. ‖ 26. καὶ δὴ vulg. ‖ 29. ἐπαγόμενος A. ‖ 33. ἐρεχθίδων A, vulg. Ἐρεχθούντων.

καὶ Κόδρος, ἀπὸ τούτου μετέστη· Ἀθηναῖοι δ' ὕστερον Διονύσῳ Μελανθίδῃ κατὰ χρησμὸν ἱερὸν ἱδρυσάμενοι θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ τῷ ἀπατουρίῳ Διὶ ἱερὰ ἀνάπτοντες, ὅτι αὐτοῖς ἐκ τῆς ἀπάτης ἀγώνισμα ἐγένετο.

XL. Ἡ μ' ἱστορία τὰ περὶ Ἀνδρομέδας ἱστορεῖ ἑτέρως ἢ ὡς ὁ Ἑλλήνων μῦθος. ἀδελφοὺς μὲν γὰρ δύο γενέσθαι Κηφέα καὶ Φινέα, καὶ εἶναι τὴν τοῦ Κηφέως βασιλείαν τότε ἐν τῇ μετονομασθείσῃ μὲν ὕστερον Φοινίκῃ, τηνικαῦτα δ' Ἰόππῃ ἀπὸ Ἰόππης τῆς ἐπιθαλασσιδίου πόλεως τοὔνομα λαβούσῃ· καὶ ἦν τὰ τῆς ἀρχῆς ὅρια ἀπὸ τῆς καθ' ἡμᾶς θαλάσσης μέχρι Ἀράβων τῶν πρὸς τὴν ἐρυθρὰν θάλασσαν ᾠκημένων. εἶναι δὲ τῷ Κηφεῖ καὶ θυγατέρα πάνυ καλὴν Ἀνδρομέδαν, καὶ αὐτὴν μνᾶσθαι Φοίνικά τε καὶ τὸν ἀδελφὸν Κηφέως Φινέα. Κηφεὺς δὲ μετὰ πολλοὺς τοὺς ἐφ' ἑκατέρῳ λογισμοὺς ἔγνω δοῦναι μὲν Φοίνικι, ἁρπαγῇ δὲ τοῦ μνηστῆρος τὸ αὐτοῦ ἑκούσιον ἀποκρύπτειν· καὶ ἁρπάζεται ἀπό τινος νησῖδος ἐρήμου ἡ Ἀνδρομέδα, ἐν ᾧ εἰώθει ἀπιοῦσα θυσίας τῇ Ἀφροδίτῃ θύειν. Φοίνικος δ' ἁρπάσαντος νηὶ (κῆτος δ' αὕτη ἐκαλεῖτο, ἢ μίμησιν ἔχουσα τοῦ ζώου ἢ καὶ κατὰ τύχην) ἡ Ἀνδρομέδα, ὡς κατὰ ἄγνοιαν τοῦ πατρὸς ἁρπαζομένη, ἀνωλοφύρατό τε καὶ μετ' οἰμωγῆς τοὺς βοηθήσοντας ἀνεκαλεῖτο. Περσεὺς δ' ὁ Δανάης κατὰ δαίμονα παραπλέων κατίσχει, καὶ πρὸς τὴν πρώτην ὄψιν τῆς κόρης οἴκτῳ καὶ ἔρωτι συσχεθεὶς τό τε πλοῖον, τὸ κῆτος, διαφθείρει καὶ τοὺς ἐμπλέοντας ὑπὸ ἐκπλήξεως μόνον οὐχὶ λιθωθέντας ἀναιρεῖ. καὶ τοῦτο Ἕλλησι τὸ τοῦ μύθου κῆτος καὶ οἱ παγέντες εἰς λίθους ἄνθρωποι τῆς Γοργόνος τῇ κεφαλῇ. ἄγεται δ' οὖν γυναῖκα τὴν Ἀνδρομέδαν, καὶ οἴχεται αὐτὴ συμπλέουσα εἰς τὴν Ἑλλάδα τῷ Περσεῖ, καὶ βασιλεύοντος τὸ Ἄργος οἰκεῖται.

XLI. Ἡ Ἴω, ὡς Ἄνανδρον ᾤκησαν Πελασγοί, ἀλλ' ὡς μὲν ἔνιοί φασι, δόντος αὐτοῖς Ἀσκανίου λύτρον ἀνθ' αὐτοῦ, ἐπεὶ ἐκείνῳ συνελήφθη ὑπ' αὐτῶν, καὶ ἀπολυθέντος·

2. μελανθίδι A. ‖ 6. ἢ] ἢ καὶ A. ‖ γενέσθαι A, vulg. γ. φασὶ. ‖ 9. δ' ἰόππα A, δι' ὄπα vulg.: δ' Ἰοπίᾳ Heynius. ‖ ἀπὸ] ὃ ἀπὸ A. ‖ λαβούσης A. ‖ 12. Ἀνδρομέδην vulg. et sic infra. ‖ 19. καὶ om. A. ‖ 24. τε libri, et sic corr. Heynius, δὲ vulg. ‖ ἐμπλέοντας A, ἐμπεσόντας vulg. ‖ 27. τῆς add. A. ‖

διὸ καὶ Ἀνταν̓δρος, ὅτι ἀντὶ ἑνὸς ἀνδρὸς ἔλαβον πόλιν. ὁ δ' Ἀσκάνιος υἱὸς μὲν ἦν Αἰνείου, μετὰ δὲ Τροίας ἅλωσιν ἐβασίλευσεν Ἴδης. οἱ δέ φασιν ἐντεῦθεν οἰκῆσαι Πελασγοὺς Ἀνταν̓δρον. Ἀπόλλωνος καὶ Κρεούσης Ἄνιος γίνεται παῖς, 5 τοῦ δὲ Ἄνδρος, ὃς μίαν οἰκήσας τῶν νήσων τὸ ὄνομα λείπει τῇ νήσῳ, κατὰ στάσιν δ' ἐκεῖθεν ἐκπεσών, καὶ χωρίον ἰδὼν ὑπὸ τὴν Ἴδην παραπλήσιον Ἄνδρῳ, πολίζει τὸ χωρίον καὶ Ἀνταν̓δρον πρὸς τὴν ὁμοιότητα ὀνομάζει. τὴν δ' Ἄνδρον ἔρημον οὖσαν λαὸς Πελασγῶν ἐσῳκίσατο. καὶ ἡ Κύζικος 10 δὲ Πελασγοὺς ἔσχεν οἰκήτορας· καὶ γὰρ Κύζικος ὁ Ἀπόλλωνος, Πελασγῶν τῶν ἐν Θεσσαλίᾳ βασιλεύων, ὑπὸ Αἰολέων μετὰ Πελασγῶν ἐκπεσὼν τὴν χερρόνησον τῆς Ἀσίας πολίζει, δοὺς αὐτῇ καὶ τοὔνομα. καὶ ηὐξήθη ἐκ ταπεινῆς Κυζίκῳ εἰς μέγα ἡ ἀρχή, ἀφ' οὗ Κλείτην τὴν Μέροπος, ὃς τῶν περὶ 15 Ῥυνδακὸν χωρίων ἐβασίλευε, γυναῖκα ἠγάγετο. οἱ δὲ μετὰ Ἰάσονος ἐπὶ τὸ δέρας ἰόντες κατίσχουσι πρὸς τὴν Κύζικον τῇ Ἀργοῖ, καὶ μαθόντες οἱ Πελασγοὶ Θεσσαλίδα τὴν ναῦν κατὰ μῆνιν τῆς ἐκβολῆς νυκτὸς ἐμάχοντο τῇ Ἀργοῖ. Κύζικον δὲ λῦσαι τὴν μάχην ἐπιστάντα ἀγνοῶν Ἰάσων κτείνει, 20 πεσόντων καὶ ἄλλων Πελασγῶν. καὶ ἡ μὲν Ἀργὼ ἔπλει ἐπὶ Κόλχους, οἱ δὲ τότε μὲν ὑπερηχθέσθησαν ἐπὶ τῇ τοῦ βασιλέως τελευτῇ, καὶ τοῖς παρ' αὐτοῖς δυνατοῖς τὰ τῆς πόλεως ἐπεχείρισαν (οὐδὲ γὰρ ἦν παῖς Κυζίκῳ διάδοχος), ὕστερον δὲ ὑπὸ Τυρρηνῶν Κυζίκου μετανέστησαν, καὶ Τυρρηνοὶ τὴν 25 χερρόνησον ἔσχον. καὶ τούτους Μιλησίων μοῖρα μάχῃ νικήσαντες αὐτοὶ Κύζικον ᾤκησαν.

XLII. Ἡ μβ', ὡς Γέλων ὁ Σικελιώτης τυραννίδι ἐπιθέσθαι διανοούμενος Ἱμεραίων ἐθεράπευε τὸν δῆμον, καὶ κατὰ τῶν δυνατῶν ὑπερεμάχει, καὶ αὐτὸν ἠγάπα τὸ πλῆθος, 30 καὶ φυλακὴν τοῦ σώματος αἰτοῦντι ὡρμᾶτο διδόναι. Στησίχορος δ' ὁ Ἱμεραῖος ποιητὴς ὑποτοπήσας ἐπιχειρεῖν αὐτὸν τυραννίδι, στὰς αἶνον ἔλεξεν εἰς τὸ πλῆθος, εἰκόνα τοῦ μέλλοντος πάθους. ἵππος, φησί, νεμόμενος ἐφοίτα πιούμενος

1. ὁ A, ὡς vulg. ‖ 3. οἰκίσαι A. ‖ 4. παῖς A, παρὰ vulg. ‖ 6. καὶ τὸ χωρίον A. ‖ 9. ἐσοικίσατο A, εἰσῳκήσατο vulg. ‖ 14. τὴν om. vulg. ‖ 15. μετὰ add. A. ‖ 30. ὥρμητο corr. ‖

ἐπὶ κρήνην, ἵλαφος δὲ τὸ πεδίον διαθέουσα τήν τε πόαν κατέστειβε καὶ τὸ νᾶμα ἐτάραττε. καὶ ὁ ἵππος ποθῶν τὴν ἀδικοῦσαν τεμωρῆσαι, τάχει δὲ ποδῶν λειπόμενος, ἄνδρα κυνηγέτην βοηθὸν ἐκάλει· ὁ δέ, εἰ χαλινὸν δέξοιτο καὶ ἀναβάτην, ῥᾷστα ἀμύνειν αὐτῷ ὑπισχνεῖτο. καὶ ἐγίνετο οὕτως. καὶ 5 ἡ μὲν ἵλαφος ἀκοντίοις ἔκειτο βληθεῖσα, ὁ δ' ἵππος ᾤθετο δεδουλωμένος τῷ κυνηγέτῃ. τοῦτ', ἔφη, δέδοικα καὶ αὐτός, ὦ Ἱμεραῖοι, μὴ νῦν δῆμος ὄντες τῶν ἐχθρῶν μὲν διὰ Γέλωνος περιγένησθε, αὐτοὶ δ' ὕστερον Γέλωνι δουλεύσητε· φιλεῖν γὰρ ἅπασαν τὴν δύναμιν τῷ λαβόντι ἐπὶ τὸν δόντα εἶναι, 10 ὅταν ὥσπερ δοῦναι αὐτὴν μηκέτι ἐκ τοῦ ὁμοίου κομίσασθαι ἔχῃ.

XLIII. Ἡ μγ', οἱ τῆς Αἴτνης τοῦ πυρὸς κρατῆρες ἀνέβλυσάν ποτε ποταμοῦ δίκην φλόγα κατὰ τῆς χώρας, καὶ Καταναίοις (πόλις δ' Ἑλλὰς ἐν Σικελίᾳ ἡ Κατάνη) ἔδοξε παντελῆς ἔσεσθαι φθορὰ τῆς πόλεως, καὶ ταύτης φεύγοντες ὡς 15 εἶχον τάχους οἱ μὲν χρυσόν, οἱ δὲ ἄργυρον ἔφερον, οἱ δὲ ὅ τι ἄν τις βούλοιτο ἐπικούρημα τῆς φυγῆς. Ἀναπίας δὲ καὶ Ἀμφίνομος ἀντὶ πάντων τοὺς γονεῖς γηραιοὺς ὄντας ἐπὶ τοὺς ὤμους ἀναθέμενοι ἔφευγον· καὶ τοὺς μὲν ἄλλους ἡ φλὸξ ἐπι- 20 καταλαβοῦσα ἔφθειρεν, αὐτοὺς δὲ περιεσχίσθη τὸ πῦρ, καὶ ὥσπερ νῆσος ἐν τῇ φλογὶ πᾶς ὁ περὶ αὐτοὺς χῶρος ἐγένετο. διὰ ταῦτα οἱ Σικελιῶται τόν τε χῶρον ἐκεῖνον εὐσεβῶν χώρεον ἐκάλεσαν, καὶ λιθίνας εἰκόνας ἐν αὐτῷ τῶν ἀνδρῶν μνημεῖα θείων τε ἅμα καὶ ἀνθρωπίνων ἔργων ἀνέθεσαν. 25

XLIV. Ἡ μδ' ἱστορία φησὶν ὡς Λεωδάμας καὶ Φίτρης ἤρισαν ὑπὲρ τῆς Μιλησίων βασιλείας, γένους ἄμφω ὄντες βασιλείου. τὸ κοινὸν δὲ τῇ ἐκείνων κακούμενοι στάσει τῆς μὲν φιλονεικίας μετὰ πολλὰ πάθη ἐξίσταντο, ἔκριναν δ' ἐκεῖνον βασιλεύειν, ὃς Μιλησίους πλείω ἀγαθὰ ἐργάσοιτο. ἦσαν 30 δ' αὐτοῖς τότε δύο πόλεμοι Καρυστίοις καὶ Μηλιεῦσι. καὶ πρὸς μὲν Μῆλον (αὐτῷ γὰρ ὁ κλῆρος τοῦτον ἐδίδου τὸν πό-

1. διελθοῦσα vulg. ‖ 3. κυναγέτην A. ‖ 6. ἔκειτο om. vulg. ‖ 7. καὶ add. A ‖ 9. φιλεῖν Kannius: libri φίλην. ‖ 11. κομίσαι vulg. ‖ 12. ἔχοι A. ‖ 16. ἀπὸ quod vulg. erat ante ταύτης om. A. ‖ 23. χῶρον cum Lycurg. §. 96 maluit Bekkerus. ‖ 24. ἀνδρῶν τῷ μνημείῳ vulg., μνημεῖον Heynius. ‖ 28. κακούμενον Kannius, τοῦ κοινοῦ — κακουμένου Heynius. ‖

λεμον) Φίτρης στρατεύσας ἄπρακτος ἀναστρέφει· Λεωδάμας δὲ λαμπρῶς κατὰ Καρυστίων ἀνδραγαθήσας καὶ κατὰ κράτος ἑλὼν τὴν πόλιν καὶ ἀνδραποδισάμενος, Μιλήτου ἐπανιὼν κατὰ τὰ συγκείμενα βασιλεύει. αἰχμάλωτον δὲ κατὰ χρησ-
5 μὸν γυναῖκα Καρυστίαν, παῖδα φέρουσαν ὑπομάσθιον, μετὰ πολλῶν καὶ ἄλλων ἀναθημάτων, ἃ δεκάτη τῶν λαφύρων ἐτύγχανον, ἀνέπεμψεν ἐν Βραγχίδαις. αὐτὸς δὲ τότε Βράγχος προὐστήκει τοῦ τε ἱεροῦ καὶ τοῦ μαντείου, ὃς τήν τε αἰχμάλωτον γυναῖκα ἐνόμισε καὶ τὸν παῖδα αὐτῆς ἔθετο. ηὔ-
10 ξανε δ' ὁ παῖς οὐ κατὰ λόγον, ἀλλὰ θείᾳ τινὶ τύχῃ, καὶ πλέον ἢ πρὸς τὴν ἡλικίαν ἀπήντα τὸ εὐσύνετον. ποιεῖται δ' αὐτὸν ὁ Βράγχος καὶ ἄγγελον τῶν μαντευμάτων, Εὐάγγελον ὀνομάσας. οὗτος ἡβήσας τὸ Βράγχου μαντεῖον ἐξεδέξατο, καὶ ἀρχὴ γένους Εὐαγγελιδῶν παρὰ Μιλησίοις ἐγένετο.

15 XLV. Ἡ μέ', ὡς Ὀρφεύς, ὁ Οἰάγρου καὶ Καλλιόπης μιᾶς τῶν Μουσῶν, ἐβασίλευε Μακεδόνων καὶ τῆς Ὀδρυσίδος, ἐπετήδευε δὲ μουσικὴν καὶ μάλιστα κιθαρῳδίαν· καὶ (φιλόμουσον γὰρ τὸ Θρᾳκῶν καὶ Μακεδόνων γένος) ἤρεσκεν ἐν τούτοις διαφερόντως τῷ πλήθει. κατέσχε δὲ δόξα ὡς εἰς
20 Ἅιδου κατάβοι ἔρωτι τῆς γυναικὸς Εὐρυδίκης, καὶ ὡς τὸν Πλούτωνα καὶ τὴν Κόρην ᾠδαῖς γοητεύσας δῶρον λάβοι τὴν γυναῖκα· ἀλλ' οὐ γὰρ ὄνασθαι τῆς χάριτος ἀναβιωσκομένης, λαθόμενον τῶν περὶ αὐτῆς ἐντολῶν. οὕτω δὲ θέλγειν καὶ κατακηλεῖν αὐτὸν ᾠδαῖς εἶναι σοφόν, ὡς καὶ θηρία καὶ
25 οἰωνοὺς καὶ δὴ καὶ ξύλα καὶ λίθους συμπεριενοστεῖν ὑφ' ἡδονῆς. τελευτῷ δὲ διασπασαμένων αὐτὸν τῶν Θρᾳκίων καὶ Μακεδόνων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων, τάχα μὲν καὶ κατ' ἄλλας προφάσεις· φασὶ δ' οὖν αὐτὸν δυστυχήσαντα περὶ γυναῖκα πᾶν ἐχθῆραι τὸ γένος. ἐφοίτα
30 μὲν οὖν τακταῖς ἡμέραις ὡπλισμένον πλῆθος Θρᾳκῶν καὶ Μακεδόνων ἐν Λιβήθροις, εἰς οἴκημα ἓν συνερχόμενον μέγα τε καὶ πρὸς τελετὰς εὖ πεποιημένον· ὁπότε δ' ὀργιάζειν εἰσίασι, πρὸ τῶν πυλῶν ἀπετίθεσαν τὰ ὅπλα. ὃ αἱ γυναῖκες ἐπιτηρήσασαι καὶ τὰ ὅπλα ἁρπασάμεναι ὑπ' ὀργῆς τῆς διὰ τὴν

4. δὲ om. A. ‖ 5. ὑπομάζιον vulg. ‖ 9. ἐκόμισε Scholtus. ‖ 20. καταβῇ vulg. ‖ 26. Θρᾳκῶν vulg. ‖ 27. οὐ om. pr. m. A. ‖ 31. ἓν add. A. ‖

ἀτιμίαν τούς τε προσπίπτοντας κατειργάσαντο, καὶ τὸν Ὀρφέα κατὰ μέλη ἔρριψαν εἰς τὴν θάλασσαν σποράδην. λοιμῷ δὲ τῆς χώρας, ὅτι μὴ ἀπητήθησαν δίκην αἱ γυναῖκες, κακουμένης δεόμεναι λωφῆσαι τὸ δεινὸν ἔλαβον χρησμόν, τὴν κεφαλὴν τὴν Ὀρφέως ἣν ἀνευρόντες θάψωσι, τυχεῖν ἀπαλλαγῆς. καὶ μόλις αὐτὴν περὶ τὰς ἐκβολὰς τοῦ Μέλητος δι' ἁλιέως ἀνεῦρον ποταμοῦ, καὶ τότε ᾖδουσαν καὶ μηδὲν παθοῦσαν ὑπὸ τῆς θαλάσσης, μηδέ τι ἄλλο τῶν ὅσα κῆρες ἀνθρώπιναι νεκρῶν αἴσχη φέρουσιν, ἀλλ' ἐπακμάζουσαν αὐτὴν καὶ ζωικῷ καὶ τότε αἵματι μετὰ πολὺν χρόνον ἐπανθοῦσαν. λαβόντες οὖν ὑπὸ σήματι μεγάλῳ θάπτουσι, τέμενος αὐτῷ περιείρξαντες, ὃ τέως μὲν ἡρῷον ἦν, ὕστερον δ' ἐξενίκησεν ἱερὸν εἶναι· θυσίαις τε γὰρ καὶ ὅσοις ἄλλοις θεοὶ τιμῶνται γεραίρεται. ἔστι δὲ γυναιξὶ παντελῶς ἄβατον.

XLVI. Ἡ μς', ὡς Τροίας πορθουμένης ὑπεκτίθεται Πρίαμος εἰς Λυδίαν δύο παῖδας Ἕκτορος, Ὀξύνιον καὶ Σκάμανδρον. ἐπεὶ δὲ τὸ Ἴλιον ἥλω, Αἰνείας, ὁ Ἀγχίσου καὶ Ἀφροδίτης, διαφυγὼν τοὺς Ἀχαιοὺς τὸ μὲν πρῶτον ᾤκει τὴν Ἴδην, Ὀξυνίου δὲ καὶ Σκαμάνδρου ἐπανελθόντων ἀπὸ Λυδίας καὶ ὡς πατρῴας λήξεως μεταποιουμένων τῶν περὶ τὸ Ἴλιον τόπων, ἐναλαβὼν Ἀγχίσην τὸν πατέρα καὶ ὅσους δύναιτο τῶν συμφυγάδων πρὸς ἥλιον ἀνίσχοντα ᾤχετο κατὰ Ἀφροδίτης ἐπίσκηψιν. διαβὰς οὖν τὸν Ἑλλήσποντον καὶ ἀφικόμενος εἰς Θερμὸν καλούμενον κόλπον, Ἀγχίσην μὲν ἀποθανόντα θάπτει, αὐτὸς δὲ τῶν ἐπιχωρίων δεομένων ὥστε βασιλεύειν αὐτῶν οὐκ ἐδέξατο. εἶτα εἰς τὴν Βρουσιάδα γῆν ἔρχεται. πᾶσι δ' ἦν ἐφίμερος οἷς ἐντυγχάνοι κατὰ χάριν τῆς Ἀφροδίτης. ἐνταῦθα μυκησαμένης τῆς συνεπομένης αὐτῷ βοὸς ἐξ Ἴδης (τοῦτο γὰρ Ἀφροδίτη ἐπέσκηψε) λαμβάνει τὸ κράτος τῆς γῆς διδόντων τῶν ἐπιχωρίων, καὶ τὴν βοῦν θύει Ἀφροδίτῃ, καὶ κτίζει πόλιν, ἣ τότε μὲν Αἴνεια ἀπὸ τοῦ κτίσαντος, ὕστερον δὲ παρενεγκόντος τοῦ ὀνόματος Αἶνος ἐκλήθη.

5. κεφ. τοῦ Ὀ. ἣν ἂν εὑρόντες vulg. ‖ 10. καὶ τότε add. A. ‖ 13. ἄλλοις om. pr. m. A. ‖ 19. ἐλθόντων A. ‖ 22. κατίσχοντα Tafel. Thessalon. p. 10. ‖ 24. ἀφικούμενος vulg. ‖ Θερμαῖον Tafel. ‖ 26. Κρουσιάδα vel Κρουσίδα Tafel. ‖ 30. τὴν om. vulg. ‖ 31. τοῦ μὲν κτ. vulg. ‖ 32. παρενεχθέντος Tafel. ‖

λόγος μὲν οὖν εἷς οὗτος ὑπὸ Ἑλλήνων ἐπὶ πολλοῖς ἄλλοις λέγεται· ὁ δὲ τὸ Ῥωμαῖον γένος εἰς αὐτὸν ἀναφέρων καὶ οἰκιστὴν ποιῶν Ἄλβας, καὶ τὸ χρηστήριον ὃ κατοικεῖν ἐπέτρεπεν ὁπότ' ἂν αὐτὸς ἅμα τῶν σὺν αὐτῷ θύσας μετὰ τῶν σιτίων καταφάγοι καὶ τὰς τραπέζας, οὗτος κατημάξευται.

XLVII. Ἡ μζ', ὡς Ἀλθαιμένης, τοῦ Ἡρακλειδῶν γένους τρίτη γενεὰ ἀπὸ Τημένους, στασιάζει πρὸς τοὺς ἀδελφοὺς (νεώτατος δ' ἦν) καὶ μετανίσταται Πελοποννήσου, στρατὸν Δωριέων ἔχων καί τινας Πελασγῶν. ἔστελλον δὲ καὶ Ἀθηναῖοι τότε τὴν σὺν Νειλέῳ τε καὶ τοῖς Κοδρίδαις ἀποικίαν· ὁμοίως δὲ καθ' ἑαυτοὺς καὶ Λακεδαιμόνιοι τὸν Φιλονόμου λαὸν ἀπῴκιζον, ὧν ἡγεῖτο Δελφὸς ὄνομα καὶ Πόλις. ἑκάτεροι οὖν παρεκάλουν Ἀλθαιμένην συμμετέχειν αὐτοῖς τοῦ ἔργου, οἵ τε Δωριεῖς τοῦ ἐπὶ Κρήτην πλοῦ, ἅτε καὶ αὐτὸν Δωριέα ὄντα, οἵ τε Ἴωνες εἰς τὴν Ἀσίαν μετὰ σφῶν περαιωθῆναι. τῷ δ' οὐδετέροις ἐδόκει συμπλεῖν, ἀλλὰ κατὰ τὸν δοθέντα αὐτῷ χρησμὸν ἐπὶ Δία καὶ Ἥλιον κομίζεσθαι, καὶ παρ' αὐτῶν αἰτεῖν εἰς κατοίκησιν γῆν· εἶναι δὲ Διὸς μὲν Κρήτην, Ἡλίου δὲ Ῥόδον. ἀναγόμενος οὖν ἐκ Πελοποννήσου προσίσχει πρὸς τὴν Κρήτην, καὶ μέρος τοῦ λαοῦ τοὺς βουλομένους αὐτόθι οἰκεῖν καταλείπει· αὐτὸς δὲ τοὺς πλείους ἔχων Δωρικὸν ἔπλει ἐπὶ Ῥόδον. τὴν δὲ Ῥόδον τὸ μὲν ἀρχαῖον λαὸς αὐτόχθων ἐνέμοντο, ὧν ἦρχε τὸ Ἡλιάδων γένος, οὓς Φοίνικες ἀνέστησαν καὶ τὴν νῆσον ἔσχον· Φοινίκων δ' ἐκπεσόντων Κᾶρες ἔσχον, ὅτε καὶ τὰς ἄλλας νήσους τὰς περὶ τὸ Αἰγαῖον ᾤκησαν. οἷς ἐπιπλεύσαντες οἱ Δωριεῖς, πολέμῳ τὸ Καρικὸν καταστρεψάμενοι τρεῖς πόλεις ἔκτισαν, Λίνδον, Ἰήλυσον καὶ Κάμειρον. οἱ μὲν οὖν Δωριεῖς ἀπὸ Ἀλθαιμένους ἀρξάμενοι μέχρι καὶ δεῦρο κατεβεβήκασιν· αἱ δὲ τρεῖς πόλεις εἰς μίαν ἀποκλεισθεῖσαι μεγάλην καὶ εὐδαίμονα ταὐτὸν ὄνομα τῇ νήσῳ Ῥόδον ἔδοσαν καλεῖσθαι.

XLVIII. Ἡ μη' τὰ περὶ Ῥώμου καὶ Ῥωμύλου διηγεῖται, παραλλάσσουσα πρὸς τοὺς ἄλλους ἔν τισι. φησὶ δὲ ὡς Ἀμό-

3. ἔπρεπε vulg. ‖ 4. τῶν] τῷ A, τοῖς vulg. ‖ 7. Τημένου Kannius. ‖ 10. Νηλέῳ vulg. ‖ 11. κατ' αὐτοὺς Kannius. ‖ 12. ἑκάτεροι οὖν A, καὶ ἑκάτεροι vulg. ‖ 23. Ἡλιαδῶν Jackson. chronol. p. 752 et Holsten. ad Steph. B. p. 157 libri ἰλιάδων. ‖ 26. αἰγεον A. ‖ 28. ἰήλυσαν καὶ ἄμιρον A. ‖

λιος ἐπιβουλεύσας Νεμέτορα τὸν ἀδελφὸν κτείνει, καὶ τὴν αὐτοῦ θυγατέρα Ἰλίαν, ἵνα μὴ τέκοι μηδ' ἀνδρωθείη, τῆς Ἑστίας ἱέρειαν ἀπέφηνε. ταύτῃ μιχθεὶς Ἄρης, ἀπολυόμενος τῆς ὁμιλίας ὅστις τε ἦν ἐδήλωσε, καὶ ὅτι δύο κόρους τέξεται ἐξ αὐτοῦ καὶ χρὴ θαρρεῖν. ἀλλὰ τεκοῦσαν αὐτὴν μὲν 5 Ἀμύλιος εἰς δεσμωτήριον ἔτρυχε βαλών, τινὶ δὲ ποιμένι τῶν αὐτῷ πιστῶν τὰ τεχθέντα διαφθεῖραι δίδωσιν. ὁ δὲ λαβὼν τὸ μὲν μίασμα χερσὶν ἰδίαις πρᾶξαι οὐ προσίετο, εἰς σκάφην δὲ μεθῆκε κατὰ τοῦ Θύβρεως φέρεσθαι. αὕτη δὲ μετὰ πολλὴν φορὰν περὶ προὔχουσαν ῥόνα κατίσχεται ῥίζαις ἐρινεοῦ, 10 ὃς μέγας ἐκεῖσε ἐπεφύκει. καὶ ἡ σκάφη ἐκεῖθεν τὰ παιδία πρὸς τὴν ῥόνα ἐκβάλλει ἐπὶ μαλακῆς καὶ ψαμμώδους γῆς. λύκος δὲ νεοτόκος ἐπιτυγχάνει τοῖς παιδίοις, καὶ ἀμφιβᾶσα κλευθμυριζομένοις καὶ χεῖρας ὀρέγουσι παρεῖχε τὰς θηλάς· τὰ δ' ἐτρέφετο βαρυνομένην ἀναπαύοντα ἐκ τῆς συντυχίας 15 τὴν λύκαν. Φαιστύλος δέ τις ποιμαίνων τοῦτο ἰδὼν καὶ θεῖον νομίσας ἀναλαμβάνεται καὶ ὡς ἑαυτοῦ τρέφει τὰ παιδία. χρόνῳ δ' ὕστερον περιτυγχάνει τῷ ἐκθεμένῳ ποιμένι, καὶ ἅπαντα παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν παίδων ἀπαγγέλλει τούτοις ἡβήσασιν ἤδη, ὡς εἴησαν βασιλείου τε γένους 20 καὶ Ἄρεως γοναί, καὶ ὅσα ἡ μήτηρ καὶ ὁ μητροπάτωρ πάθοι. οἱ δὲ (ἦστην γὰρ καλοί τε ὄψει καὶ ῥώμην ἄμαχοι καὶ τόλμῃ γενναῖοι) αὐτίκα ἐγχειρίδια ἀναλαβόμενοι καὶ κρύψαντες ἐπὶ τὴν Ἄλβαν ἐχώρουν, καὶ ἐπιτυχόντες Ἀμυλίῳ διὰ τὸ ἀπροσδόκητον τῆς ἐπιβουλῆς ἀφυλάκτῳ ἐπάγουσι τὴν τιμω- 25 ρίαν, ξίφεσιν ἀνελόντες, καὶ τὴν μητέρα λύουσι τῶν δεσμῶν, τό τε πλῆθος δεξιοῦνται, καὶ βασιλεύουσιν Ἄλβας καὶ τῶν περὶ αὐτήν. πολλοῦ δὲ αὐτοῖς προσερρυηκότος πλήθους μεταστάντες Ἄλβας κτίζουσι πόλιν, Ῥώμην ἐπονομάσαντες, ἣ νῦν ὡς εἰπεῖν τὸ ἀνθρώπων ἔχει κράτος. δείκνυται δὲ μαρ- 30 τυρία τῶν τότε παρὰ Ῥωμαίοις ἐπὶ τῆς ἀγορᾶς ἐρινεὸς ἱερά, τοῦ βουλευτηρίου κιγκλίσι χαλκαῖς περιειργομένη, καὶ κα-

1. Νουμέτορα vulg. ‖ 7. τὰ τεχθέντα add. mg. A. ‖ 9. Θύμβρεως vulg. ‖ 11. πεφύκει vulg. ‖ 16. ποιμένων A, τῶν ποιμένων vulg. ‖ 22. γὰρ add. A. ‖ τε om. A. ‖ 23. τόλμαν γενν. καὶ αὐτ. vulg. ‖ ἀναλαμβανόμενοι A. ‖ 24. ἀμυλίῳ A. ‖ 27. δεξιοῦται vulg. ‖ 28. προσρυέντος vulg. ‖ 30. μαρτύρια Heynius, qui et mox πρὸ τοῦ βουλ. ‖

λύβη τις ἐν τῷ τοῦ Διὸς ἱερῷ γνώρισμα τῆς Φαιστύλου δαιτῆς, ἣν ἐκ φορυτῶν καὶ νέων φρυγάνων συνιστῶντες διασώζουσιν.

XLIX. Ἡ μθ', ὡς ἐν Ἀνάφῃ τῇ νήσῳ (αὕτη δ' ἐστὶν ὑπὲρ νήσου Θήρας, οὐχ ἑκὰς τῆς Λακεδαιμονίων) ἱερὸν Ἀπόλλωνος αἰγλήτου ἵδρυται, ἐν ᾧ σὺν τωθασμῷ οἱ ἐπιχώριοι θύουσι δι' αἰτίαν τοιαύτην. ὅτε Ἰάσων ἐκ Κόλχων Μήδειαν ἁρπάσας οἴκαδ' ἔπλει, χείμων αὐτοὺς ἄφατος περιέσχε καὶ ἀμηχανία πᾶσα· εὐχομένων δὲ καὶ πολλὰ τῶν ἐν τῇ Ἀργοῖ δεομένων Ἀπόλλων, τόξον αὐτῶν ὑπεραναστχών, τὰ δεινὰ διέλυσεν ἅπαντα, καὶ σέλατος ἐξ οὐρανοῦ διαΐσσοντος νῆσον ἀνέσχεν ἡ γῆ ἐκ τοῦ βυθοῦ, εἰς ἣν ὁρμισάμενοι ὡς πρῶτον ὑφθεῖσαν ὑφ' ἡλίου τότε Ἀνάφην ἀπὸ τῆς συντυχίας ἐκάλεσαν, καὶ ἱερὸν Ἀπόλλωνος αἰγλήτου ἱδρύσαντο, καὶ εὐφραίνοντο τῆς ἀνελπίστου τῶν κακῶν ἀπαλλαγῆς καὶ ταῖς ἄλλαις εὐωχίαις. Μήδεια δὲ σὺν ταῖς ἀμφ' αὐτὴν γυναιξὶν, αἳ δῶρον ἦσαν γάμων τῶν Ἰάσωνος, παίζουσαι μετὰ μέθην ἔσκωπτον τοὺς ἥρωας ἐν τῇ παννυχίδι· οἱ δὲ ἀντετώθαζον τὰς γυναῖκας. ἐκ τούτου τοιγαροῦν καὶ Ἀνάφης ὁ λαὸς (ᾠκίσθη γὰρ ἡ νῆσος) ἀνὰ πᾶν ἔτος Ἀπόλλωνι αἰγλήτῃ κερτομοῦντες ἀλλήλους ἑορτὴν κατὰ μίμησιν ἐκείνων ἄγουσιν.

L. Ἡ ν', ὡς Ἀλέξανδρον τὸν τύραννον Θήβη ἀναιρεῖ ἡ αὐτοῦ γυνή. αὕτη δ' ἦν Ἰάσονος μὲν θυγάτηρ, τοῦ ποτε Θεσσαλίας τυραννήσαντος, ἀδελφοὺς δ' εἶχε τρεῖς, Τισίφονον καὶ Λυκόφρονα καὶ Πυθόλαον· ὁμομήτριοι δ' ἦσαν; πατὴρ δ' αὐτῶν Εὐάλκης ἦν. τούτους Ἀλέξανδρος οὗτος ὁ Φερῶν δι' ὑποψίας ἔχων ἐμελέτα ἀνελεῖν· εἰδὼς δ' ὡς οὐκ ἀνάσχοιτο Θήβη περιιδεῖν τοὺς ὁμομητρίους ἀναιρουμένους ἀδελφούς, καὶ αὐτὴν ἐπενόει συνανελεῖν. καὶ νήφων μὲν ἔκρυβε τὸ βούλευμα, μεθύων δὲ (ἦν γὰρ ἥττων οἴνου) παρεγύμνου τε καὶ ἀπεκάλυπτε. Θήβη δὲ τὸ βούλευμα μαθοῦσα, τοῖς μὲν ἀδελφοῖς ἐγχειρίδια δοῦσα παρασκευάζεσθαι πρὸς

5. post νήσου nomen excidisse putavit Kannius. ‖ 11. διαΐξοντος A. ‖ 14. καὶ ὡς ἱερὸν vulg. ‖ 15. καὶ] θυσίαις καὶ Heynius. ‖ 19. ἀναφέως A: Ἀναφαίων Bekkerus. ‖ 21. ἄλλ. καὶ ἑορτὴν vulg. ‖ 24. Θεσσαλίαν vulg. ‖ 25. Πυθόλαον Hoeschelius: libri θόλαον. ‖ 26. εὐάλκης A, εὐλαβὴς vulg. ‖

τὴν σφαγὴν παρεκάλει, οἴνῳ δὲ πολλῷ Ἀλέξανδρον βαπτίσασα καὶ κατευνάσασα ἐκπέμπει τοὺς τοῦ θαλάμου φύλακας προφάσει ὡς λουτροῖς χρησομένη, καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὸ ἔργον ἐκάλει. οἱ δὲ ἀπεδειλίων, καὶ μάλιστα αὐτῶν ὁ νεώτατος. ἡ δὲ ἄλλα τε διαπειλησαμένη καὶ ὡς τὸν Ἀλέξανδρον αὐτίκα 5 ἀνεγερεῖ καὶ καταγορεύσει αὐτῶν τὸν φόνον, θαρρεῖν αὐτοὺς ἐβιάσατο· καὶ κτείνουσι κοιμώμενον τὸν Ἀλέξανδρον. Θήβη δὲ τοὺς ἡγεμόνας τῶν φυλάκων εἰσκαλεσαμένη καὶ τὰ μὲν ἀπειλαῖς, τὰ δ' ἐπαγγελίαις ὑπελθοῦσα πείθει συγκατασκευάζειν αὐτῇ τὴν τυραννίδα. καὶ οἱ μὲν ἐπέτρεπον. καὶ 10 αὕτη τὴν μὲν ἰσχὺν δέχεται, τοὔνομα δὲ καὶ τὴν δόξαν τῆς τυραννίδος Τισιφόνῳ τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν δίδωσι.

4. νεώτερος vulg. ‖ 5. τε; quod vulg. est post αὐτίκα, om. A. ‖ 6. ἀνεγείρει A. ‖ 9. μετελθοῦσα A. ‖ 12. πρεσβυτέρῳ A.

ΠΑΡΘΕΝΙΟΥ

ΝΙΚΑΕΩΣ

ΠΕΡΙ ΕΡΩΤΙΚΩΝ ΠΑΘΗΜΑΤΩΝ

Παρθένιος Κορνηλίῳ Γάλλῳ χαίρειν.

Μάλιστα σοὶ δοκῶν ἁρμόττειν, Κορνήλιε Γάλλε, τὴν ἄθροισιν τῶν ἐρωτικῶν παθημάτων ἀναλεξάμενος, ὡς ὅτι μάλιστά σοι ἐν βραχυτάτοις ἀπέσταλκα. τὰ γὰρ παρά τισι τῶν ποιητῶν κείμενα, τούτων μὴ αὐτοτελῶς λελεγμένων, κατανοήσεις ἐκ τῶνδε τὰ πλεῖστα, αὐτῷ τε σοὶ παρέσται εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα ἐξ αὐτῶν ἁρμόδια διὰ τὸ μὴ πάρεῖναι τὸ περιττὸν αὐτοῖς, ὃ δὴ σὺ ἂν μετέρχῃ, χεῖρον περὶ αὐτῶν ἐνενοήθης· οἱονεὶ γὰρ ὑπομνηματίου τρόπον αὐτὰ συνελεξάμεθα, καὶ σοὶ νυνὶ τὴν χρῆσιν ὁμοίαν, ὡς ἔοικε, παρέξεται.

2. ἀναλεξόμενος, sed rec. m. corr., P. ‖ 3. σοι, quod est in P, deerat. ‖ 5. σοὶ accessit ex P, vulg. om. ‖ 7. μετέρχῃ P, adpicta tamen ad mg. lineola: ὃ δὴ σὺ μετέρχων ed. pr., ὃ δὴ μὴ στέργων Stanleius, ὃ δὴ μὲν εἰρῶν Legrand, ὃ δὴ σὺ μετερχόμενος Heynius, ὃ δὴ σὺ μετατρέχων Toucherus: ἂν add. Bastius, post χεῖρον Heynius. ‖

I. Περὶ Λύρκου. (Ἱστορία παρὰ Νικαιαίτῳ ἐν τῷ Λύρκῳ καὶ Ἀπολλωνίῳ Ῥοδίῳ Κτίσμα.) Ἀρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους καθῆκεν, ἐν δὲ αὐτοῖς Λύρκον τὸν Φορωνέως, ὃς μάλα πολλὴν γῆν ἐπιδραμὼν καὶ πολλὴν θάλασσαν περαιωθεὶς τέλος, ὡς οὐχ εὕρισκεν, ἀπεῖπε τῷ πεμάτῳ· καὶ εἰς μὲν Ἄργος δεδοικὼς τὸν Ἴναχον οὐ μάλα τι κατῄει, ἀφικόμενος δὲ εἰς Καῦνον πρὸς Αἰβιαλὸν γαμεῖ αὐτοῦ τὴν θυγατέρα Εἰλεβίην. ἔφασαν γὰρ τὴν κόρην ἰδοῦσαν τὸν Λύρκον εἰς ἔρωτα ἐλθεῖν καὶ πολλὰ τοῦ πατρὸς δεηθῆναι κατασχεῖν αὐτόν· ὁ δὲ τῆς τε βασιλείας μοῖραν οὐκ ἐλαχίστην ἀποδασάμενος καὶ τῶν λοιπῶν ὑπαργμάτων γαμβρὸν εἶχεν. χρόνου δὲ πολλοῦ προϊόντος, ὡς τῷ Λύρκῳ παῖδες οὐκ ἐγίνοντο, ἦλθεν εἰς Διδυμέως χρησόμενος περὶ γονῆς τέκνων, καὶ αὐτῷ θεσπίζει ὁ θεός, παῖδας φύσειν ἢ ἂν ἐκ τοῦ ναοῦ χωρισθεὶς πρώτῃ συγγένηται. ὁ δὲ μάλα γεγηθὼς ἠπείγετο πρὸς τὴν γυναῖκα, πεισθόμενος κατὰ νοῦν ἂν αὐτῷ χωρήσειν τὸ μαντεῖον. ἐπεὶ δὲ πλέων ἀφίκετο ἐς Βύβαστον πρὸς Στάφυλον τὸν Διονύσου, μάλα φιλοφρόνως ἐκεῖνος αὐτὸν ὑποδεχόμενος εἰς πολὺν οἶνον προστρέψατο, καὶ ἐπειδὴ πολλῇ μέθῃ παρεῖτο, συγκατέπλεκεν αὐτῷ Ἡμιθέαν τὴν θυγατέρα. ταῦτα δὲ ἐποίει προπεπυσμένος τὸ τοῦ χρηστηρίου καὶ βουλόμενος ἐκ ταύτης αὐτῷ παῖδας γενέσθαι. δι' ἔριδος μέντοι ἐγένοντο Ῥοιώ τε καὶ Ἡμιθέα αἱ τοῦ Σταφύλου, τίς αὐτῶν μιχθείη τῷ ξένῳ· τοσοῦτος ἀμφοτέρας κατέσχε πόθος· Λύρκος δὲ ἐπιγνοὺς τῇ ὑστεραίᾳ οἷα ἐδεδράκει, καὶ τὴν Ἡμιθέαν ὁρῶν συγκατακεκλιμένην, ἐδυσφόρει τε καὶ πολλὰ κατεμέμφετο τὸν Στάφυλον

2. ῥοδίῳ add. P, vulg. om. ‖ 4. ἄλλους] πολλοὺς Courier ad Luc. Asin. p. 234, ἄλλους τε Schneiderus. ‖ δὲ] τε Meurs. ad Hesych. Milet. p. 230. ‖ φορωνέως P, vulg. Φορωνέος. ‖ 8. Αἰγιαλὸν hic et ubique ex Con. narr. 2 Heynius: αἰβίαλον P, quamquam h. l. β in rasura. ‖ 9. εἰλεβίην hic et infra P, Εἰλεβίην vulg.: Αἰγιάλειον Legrand. ‖ 11. ἀποδασάμενος P, vulg. ἀποδωσάμενος. ‖ 13. ἐγίνοντο P, erat ἐγίγνοντο. ‖ 15. ἢ ἂν P, et sic correxerat Galeus: ἠὰν ed. pr., cett. κἂν. ‖ 16. ἠπείγετο P, et sic corr. Legrand, vulg. ὑπείγετο. ‖ 18. βόβαστον P, sed eadem, ut videtur, manus υ in ο inscripsit, ut βυβ. scriptor, non βουβ. voluisse videatur. ‖ 26. οἷ cum parvula lacuna (sc. excisa hic membrana) P, οἷα ed. pr., vulg. ποῖα. ‖

ὡς ἀπατεῶνα μενόμενον αὐτοῦ· ὕστερον δὲ μηδὲν ἔχων ὅ τι ποιῇ, περιελόμενος τὴν ζώνην δίδωσι τῇ κόρῃ, κελεύων ἡβήσαντι τῷ παιδὶ φυλάττειν, ὅπως ἔχῃ γνώρισμα, ὁπότ' ἂν ἀφίκοιτο πρὸς τὸν πατέρα αὐτοῦ εἰς Κεῦνον, καὶ ἐξέπλευσαν. Αἰβιαλὸς δὲ ὡς ἤσθετο τά τε κατὰ τὸ χρηστήριον καὶ τὴν Ἡμιθέαν, ἤλαυνεν τῆς γῆς αὐτόν. ἔνθα δὴ μάχη συνεχὴς ἦν τοῖς τε τὸν Λύρκον προσιεμένοις καὶ τοῖς τὰ Αἰβιαλοῦ φρονοῦσι· μάλιστα δὲ συνεργὸς ἐγίνετο Εἰλαβίη· οὐ γὰρ ἐπεῖπεν τὸν Λύρκον. μετὰ δὲ ταῦτα ἀνδρωθεὶς ὁ ἐξ Ἡμιθέας καὶ Λύρκου (Βασίλος αὐτῷ ὄνομα) ἦλθεν εἰς τὴν Καυνίαν, καὶ αὐτὸν γνωρίσας ὁ Λύρκος ἤδη γηραιὸς ὢν ἡγεμόνα καθίστησι τῶν σφετέρων λαῶν.

II. Περὶ Πολυμήλης. (Ἱστορεῖ Φιλητᾶς Ἑρμῆ.) Ὀδυσσεὺς ἁλώμενος περὶ Σικελίαν καὶ τὴν Τυρρηνῶν καὶ τὴν Σικελῶν θάλασσαν ἀφίκετο πρὸς Αἴολον καὶ Μελιγουνίδα νῆσον, ὃς αὐτὸν κατὰ κλέος σοφίας τεθηπὼς ἐν πολλῇ φροντίδι εἶχεν· τὰ περὶ Τροίης ἅλωσιν καὶ ὃν τρόπον αὐτοῖς ἐσκεδάσθησαν αἱ νῆες κομιζομένους ἀπὸ τῆς Ἰλίου διεπυνθάνετο, ξενίζων τε αὐτὸν πολὺν χρόνον δεῖγε, τῷ δ' ἄρα καὶ αὐτῷ ἦν ἡ μονὴ ἡδομένη. Πολυμήλη γὰρ τῶν Αἰολίδων τις ἐρασθεῖσα αὐτοῦ κρύφα συνῆν. ὡς δὲ τοὺς ἀνέμους ἐγκεκλεισμένους παραλαβὼν ἀπέπλευσεν, ἡ κόρη φωρᾶταί τινα τῶν Τρωικῶν λαφύρων ἔχουσα καὶ τούτοις μετὰ πολλῶν δακρύων ἐναλινδουμένη. ἔνθα ὁ Αἴολος τὸν μὲν Ὀδυσσέα καίπερ οὐ παρόντα ἐκάκισεν, τὴν δὲ Πολυμήλην ἐν νῷ ἔσχεν τίσασθαι. ἔτυχεν δὲ αὐτῆς ἐρασμένος ὁ ἀδελφὸς Διώρης, ὃς αὐτὴν παρμιτεῖταί τε καὶ πείθει τὸν πατέρα αὐτῷ συνοικίσαι.

III. Περὶ Εὐίππης. (Ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ.) Οὐ μόνον δὲ Ὀδυσσεὺς περὶ Αἴολον ἐξήμαρτεν, ἀλλὰ καὶ

4. αὐτοῦ vulg. ‖ 8. ἐγίνετο P, erat ἐγίγνετο. ‖ 13. φεδίτας (non φιλίδας) P. ‖ Ἑρμῇ] καὶ Ἑρμησιάνακ Ruhnk. ep. cr. p. 284. ‖ 14. ἁλώμενος P. ‖ σικελ[ίαν καὶ], haec notata in rasura P. ‖ 15. καὶ] κατὰ Heynius, εἰς Bastius. ‖ με[λιγ]ουνίδα, haec in rasura P. ‖ 17. τά τε περὶ Legrand. ‖ τροίης P, legebatur Τροίας. ‖ ἐσκεδασθη — σαν (sic), linea in ras. P. ‖ 20. μόνη P. ‖ ἡδομένη P (cf. Schaef. ad Greg. Cor. p. 377): ἡδομένῳ Passow. sec. Leopard. emend. 4, 24. ‖ 23. καὶ] κὰν et mox ἀλινδ. L. Kayserus in litteris ad me datis. ‖ 24. αλινδουμενη P, sed a rec. m. corr. καλινδουμένη, et sic vulg.: ἐναλινδουμένη Bastius, ἐγκαλινδουμένη Legrand. ‖ 27. πείθει P, vulg. ποιεῖ. ‖

μετὰ τὴν ἅλην, ὡς τοὺς μνηστῆρας ἐφόνευσεν, εἰς Ἤπειρον ἐλθὼν χρηστηρίων τινῶν ἕνεκα, τὴν Τυρίμμα θυγατέρα ἔφθειρεν Εὐίππην, ὃς αὐτὸν οἰκείως τε ὑπεδέξατο καὶ μετὰ πάσης προθυμίας ἐξένιξε. παῖς δὲ αὐτῷ γίνεται ἐκ ταύτης Εὐρύαλος. τοῦτον ἡ μήτηρ, ἐπεὶ εἰς ἥβην ἦλθεν, 5 ἀποπέμπεται εἰς Ἰθάκην συμβόλαιά τινα δοῦσα ἐν δέλτῳ κατεσφραγισμένα. τοῦ δὲ Ὀδυσσέως κατὰ τύχην τότε μὴ παρόντος, Πηνελόπη καταμαθοῦσα ταῦτα, καὶ ἄλλως δὲ προπεπυσμένη τὸν τῆς Εὐίππης ἔρωτα, πείθει τὸν Ὀδυσσέα παραγενόμενον, πρὶν ἢ γνῶναί τι τούτων ὡς ἔχει, κατακτεῖναι 10 τὸν Εὐρύαλον ὡς ἐπιβουλεύοντα αὐτῷ. καὶ Ὀδυσσεὺς μὲν διὰ τὸ μὴ ἐγκρατὴς φύναι, μηδὲ ἄλλως ἐπιεικής, αὐτόχειρ τοῦ παιδὸς ἐγένετο, καὶ οὐ μετὰ πολὺν χρόνον ἢ τόδε ἀπειργάσθαι πρὸς τῆς αὐτὸς αὐτοῦ γενεᾶς τρωθεὶς ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν. 15

IV. Περὶ Οἰνώνης. (Ἱστορεῖ Νίκανδρος ἐν τῷ περὶ ποιητῶν καὶ Κεφάλων ὁ Γεργίθιος ἐν Τρωικοῖς.) Ἀλέξανδρος ὁ Πριάμου βουκολῶν κατὰ τὴν Ἴδην ἠράσθη τῆς Κεβρῆνος θυγατρὸς Οἰνώνης· λέγεται δὲ ταύτην ἔκ του θεῶν κατεχομένην θεσπίζειν περὶ τῶν μελλόντων, καὶ ἄλλως δὲ 20 ἐπὶ συνέσει φρενῶν ἐπὶ μέγα διαβεβοῆσθαι. ὁ οὖν Ἀλέξανδρος αὐτὴν ἀγαγόμενος παρὰ τοῦ πατρὸς εἰς τὴν Ἴδην, ὅπου αὐτῷ οἱ σταθμοὶ ἦσαν, εἶχε γυναῖκα, καὶ αὐτῇ φιλαφρονούμενος μηδαμᾶ ** προλείψειν, ἐν περισσοτέρᾳ τε τιμῇ ἄξειν· ἡ δὲ συνιέναι μὲν ἔφασκεν, εἰς τὸ παρὸν ὡς δὴ πάνυ αὐτῆς 25 ἐρῴη, χρόνον μέντοι τινὰ γενήσεσθαι, ἐν ᾧ ἀπαλλάξας αὐτὴν εἰς τὴν Εὐρώπην περαιωθήσεται κἀκεῖ πτοηθεὶς ἐπὶ

1. [ἅ]λην in ras. P. ‖ 3. τε add. P, vulg. om. ‖ 4. γίνεται P, erat γίγνεται. ‖ 6. συμβόλαια P: σύμβολιά ed. pr., σύμβολά Legrand. ‖ 12. μὴ δὲ P. ‖ 13. ἀπειργάσθαι Legrand, et sic, ut videtur, P; ἀπεργάσθαι ed. pr., ἀπεργάσασθαι Galeus, ἀπειργάσθη Passovius. ‖ 14. αὐτοῦ P, vulg. αὐτοῦ. ‖ 15. ἐτελεύτησεν P, et sic corr. Legrand, vulg. ἐτέλευτεν. ‖ τὸν ὀδυσσέως θάνατον ὁποῖος adposito glossae signo P in mg. ‖ 16. περιπαιήτωι P. ‖ 19. ἔκ του θεῶν P: ἔκ του ed. pr., ἐκ θεοῦ cett., ἐκ τοῦ Φοίβου Meurs. ad Lycophr. 61. ‖ 20. δὲ delevit Meursius. ‖ 21. [μ]έγα in ras. P. ‖ 23. αὐτῇ] αὐχεῖ Bastius, post αὐτῇ excidisse ἔφη coni. Meursius, ὑπέστη vel ὑπέσχετο post φιλοφρονούμενος, nisi scribendum φιλοφρόνως ὑπέστη, Legrand: lacunae signum posui cum P post μηδαμᾶ (sic P, nisi quod μηδαμᾶι, Passovius μηδαμὰ), erat post φιλοφρον. ‖

γυναικὶ ξένῃ πόλεμον ἐπάξεται τοῖς οἰκείοις. ἐξηγεῖτο δὲ ὡς δεῖ αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι, καὶ ὅτι οὐδεὶς αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι ἢ αὐτή· ἑκάστοτε δὲ ἐπιλεγομένης αὐτῆς ἐκεῖνος οὐκ εἴα μεμνῆσθαι. χρόνου δὲ προϊόντος, ἐπειδὴ Ἑλένην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν πραχθέντων τὸν Ἀλέξανδρον εἰς Κεβρῆνα, ὅθεν περ ἦν γένος, ἀπεχώρησεν, ὁ δὲ παρήκοντος ἤδη τοῦ πολέμου διατοξευόμενος Φιλοκτήτῃ τιτρώσκεται. ἐν νῷ δὲ λαβὼν τὸ τῆς Οἰνώνης ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς αὐτῆς μόνης οἷόν τε εἶναι ἰαθῆναι, κήρυκα πέμπει δεησόμενον, ὅπως ἐπειχθεῖσα ἀκέσηταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποιήσηται, ἅτε δὴ κατὰ θεῶν βούλησίν γε ἀφικομένων· ἡ δὲ αὐθαδέστερον ἀπεκρίνατο, ὡς χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης δεῖσθαι, αὐτὴ δὲ μάλιστά ἠπείγετο, ἔνθα δὴ ἐπέπυστο κεῖσθαι αὐτόν. τοῦ δὲ κήρυκος τὰ λεχθέντα παρὰ τῆς Οἰνώνης θᾶττον ἀπαγγείλαντος ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν, Οἰνώνη δὲ, ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον ἐλθοῦσα ἴδεν, ἀνῴμωξέν τε καὶ πολλὰ κατολοφυραμένη διεχρήσατο ἑαυτήν.

V. Περὶ Λευκίππου. (Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ.)

Λεύκιππος δὲ, Ξανθίου παῖς, γένος τῶν ἀπὸ Βελλεροφόντου, διαφέρων ἰσχύι μάλιστα τῶν καθ' ἑαυτόν, ἤσκει τὰ πολεμικά. διὸ πολὺς ἦν λόγος περὶ αὐτοῦ παρά τε Λυκίοις καὶ τοῖς προσεχέσι τούτοις, ἅτε δὴ ἀγομένοις καὶ πᾶν ὁτιοῦν δυσχερὲς πάσχουσιν. οὗτος κατὰ μῆνιν Ἀφροδίτης εἰς ἔρωτα ἀφικόμενος τῆς ἀδελφῆς τέως μὲν ἐκαρτέρει, οἰόμενος ῥᾷστα ἀπαλλάξασθαι τῆς νόσου, ἐπεὶ μέντοι χρόνου διαγενομένου οὐδὲ ἐπ' ὀλίγον ἐλώφα τὸ πάθος, ἀνακοινοῦται τῇ μητρὶ καὶ πολλὰ καθικέτευε, μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον· εἰ γὰρ αὐτῷ μὴ συνεργήσειεν, ἀποσφάξειν αὐτὸν ἠπείλει. τῆς δὲ παραχρῆμα τὴν ἐπιθυμίαν φαμένης τελέσειν ῥᾴων ἤδη γέγο-

4. εἴα P et ed. pr., cett. ἐᾷ: excidisse aliquid suspicatus est Legrand. ‖ 10. ἐπειχθεισαπίσηται P, sed corr. ead. m. ‖ ἀκέσεται et ποιήσεται Jacobs add. anim. in Athen. p. 286. ‖ 12. γε ἀφικομένων Legrand: τε ἀφικόμενον P et vulg., ἐξικομένων sublato τε Heynius ad Apoll. p. 336. ‖ ἡ δὲ ex corr. habet P. ‖ 17. εἶδεν Passovius. ‖ 19. λέοντι P et ed. pr. ‖ 20. τῶν] ἐκ τῶν Legrand. ‖ 26. ἀπαλλάξασθαι P, ἀπαλλάξεσθαι vulg. ‖ 27. ἀνεκοινοῦτο Legrand. ‖ 30. παρὰ χρῆμα P. ‖

νεν· ἀνακαλεσαμένη δὲ τὴν κόρην συγκατακλίνει τἀδελφῷ, κἀκ τούτου συνῆσαν οὐ μάλα τινὰ δεδοικότες, ἕως τις ἐξαγγέλλει τῷ κατεγγυημένῳ τὴν κόρην μνηστῆρι. ὁ δὲ τόν τε αὐτοῦ πατέρα παραλαβὼν καί τινας τῶν προσηκόντων πρόσεισι τῷ Ξανθίῳ καὶ τὴν πρᾶξιν καταμηνύει, μὴ δηλῶν τοὔνομα τοῦ Λευκίππου. Ξάνθιος δὲ δυσφορῶν ἐπὶ τοῖς προσηγγελμένοις πολλὴν σπουδὴν ἐτίθετο φωράσαι τὸν φθορέα, καὶ διεκελεύσατο τῷ μνηστῇ, ὁπότε ἴδοι συνόντας, αὐτῷ δηλῶσαι· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος καὶ αὐτίκα τὸν πρεσβύτην ἐπαγομένου τῷ θαλάμῳ, ἡ παῖς αἰφνιδίου ψόφου γενηθέντος ἴετο διὰ θυρῶν, οἰομένη λήσεσθαι τὸν ἐπιόντα· καὶ αὐτὴν ὁ πατὴρ ὑπολαβὼν εἶναι τὸν φθορέα πατάξας μαχαίρᾳ καταβάλλει. τῆς δὲ περιωδύνου γενομένης καὶ ἀνακραγούσης ὁ Λεύκιππος, ἐπαμύνων αὐτῇ καὶ διὰ τὸ ἐκπεπλῆχθαι μὴ προειδόμενος ὅστις ἦν, κατακτείνει τὸν πατέρα. δι' ἣν αἰτίαν ἀπολιπὼν τὴν οἰκίαν Θετταλοῖς ἐπὶ τοῖς συμβεβηκόσιν εἰς Κρήτην ἡγήσατο, κἀκεῖθεν ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων εἰς τὴν Ἐφεσίαν ἀφίκετο, ἔνθα χωρίον ᾤκησε τὸ Κρητιναῖον ἐπικληθέν. τοῦ δὲ Λευκίππου τούτου λέγεται τὴν Μανδρολύτου θυγατέρα Λευκοφρύνην ἐρασθεῖσαν προδοῦναι τὴν πόλιν τοῖς πολεμίοις, ὧν ἐτύγχανεν ἡγούμενος ὁ Λεύκιππος, ἑλομένων αὐτὸν κατὰ θεοπρόπιον τῶν δεκατευθέντων ἐκ Φερῶν ὑπ' Ἀδμήτου.

VI. *Περὶ Παλλήνης.* (Ἱστορεῖ Διογένης καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς.) Λέγεται καὶ Σίθονα τὸν Ὀδομάντων βασιλέα γεννῆσαι θυγατέρα Παλλήνην, καλήν τε καὶ ἐπίχαριν, καὶ διὰ τοῦτο ἐπὶ πλεῖστον χωρῆσαι κλέος αὐτῆς, φοιτᾷν

τελέσειν P, et sic corr. Legrand: τελεύτειν ed. pr., τελευτᾶν Galeus, τελευτεῖν (?) Abresch. anim. ad Aesch. 1. p. 396, ἐκπλήσειν Heynius. ‖ 3. κατεγγυημένῳ P, legebatur κατηγγυημένῳ. ‖ 4. αὐτοῦ P et vulg. ‖ πρόσεισι P, et sic corr. Galeus, πρόσεστι ed. pr. ‖ 5. καταμ[ηνύει] in ras. P. ‖ 9. ὑπακούσαντος P et ex coni. Legrand, vulg. ἐπακούσαντος. ‖ 11. διὰ τῶν θ. Legrand. ‖ 13. ἀνακραγούσης P, uti corr. Piers. ad Moer. p. 65, vulg. ἀνακραυγούσης. ‖ 15. προειδόμενος P: προϊδόμενος Passovius. ‖ 16. ἀπολιπὼν ἐπὶ τοῖς συμβεβηκόσι τὴν οἰκίαν, εἰς Κρήτην Θετταλοῖς ἡγήσατο Legrand. ‖ 18. ᾤκισε Galeus. ‖ 20. Λευκοφρύνην Heynius. ‖ 23. Φαρῶν Galeus. ‖ 24. Θεαγένης Galeus, Θεογένης Passovius. ‖ 25. ὀδομαντῶν P. ‖ 26. τε Legrand, vulg. δὲ. ‖ 27. κλ[έο]ς in ras. P. ‖

τε μνηστῆρας οὐ μόνον ἀπ' αὐτῆς Θρᾴκης, ἀλλὰ καὶ ἔτι πρόσωθέν τινας, ἀπό τε Ἰλλυρίδος καὶ τῶν ἐπὶ Τανάϊδος ποταμοῦ κατῳκημένων· τὸν δὲ Σίθονα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνουμένους μνηστῆρας πρὸς μάχην ἰέναι τὴν κόρην ἔχοντα, εἰ δὲ ἥττων φανείη, τεθνάναι· τούτῳ τε τῷ τρόπῳ πάνυ συχνοὺς ἀνῃρήκει. μετὰ δὲ, ὡς αὐτόν τε ἡ πλείων ἰσχὺς ἐπιλελοίπει, ἔγνωστό τε αὐτῷ τὴν κόρην ἁρμόσασθαι, δύο μνηστῆρας ἀφιγμένους, Δρύαντά τε καὶ Κλεῖτον, ἐκέλευεν ἄθλου προκειμένου τῆς κόρης ἀλλήλοις διαμάχεσθαι, καὶ τὸν μὲν τεθνάναι, τὸν δὲ περιγενόμενον τήν τε βασιλείαν καὶ τὴν παῖδα ἔχειν. τῆς δὲ ἀφωρισμένης ἡμέρας παρούσης ἡ Παλλήνη (ἔτυχε γὰρ ἐρῶσα τοῦ Κλείτου) πάνυ ὠρρώδει περὶ αὐτοῦ, καὶ σημῆναι μὲν οὐκ ἐτόλμα τινὶ τῶν ἀμφ' αὐτόν, δάκρυα δὲ πολλὰ ἐχεῖτο τῶν παρειῶν αὐτῆς, ἕως ὅτε τροφεὺς αὐτῆς πρεσβύτης ἀναπυνθανόμενος καὶ ἐπιγνοὺς τὸ πάθος τῇ μὲν θαρρεῖν παρεκελεύσατο, ὡς ᾗ βούλεται ταύτῃ τοῦ πράγματος χωρήσοντος, αὐτὸς δὲ κρύφα ὑπέρχεται τὸν ἡνίοχον τοῦ Δρύαντος, καὶ αὐτῷ χρυσὸν πολὺν ὁμολογήσας πείθει διὰ τῶν ἁρματηγῶν τροχῶν μὴ διεῖναι τὰς περόνας. ἔνθα δὴ ὡς ἐς μάχην ἐξῄεσαν καὶ ἤλαυνεν ὁ Δρύας ἐπὶ τὸν Κλεῖτον, καὶ οἱ τροχοὶ περιερρύησαν αὐτῷ τῶν ἁρμάτων· καὶ οὕτως πεσόντα αὐτὸν ἐπιδραμὼν ὁ Κλεῖτος ἀναιρεῖ. αἰσθόμενος δὲ ὁ Σίθων τόν τε ἔρωτα καὶ τὴν ἐπιβουλὴν τῆς θυγατρός, μάλα μεγάλην πυρὰν νήσας καὶ ἐπιθεὶς τὸν Δρύαντα ᾤετο συνεπισφάξειν καὶ τὴν Παλλήνην. φαντάσματος δὲ

2. καὶ om. P, add. Cornarius. ‖ 3. κατωι[κη]μένων in ras. P. ‖ 4. ἰναι super scripto ἐ. P. ‖ τῆς κόρης ἐρῶντα aut τῆς κόρης ἕνεκα, ὃς δ' ἂν ἥττων Legrand, πρὸς αὐτὸν εἰς μάχην ἰέναι Heynius, πρὸς μάχην ἰέναι ἀεὶ τὴν κόρην ἔχοντα Jacobs in ephem. Hal. 1806. nr. 282, ἔχοντι vel τῷ τὴν κόρην ἔχοντι Bastius, aut nihil mutandum aut ἑξοντα scribendum censuit Passovius. ‖ 5. πάνυ in ras. P. ‖ 6. πλ[ει]ων in ras. P. ‖ 7. ἐπελελοίπει Legrand. ‖ 8. ἀφ[ιγ]μένους in ras. P. ‖ 11. ἀφορισμένης pr. m. P. ‖ 12. ὀρρωίδει (h. e. ὀρρώδει) P. ‖ 13. σημῆναι (sic) P. ‖ ἀμφ' P, vulg. περὶ. ‖ 14. αὐτὴν Legrand. ‖ ὅτι ed. pr. ‖ 15. πρεσβύτης P, *Praesynités* vertit Cornarius, unde Πρεσύντης transiit in edd. sqq. ‖ 17. χωρήσ[ο]ντος in ras. P, videtur fuisse χωρήσαντος, et sic vulg.: χωρήσοντος Legrand. ‖ κρύφαι P. ‖ 19. δ[ι]ὰ in ras. P: delevit Legrand, πρὸ et mox ἁρματηρῶν et διεῖραι corr. Schneiderus. ‖ 20. τὸν et οἱ add. P, vulg. om. ‖ 21. περιερύησαν P. ‖ 25 οἴετο corr. rec. m. P. ‖ δὲ in ras. a rec. m. P. ‖

θείου γενομένου καὶ ἐξαπιναίως ὕδατος ἐξ οὐρανοῦ πολλοῦ καταρραγέντος μετέγνω τε καὶ γάμοις ἀρεσάμενος τὸν παρόντα Θρᾳκῶν ὅμιλον ἐφίησι τῷ Κλείτῳ τὴν κόρην ἄγεσθαι.

VII. Περὶ Ἱππαρίνου. (Ἱστορεῖ Φανίας ὁ Ἐρέσιος.) Ἐν δὲ τῇ Ἰταλῇ Ἡρακλείᾳ παιδὸς διαφόρου τὴν ὄψιν (Ἱππαρῖνος ἦν αὐτῷ ὄνομα) τῶν πάνυ δοκίμων Ἀντιλέων ἠράσθη· ὃς πολλὰ μηχανώμενος οὐδαμῇ δυνατὸς ἦν αὐτὸν ἁρμόσασθαι, περὶ δὲ γυμνάσια διατρίβοντι πολλὰ τῷ παιδὶ προσρυεὶς ἔφη τοσοῦτον αὐτοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ἀνατλῆναι, καὶ ὅ τι ἂν κελεύοι μηδενὸς αὐτὸν ἁμαρτήσεσθαι. ὁ δὲ ἄρα κατειρωνευόμενος προσέταξεν αὐτῷ ἀπό τινος ἐρυμνοῦ χωρίου, ὃ μάλιστα ἐφρουρεῖτο ὑπό του τῶν Ἡρακλεωτῶν τυράννου, τὸν κώδωνα κατακομίσαι, πειθόμενος μὴ ἄν ποτε τελέσειν αὐτὸν τόνδε τὸν ἆθλον. Ἀντιλέων δὲ κρύφα τὸ φρούριον ὑπελθὼν καὶ λοχήσας τὸν φύλακα τοῦ κώδωνος κατακαίνει, καὶ ἐπειδὴ ἀφίκετο πρὸς τὸ μειράκιον ἐπιτελέσας τὴν ὑπόσχεσιν, ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο, καὶ ἐκ τοῦδε μάλιστα ἀλλήλους ἐφίλουν. ἐπεὶ δὲ ὁ τύραννος τῆς ὥρας ἐγλίχετο τοῦ παιδὸς καὶ οἷός τε ἦν αὐτὸν βίᾳ ἄγεσθαι, δυσανασχετήσας ὁ Ἀντιλέων ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγειν κινδυνεύειν, αὐτὸς δὲ οἴκοθεν ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀνεῖλεν· καὶ τοῦτο δράσας δρόμῳ ἔετο καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδεδεμένοις ἀμφιπεσὼν ἐχειρώθη. διὸ τῆς πόλεως εἰς τἀρχαῖον ἀποκαταστάσης ἀμφοτέροις παρὰ τοῖς Ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ, καὶ νόμος ἐγράφη, μηδένα ἐλαύνειν τοῦ λοιποῦ πρόβατα συνδεδεμένα.

VIII. Περὶ Ἡρίππης. (Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν α' ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπεκλάττει, ἀντὶ Ἡρίππης καλῶν Γυθυμίαν, τὸν δὲ βάρβα-

2. καταραγέντος P. ‖ 5. Ἰταλικῇ Heynius. ‖ ἱππαρῖνος acc. a rec. m. in P. ‖ 8. προσφυεὶς Legrand. ‖ 12. ἐφρουρεῖτο acc. a rec. m. in P. ‖ του P, τοῦ Galeus: τοῦ ἀρχελάου P in mg. ‖ 13. κατακομί—σαι (sic) et σ in ras. P. ‖ 14. τελέσαι Schneiderus. ‖ κρύφαι P. ‖ 15. ὑπεισελθὼν Legrand. ‖ 20. μὴ ἀντιλέγειν, κινδυνεύειν δ' αὐτὸς οἴκοθεν ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀναιρεῖν Legrand, μὴ ἀντιλέγειν μέλλοντι κινδυνεύειν vel μὴ ἀντιλέγειν κινδυνεύσοντι Heynius. ‖ 27. ἠρίππης et sic ubique P, scribebatur Ἡρίππης. ‖

ρον Καυάραν.) Ὅτε δὲ οἱ Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ θεσμοφορίων ὄντων καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρικοῦ διῆλθεν
5 εἰς τὴν Μιλησίαν καὶ ἐξαπναίως ἐπιδραμὸν ἀνεῖλεν τὰς γυναῖκας. ἔνθα δὴ τὰς μὲν ἐρύσαντο πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς δὲ τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων ἀπήχθησαν, ἐν δὲ αὐταῖς καὶ Ἱππη, γυνὴ Ξάνθου, ἀνδρὸς ἐν Μιλήτῳ πάνυ δοκίμου γένους τε τοῦ πρώτου, παι-
10 δίον ἀπολιποῦσα διετές. ταύτης πολὺν πόθον ἔχων ὁ Ξάνθος ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων καὶ κατασκευασάμενος χρυσοῦς δισχιλίους τὸ μὲν πρῶτον εἰς Ἰταλίαν ἐπεραιώθη, ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται, κἀκεῖθεν εἰς τὴν Κελτικήν· καὶ
15 προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξαζομένων, ὑποδοχῆς ἐδεῖτο τυχεῖν. τῶν δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων εἰσελθὼν ὁρᾷ τὴν γυναῖκα, καὶ αὐτὸν ἐκείνη τὼ χεῖρε ἀμφιβαλοῦσα μάλα φιλοφρόνως προσηγάγετο. παραχρῆμα δὲ τοῦ
20 Κελτοῦ παραγενομένου διεξῆλθεν αὐτῷ τήν τε ἄλην τὰνδρὸς ἡ Ἱππη, καὶ ὡς αὐτῆς ἕνεκα καὶ ἥκοι λύτρα καταθησόμενος· ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον, καὶ αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα προσηκόντων ἐξένιζεν αὐτόν· παρατείνοντος δὲ τοῦ πότου τὴν γυναῖκα συγκατακλί-
25 νει αὐτῷ, καὶ δι' ἑρμηνέως ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτημένος τὴν σύμπασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέλευε, καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι αὐτῷ, γυναικί, παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἅποινα τῆς γυναικός. ὡς
30 δὲ ἐς κοῖτόν ποτε ἀπετράπετο, πολλὰ κατεμέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ ἔχοντα τοσοῦτο χρυσίον ὑποσχέσθαι

3. σ. τῶν γ. Schneiderus. ‖ 5. εἶλε Legrand. ‖ 8. γυνὴ ἡ (sic) Ξ. P, hinc γυνὴ ἡ Ξ. vulg.: γ. ἦν Ξ. Legrand. ‖ 12. δισχιλίους Passovius, et sic P, vulg. χιλίους. ‖ 16. πα[ρ]ὰ in ras. P. ‖ 19. παρὰ χρῆμα P. ‖ 20. ἄλην P. ‖ 21. καὶ alterum delevit Jacobs add. anim. in Ath. p. 20, in μὲν mutavit Legrand, post ἥκοι transposuit Passovius. ‖ λ[ύ]τρα in ras. P. ‖ 28. αὐτῷ P. ‖ 30. ἐς P, vulg. εἰς. ‖

τῷ βαρβάρῳ, κινδυνεύσειν τε αὐτόν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν· τοῦ δὲ φήσαντος, ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν ἐπιεικῆ τινα βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολλῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ καταμηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύετο κτεῖναι τὸν Ξάνθον, φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου· τὸν μὲν γὰρ Ξάνθον παντάπασιν ἀποστυγεῖν. τῷ δὲ ἄρα οὐ πρὸς ἡδονῆς ἦν τὰ λεχθέντα, ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσασθαι. ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα φιλοφρόνως προὔπεμπεν ὁ Κελτός, ἐπαγόμενος καὶ τὴν Ἠρίππην· ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας ἀφίκετο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι, καὶ κομισθέντος ἱερείου τὴν Ἠρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανατεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν κεφαλὴν αὐτῆς ἀφαιρεῖ, τῷ τε Ξάνθῳ παρεκελεύετο μὴ δυσφορεῖν, ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς, ἐπέτρεπέ τε τὸ χρυσίον ἅπαν κομίζειν αὐτῷ.

IX. *Περὶ Πολυκρίτης.* (Ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς ά Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ' τῶν πρὸς τοὺς καιρούς.) Καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι συνέβησαν σὺν ἐπικούροις καὶ τεῖχος πρὸ τῆς πόλεως ἐνοικοδομησάμενοι τήν τε χώραν ἔτεμνον καὶ καθείρξαντες τοὺς Ναξίους ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαίμονα ἐν Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πόλεως κεῖται, (Πολυκρίτη ὄνομα αὐτῇ) τὸν τῶν Ἐρυθραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς οἰκείαν δύναμιν ἔχων συνεμάχει τοῖς Μιλησίοις. πολλῷ δὲ ἐνεχόμενος πόθῳ διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν ἦν ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ βιάζεσθαι· ἡ δὲ ἔως μέν τινος οὐ προσίετο τοὺς παραγινομένους, ἐπεὶ μέντοι πολὺς ἐνέκειτο, οὐκ ἔφη πεισθή-

15. ἐκέλευεν P, κέλευεν vulg., unde κελεύει Legrand. ‖ 16. σ. ἦν αὐτῇ Legrand. ‖ 19. κο—μίζειν (sic) P. ‖ 22. δ' P, ια' ed. pr.: τῶν add. Passovius. ‖ 23. μετέβησαν vel κατέβησαν Legrand, ἐπεξίεσαν Heynius. ‖ 24. ἐποικοδομησάμενοι Legrand. ‖ 26. Δηλίας Galeus. ‖ 31. προο[ί]ετο in ras. P (quod quoniam ad rem nihil facit, non amplius adnotabo). ‖ 32. παραγινομένους P: παραγινο-

σεσθαι αὐτῷ, εἰ μὴ ὀμόσειεν ὑπηρετήσειν αὐτῇ ὅ τι ἂν βουληθῇ. ὁ δὲ Διόγνητος οὐδὲν ὑποτοπήσας τοιόνδε μάλα προθύμως ὤμοσεν Ἄρτεμιν, χαριεῖσθαι αὐτῇ ὅ τι ἂν προαιρῆται· κατομοσαμένου δὲ ἐκείνου καὶ λαβομένη τῆς χειρὸς αὐ-
5 τοῦ ἡ Πολυκρίτη μμνήσκεται περὶ προδοσίας τοῦ χωρίου, καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν καὶ τὰς συμφορὰς τῆς πόλεως. ὁ Διόγνητος ἀκούσας τοῦ λόγου ἐκτός τε ἐγένετο αὐτοῦ καὶ σπασάμενος τὴν μάχαιραν ὥρμησεν διεργάσασθαι τὴν κόρην. ἐν νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐ-
10 τῆς καὶ ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γὰρ, ὡς ἔοικε, καὶ Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν) τότε μὲν οὐδὲν ἀπεκρίνατο, βουλευόμενος τί ποιητέον εἴη, τῇ δ' ὑστεραίᾳ καθωμολογήσατο προδώσειν. καὶ ἐν τῷ δὴ τοῖς Μιλησίοις ἑορτὴ μετὰ τρίτην ἡμέραν θαργήλια ἐπῄει, ἐν ᾗ
15 πολύν τε ἄκρατον εἰσφορεῦνται καὶ τὰ πλείστου ἄξια καταναλίσκουσι· τότε παρεσκευάζετο προδιδόναι τὸ χωρίον, καὶ εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην ἐπιστολὴν ** τοῖς ἀδελφοῖς αὐτῆς (ἐτύγχανον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι), ὅπως εἰς ἐκείνην τὴν νύκτα παρασκευ-
20 ασάμενοι ἥκωσιν· σημεῖον δὲ αὐτοῖς ἀνασχήσειν αὐτὸς ἕφη λαμπτῆρα. καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον φράζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιᾶσθαι, ὡς τῆς πράξεως ἐπὶ τέλος ἀχθησομένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος Πολυκλῆς, ὁ τῆς
25 Πολυκρίτης ἀδελφός, ἐν πολλῇ φροντίδι ἐγίνετο, εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις, εἴτε μή· τέλος δὲ ὡς ἐδόκει πᾶσι πείθεσθαι καὶ νὺξ ἐπῆλθεν, ἐν ᾗ προσετέτακτο πᾶσι παραγίνεσθαι, πολλὰ κατευξάμενοι τοῖς θεοῖς, δεχομένων αὐτοὺς

μένους Passovius. ‖ 1. ὑπηρετήσειεν ex P revocavit idem. ‖ 4. κατομοσαμένου — δὲ (sic) P. ‖ ἐπιλαβομένη deleto καὶ Legrand. ‖ 6. καθικετεύειν P, corr. Legrand. ‖ 7. ὁ δ. P: ὃ μὲν Δ. Legrand, ὁ μὲν οὖν Δ. Schneiderus. ‖ 8. αὐτοῦ P, vulg. αὐτοῦ. ‖ 13. ἐν τούτῳ Schneiderus. ‖ 15. ἐμφοροῦνται Lennep. ad Phal. p. 27. ‖ 16. τότε οὖν παρ. Schneiderus. ‖ 18. σημαίνει vel ἐπιστέλλει excidisse vidit Legrand, alterum recepit Passovius: τὴν μολυβδίνην ἐπιστολὴν adiecto glossae signo P in mg. ‖ 22. μηδ' Valckenar. diatr. in Eur. p. 109. ‖ ἐνδοιᾶσθαι P: ἐνδοιάσασθαι Legrand, ἐνδοιασθῆναι Passovius. ‖ 25. ἐγίνετο P: ἐγίνετο Passovius. ‖ 26. in ἐπεσταλμένοις P λ ex corr. adiectum habet. ‖ 27. παραγίνεσθαι P: παραγίγνεσθαι Passovius. ‖

τῶν ἀμφὶ Διόγνητον ἐσπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων, οἱ μέν τινες κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπερελθόντες, ἀθρόοι τε ἐντὸς γενόμενοι κατέκαινον τοὺς Μιλησίους· ἔνθα δὴ κατ' ἄγνοιαν ἀποθνήσκει καὶ Διόγνητος. τῇ δὲ ἐπιούσῃ οἱ Νάξιοι πάντες πολὺν πόθον εἶχον βιάσασθαι τὴν κόρην· καὶ οἱ μέν τισιν αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις, αἷς βαρηθεῖσα ἡ παῖς διὰ πλῆθος τῶν ἐπιρριπτουμένων ἀπεπνίγη. καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ, πάντα ἑκατὸν ἐναγίσαντες αὐτῇ· φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ κεῖναι, ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων Ναξίων.

X. Περὶ Λευκώνης. Ἐν δὲ Θεσσαλίᾳ Κυάνιππος, υἱὸς Φάρακος, μάλα καλῆς παιδὸς εἰς ἐπιθυμίαν Λευκώνης ἐλθών, παρὰ τῶν πατέρων αἰτησάμενος αὐτὴν ἠγάγετο γυναῖκα. ἦν δὲ φιλοκύνηγος· μεθ' ἡμέραν μὲν ἐπί τε λέοντας καὶ κάπρους ἐφέρετο, νύκτωρ δὲ κατῄει πάνυ κεκμηκὼς πρὸς κόρην, ὥστε μηδὲ διὰ λόγων ἔσθ' ὅτε γινόμενον αὐτῇ ἐς βαθὺν ὕπνον καταφέρεσθαι. ἡ δ' ἄρα ὑπό τε ἀνίας καὶ ἀλγηδόνων συνεχομένη ἐν πολλῇ ἀμηχανίᾳ ἦν, σπουδήν τε ἐποιεῖτο κατοπτεῦσαι τὸν Κυάνιππον, ὅ τι ποιῶν ἥδοιτο τῇ κατ' ἄρος διαίτῃ· αὐτίκα δὲ εἰς γόνυ ζωσαμένη κρύφα τῶν θεραπαινίδων εἰς τὴν ὕλην καταδύνει. αἱ δὲ τοῦ Κυανίππου κύνες ἐδίωκον μὲν ἔλαφον, οὖσαι δὲ οὐ πάνυ κτίλοι, ἅτε δὴ ἐκ πολλοῦ ἠγριωμέναι, ὡς ὠσφρήσαντο τῆς κόρης, ἐπηνέχθησαν αὐτῇ καὶ μηδενὸς παρόντος πᾶσαν διεσπάραξαν. καὶ ἡ μὲν διὰ πόθον ἀνδρὸς κουριδίου ταύτῃ τέλος ἔσχε, Κυάνιππος δὲ, ὡς ἐπελθὼν κατελάβετο λελωβημένην τὴν Λευκώνην, μεγάλῳ τε ἄχει ἐπληρώθη, καὶ ἀνακαλεσάμενος τοὺς ἀμφ' αὐτὸν ἐκείνην μὲν πυρὰν νηήσας ἐνέθετο, αὐτὸς δὲ πρῶτον

2. τὴν add. P, vulg. om.: κατ' Legrand. ‖ 3. κατέκαινον P, vulg. κατέκτεινον. ‖ 5. βιάσασθαι P: θιάσασθαι Galeus, ἀσπάσασθαι Legrand, τίσασθαι Teucherus, ταινιάσασθαι v. ταινιάσαι Kayserus. ‖ 6. μίτραις] ταινίαις Jacobs. Anth. 9. p. 264. ‖ 7. αἷς et ρ in βαρηθεῖσα superscr. in P. ‖ ἐπιριπτουμένων P. ‖ 8. ἀπεπνίγη — — καὶ (sic) P. ‖ 9. πάντα ἑκατὸν] π. ἐνιαυτὸν aut λυκάβαντα ἕκαστον Legrand. ‖ 12. cf. Plut. parall. min. p. 310. E. ‖ 17. μὴ δὲ P. ‖ διαλόγων P: διὰ λόγου Galeus. ‖ γινόμενον P: συγγινόμενον Galeus, γιγνόμενον Passovius. ‖ 21. κρύφαι P. ‖ 28. ἀμφ' αὐτὸν P, vulg. ἀμφὶ vel ἀμφ' αὐτόν. ‖ 29. νήσας Schneiderus. ‖

μὲν τὰς κύνας ἐπικατέσφαξε τῇ πυρᾷ, ἔπειτα δὲ πολλὰ ἀποδυρόμενος τὴν παῖδα διεχρήσατο ἑαυτόν.

XI. Περὶ Βυβλίδος. (Ἱστορεῖ Ἀριστόκριτος περὶ Μιλήτου καὶ Ἀπολλώνιος ὁ Ῥόδιος Καύνου κτίσει.) Περὶ δὲ
5 Καύνου καὶ Βυβλίδος, τῶν Μιλήτου παίδων, διαφόρως ἱστορεῖται. Νικαίνετος μὲν γάρ φησι τὸν Καῦνον ἐρασθέντα τῆς ἀδελφῆς, ὡς οὐκ ἔλληγε τοῦ πάθους, ἀπολιπεῖν τὴν οἰκίαν καὶ ὁδεύσαντα πόρρω τῆς οἰκείας χώρας πόλιν τε κτίσαι καὶ τοὺς ἀπεσκεδασμένους τότε Ἴωνας ἐνοικίσαι. λέγει δὲ ἔπεσι
10 τοῖσδε·

αὐτὰρ ὅ γε προτέρωσε κιὼν Οἰκούσιον ἄστυ
κτίσσατο, Τραγασίῃ δὲ Κελαινοῦς εὔχετο παιδί,
ἥ οἱ Καῦνον ἔτεκτεν ἀεὶ φιλέοντα θέμιστας·
γείνατο δὲ ῥαδαλῆς ἐναλίγκιον ἀρκεύθοισι
15 Βυβλίδα, τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος· [5]
βῆ δὲ πέρην Δίας φεύγων ὀφιώδεα Κύπρον
καὶ Κάπρος ὑλιγενὲς καὶ Κάρια ἱρὰ λοετρά·
ἔνθ' ἤτοι πτολίεθρον ἐδείματο πρῶτος Ἰώνων.
αὐτὴ δὲ γνωτή, ὀλολυγόνος οἶτον ἔχουσα,
20 Βυβλὶς ἀποπρὸ πυλῶν Καύνου ὠδύρατο νόστον. [10]

οἱ δὲ πλείους τὴν Βυβλίδα φασὶν ἐρασθεῖσαν τοῦ Καύνου λόγους αὐτῷ προσφέρειν, καὶ δεῖσθαι μὴ περιιδεῖν αὐτὴν εἰς πᾶν κακὸν προελθοῦσαν· ἀποστυγήσαντα δὲ οὕτως τὸν Καῦνον περαιωθῆναι εἰς τὴν τότε ὑπὸ Λελέγων κατεχομένην γῆν,
25 ἔνθα κρήνη Ἐχενηίς, πόλιν τε κτίσαι τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Καῦνον· τὴν δὲ ἄρα ὑπὸ τοῦ πάθους μὴ ἀνεμένην, πρὸς δὲ καὶ δοκοῦσαν αἰτίαν γεγονέναι Καύνῳ τῆς ἀπαλλαγῆς,

3. περὶ μιλήτου add. P, vulg. om. ‖ 5. βιβλίδος P. ‖ 9. λέγω adiecto ει super ω P. ‖ 11. tractarunt Nicaeneti fragmentum Is. Vossius ad Pomp. Mel. 1, 16. Brunck. Anal. 1. p. 417. Jacobs Anthol. 7. p. 233. ‖ 12. Κελαινοῦς Vossius: κελαινέες P et ed. pr. ‖ 14. δὲ ῥαδαλῆς Vossius: δ' ἐραδαλῆς P et ed. pr. ‖ 15. βιβλίδα P. ‖ 16. βῆ δεφερενδιος P: βῆ δὲ φερένδιος ed. pr., βῆ δ' ἐπ' ἔραν Δίας Vossius, βῆ δ' ὅγ' ἄφαρ δίννους Jacobs, βῆ δὲ πέρην Δίας Passovius, βῆ δ' ἄφαρ, ἔνδιος Kayserus. ‖ φριώδεα Κύπριν Jacobs, ὀφ. Κάπρον Heynius. ‖ 17. Κάπρος] Κράγος Vossius. ‖ Καρῶν Heynius. ‖ 19. αὐτὴ P: αἰτῇ ed. pr., αὐτοκασιγνήτη Legrand. ‖ οἶτον P, vulg. οἴκτον. ‖ 20. βυβλὶς h. l. P. ‖ ἀποπρὸ πυλῶν P: ἀπὸ προπυλῶν ed. pr., cett. ἀπὸ προπύλων. ‖ 23. οὕτως] τοὔπος Legrand. ‖

ἀναψαμένην ἀπό τινος δρυὸς τὴν μίτραν ἐνθεῖναι τὸν τράχηλον. λέγεται δὲ καὶ παρ' ἡμῖν οὕτως·

ἡ δ' ὅτε δὴ ὀλοοῖο κασιγνήτου νόον ἔγνω,
κλαῖεν ἀηδονίδων θαμινώτερον, αἷτ' ἐνὶ βήσσῃς
Σιδονίῳ κούρῳ πέρι μυρίον αἰάζουσιν· 5
καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐτίκα μίτρην
[5] ἁψαμένη δειρὴν ἐνεθήκατο, ταὶ δ' ἐπ' ἐκείνῃ
βεύδεα παρθενικαὶ Μιλησίδες ἐρρήξαντο.

φασὶ δέ τινες καὶ ἀπὸ τῶν δακρύων κρήνην ῥυῆναι ἰδίᾳ τὴν καλουμένην Βυβλίδα. 10

XII. *Περὶ Κάλχου.* Λέγεται δὲ καὶ Κίρκης, πρὸς ἣν Ὀδυσσεὺς ἦλθε, Δαύνιόν τινα Κάλχον ἐρασθέντα τήν τε βασιλείαν ἐπιτρέπειν τὴν Δαυνίων αὐτῇ καὶ ἄλλα πολλὰ μειλίγματα παρέχεσθαι, τὴν δὲ ὑποκαιομένην Ὀδυσσέως (τότε γὰρ ἐτύγχανε παρών) ἀποστυγεῖν τε αὐτὸν καὶ κωλύειν ἐπιβαίνειν 15 τῆς νήσου. ἐπεὶ μέντοι οὐκ ἀνίει φοιτῶν καὶ διὰ στόμα ἔχων τὴν Κίρκην, μάλα ἀχθεσθεῖσα ὑπέρχεται αὐτόν, καὶ αὐτίκα εἰσκαλεσαμένη τράπεζαν αὐτῷ παντοδαπῆς θοίνης πλήσασα παρατίθησιν· ἦν δ' ἄρα φαρμάκων ἀνάπλεω τὰ ἐδέσματα, φαγών τε ὁ Κάλχος εὐθέως παραπλὴξ ἴεται, καὶ αὐτὸν ἤλασεν ἐς συφεούς. ἐπεὶ μέντοι μετὰ χρόνον Δαύνιος στρατὸς 20 ἐπῄει τῇ νήσῳ ζήτησιν ποιούμενος τοῦ Κάλχου, μεθίησιν αὐτόν, πρότερον ὁρκίοις καταδησαμένη, μὴ ἀφίξεσθαί ποτε εἰς τὴν νῆσον μήτε μνηστείας μήτε ἄλλου του χάριν.

XIII. *Περὶ Ἁρπαλύκης.* (Ἱστορεῖ Εὐφορίων Θρᾳκὶ καὶ Δεκτάδας.) Κλύμενος δὲ ὁ Τελέως ἐν Ἄργει γήμας Ἐπικάστην γεννᾷ παῖδας, ἄρρενας μὲν Ἴδαν καὶ Θήραγρον, θυγατέρα δὲ Ἁρπαλύκην πολύ τι τῶν ἡλίκων θηλειῶν κάλλει διαφέρουσαν. ταύτης εἰς ἔρωτα ἐλθὼν χρόνον μέν τινα 25

3. δή ῥ' ὀλοοῖο Legrand. ‖ 4. ἀονίδων, sed super α adscripto Δ (h. e. ἀδονίδων), P: ἀηδονίδων Heinsius ad Hesych. v. βεῦδος et Stanleius, ἀδωνιάδων Kayserus. ‖ ἀδινώτερον Ruhnk. ep. cr. p. 135. ‖ βήσσῃς P, vulg. βήσσῃ. ‖ 5. Σιδονίῳ Kayserus, erat Σιθονίῳ. ‖ κρουνῷ Legrand. ‖ πέρι idem: παρι P, περὶ vulg. ‖ 9. τὴν ἰδίᾳ Passovius. ‖ 10. βυβλίδα corr. P. ‖ 13. πολλὰ add. P, vulg. om. ‖ 20. ἴεται P: ἴσται ed. pr., ἵσταται Galeus, ἥστο Legrand. ‖ 24. μή — — τε (sic, lac. in ras.) P. ‖ 26. Δευχίδας Galeus, Ἀθανάδας Bastius. ‖ 29. Κλύμενος post ἐλθὼν a Galeo illatum sustulit Passovius. ‖

ἐκαρτέρει καὶ παρῆν τοῦ παθήματος· ὡς δὲ πολὺ μᾶλλον αὐτὸν ὑπέρρει τὸ νόσημα, τότε διὰ τῆς τροφοῦ κατεργασάμενος τὴν κόρην λαθραίως αὐτῇ συνῆλθεν. ἐπεὶ μέντοι γάμου καιρὸς ἦν καὶ παρῆν Ἀλάστωρ, εἷς τῶν Νηλειδῶν, ἀξόμενος αὐτήν, ᾧ καθωμολόγητο, παραχρῆμα μὲν ἐνεχείρισε πάνυ λαμπροὺς γάμους δαίσας· μεταγνοὺς δὲ οὐ πολὺ ὕστερον διὰ τὸ ἔκφρων εἶναι καταθεῖ τὸν Ἀλάστορα, καὶ περὶ μέσην ὁδὸν αὐτῶν ἤδη ὄντων ἀφαιρεῖται τὴν κόρην, ἀγόμενός τε εἰς Ἄργος ἀναφανδὸν αὐτῇ ἐμίσγετο. ἡ δὲ δεινὰ καὶ ἔκνομα πρὸς τοῦ πατρὸς ἀξιοῦσα πεπονθέναι τὸν νεώτερον ἀδελφὸν κατακόπτει, καί τινος ἑορτῆς καὶ θυσίας παρ' Ἀργείοις τελουμένης, ἐν ᾗ θερμοσίᾳ πάντες εὐωχοῦνται, καὶ τότε σκευάσασα τὰ κρέα τοῦ παιδὸς παρατίθησι τῷ πατρί. καὶ ταῦτα δράσασα αὐτὴ μὲν εὐξαμένη θεοῖς ἐξ ἀνθρώπων ἀπαλλαγῆναι μεταβάλλει τὴν ὄψιν εἰς καλχίδα ὄρνιν, Κλύμενος δέ, ὡς ἔννοιαν ἔλαβε τῶν συμφορῶν, διαχρῆται ἑαυτόν.

XIV. Περὶ Ἀνθέως. (Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά.) Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς, ἐκ βασιλείου γένους, ὠμήρευσε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νηλειδῶν, τότε κρατοῦντι Μιλησίων. τούτου Κλεόβοια, ἥν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνή, ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δίᾳ ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη ἐν νῷ εἶχε τίσασθαι αὐτόν, ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. ἔνθα δὴ χρόνου προϊόντος τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασσὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως, ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον· καὶ

5. παρὰ χρῆμα P. ‖ 7. μεταθεῖ Schneiderus. ‖ 10. δόξασα Legrand. ‖ 12. καί, quod habet P, cum Legrandio delevit Passovius. ‖ 14. δράσα addito σα ex corr. P. ‖ 15. χαλκίδα Schneiderus. ‖ 18. Ἄνθης Gavel in obss. misc. nov. 4. p. 243. ‖ 19. ἑνὶ Galeus, qui et ὡ: P ἐνὶ. ‖ νειλειδων P, vulg. Νειλειδῶν. ‖ 21. ἐμηχανᾶτο addito ι super ᾶ P. ‖ 24. προσισχόμενος P: corr. Legrand. ‖ 25. ἀνιλεῆ Galeus. ‖ τε — — καὶ (sic) P. ‖ 28. ὅπως, add. P: om. ed. pr., ὡς suffecit Galeus. ‖

ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δὲ ἄρα ἐνναηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδὸς ἀναρτᾷ ἑαυτήν. Φόβιος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς. ἔφασαν δέ τινες, οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι·

παῖς Ἱπποκλῆος Φόβιος Νηληιάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἕξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης
[5] Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεύς,
ὅρκι' ὁμηρείης πίστ' ἐπιβωσάμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
[10] ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρωτ·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος,
[15] σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα, θαλάσσῃ,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεύς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
[20] γαυλός μοι χρύσεος· φρείατος ἐκ μυχάτου

1. παρὰ χρῆμα P. ‖ 8. Alexandri fragmentum tractaverunt Brunck. Anal. 1. p. 419. Jacobs Anthol. 7. p. 239 sq. N. Bachius in Zeitschr. f. d. Alt. Wiss. 1837. nr. 41. ‖ 10. ἥξεται P cum puncto super η, quod ε esse suspicatur Kayserus: vulg. ἥξεται. ‖ 11. ἑλισσομένη P: ἐλισσομένη ed. pr. ‖ 12. Ἀσσηροῦ eadem. ‖ 13. ἀποδωσάμενος Legrand. ‖ 15. πετρήνης P: Πειρήνης Vales. ad Died. exc. 2. p. 548 (qui et οὐδὲ Μελίσσου Π. ναίοντ') et Davis. ad Max. Tyr. 1. p. 452, Πετρίνῃ Galens. ‖ 16. θελήσει P: θηλήσει Passovius, θαλλήσει Davisius, f. θηλάσει. ‖ 18. ἐν P: ἐπὶ Heynius. ‖ 19. ἔρων P et ed. pr., cett. ἔρον. ‖ 20. καθαψαμένης P: καθαψαμένη Legrand. ‖ ἀθέμιστα τελέσσαι Heynius. ‖ 21. ὁ δὲ ζῆνα P: Ζῆνα δ' ἀνὴρ Jacobs. ‖ 22. θαλάσσης P: θαλάσσῃ Legrand, qui et ipse τραπέζης dedit. ‖

νῦν ὅ γ' ἀνελκόμενος διὰ μὲν καλὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ᾤχετ' ἐφυδριάδας.
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηιδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
5 ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης. [25]
ὧδε μὲν ἡ Φοβέου Νηλιάδαο δάμαρ
φθέγξεθ', ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἶπα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
10 φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ [30]
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον ὀγκώσει τὸ μεμορμένον, ἡ δ' ὑπὸ δειρὴν
ἀψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

15 XV. Περὶ Δάφνης. (Ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Ἐλαΐτῃ ἐν ἐλεγείαις καὶ Φυλάρχῳ ἐν ιέ.) Περὶ δὲ τῆς Ἀμύκλα θυγατρὸς τάδε λέγεται Δάφνης. αὕτη τὸ μὲν ἅπαν εἰς πόλιν οὐ κατῄει, οὐδ' ἀνεμίσγετο ταῖς λοιπαῖς παρθένοις, παρασκευασαμένη δὲ πυκνὰς * ἐθήρευεν ἔστιν ὅτε καὶ ἐν τῇ
20 Λακωνικῇ καὶ ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου ὄρη· δι' ἣν αἰτίαν μάλα καταθύμιος ἦν Ἀρτέμιδι, καὶ αὐτὴν εὔστοχα βάλλειν ἐποίει. ταύτης περὶ τὴν Ἠλείαν ἁλωμένης Λεύκιππος, Οἰνομάου παῖς, εἰς ἐπιθυμίαν ἦλθε, καὶ τὸ μὲν ἄλλως πως αὐτῆς πειρᾶσθαι ἀπέγνω, ἀμφιεσάμενος δὲ γυ-

1. νῦν ὅ γ'] νεῖον Piers. ad Moer. p. 194, ἄρτι γ' Brunckius, εἴ μιν Heynius. ‖ καλὸν ἤρικε νοῦσον (sic) P, κ. ἤρικε νοῦσον vulg.: κ. ἤρικεν οὖσον Pierson, κ. ἤρικεν ὄγκῳ Brunckius, κ. ἤρικε σαυνόν Jacobs. ‖ 3. παισὶν Pierson. ‖ 5. τοι P: τότ' Pierson. ‖ μετὰ vulg. ‖ 6. νειλιάδαο P: Νηλιάδαο Passovius, Νηλεΐδαο Brunckius. ‖ 8. ἑλλαμένης P: ἁλλόμενος Galeus, ἑσσαμένης Legrand. ‖ 10. σκληρὰ Legrand. ‖ 12. καὶ τότε μὲν ξ. π. ἀποτμότατον ἡ. ὁ. μεμορημένον Heynius, καὶ τόδε μὲν ξ. π. ἀποτμοτάτῳ ἡ. ὁ. τὸ μ. Jacobs: καὶ τόδ' ὁ μὲν Bachius: ἠρίον οἰκήσει Brunckius, ἠρίον οἱ χώσει τὸ πεπρωμένον Legrand. ‖ 16. Ἐλαΐτῃ Galeus et sic P: ἐπαΐτῃ ed. pr. ‖ cf. Lucht. Phyl. fr. 34. p. 86. ‖ δὲ, quod habet P, sustulit Passovius. ‖ 17. δάφνη pr. m. P. ‖ 19. πυκνὰς P: κύνας Legrand, ἄρκυας seu δίκτυα Heynius, πυκνῶς Passovius, πυκνὰς λύγκας Luchtius. ‖ 22. ἡλικίαν ἁλωμένης εὔιππος P. ‖ 24. γυναικείαις ἀμπεχόναις P: γυναικείας ἀμπεχόνας Passovius ex corr. Legrandii, qui, si dativus servandus esset, ἠμφιεσμένος maluit. ‖

ναικείαις ἀμπεχόναις καὶ ὁμοιωθεὶς κόρῃ συνεθήρα αὐτῇ. ἔτυχε δέ πως αὐτῇ κατὰ νοῦν γενόμενος, οὐ μεθίει τε αὐτὸν ἀμφιπεσοῦσά τε καὶ ἐξηρτημένη πᾶσαν ὥραν. Ἀπόλλων δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθῳ καιόμενος ὀργῇ τε καὶ φθόνῳ εἴχετο τοῦ Λευκίππου συνόντος, καὶ ἐπὶ νοῦν αὐτῇ βάλλει σὺν ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην ἐλθούσαις λούεσθαι. ἔνθα δὴ ὡς ἀφικόμεναι ἐπεδιδύσκοντο καὶ ἑώρων τὸν Λεύκιππον μὴ βουλόμενον, περιέρρηξαν αὐτόν· μαθοῦσαι δὲ τὴν ἀπάτην καὶ ὡς ἐπεβούλευεν αὐταῖς, πᾶσαι μαθίεσαν εἰς αὐτὸν τὰς αἰχμάς. καὶ ὁ μὲν δὴ κατὰ θεῶν βούλησιν ἀφανὴς γίνεται, Ἀπόλλωνα δὲ Δάφνη ἐπ' αὐτὴν ἰόντα προϊδομένη μάλα ἐρρωμένως ἔφευγεν· ὡς δὲ συνεδιώκετο, παρὰ Διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι, καὶ αὐτήν φασι γενέσθαι τὸ δένδρον τὸ ἐπικληθὲν ἀπ' ἐκείνης δάφνην.

XVI. Περὶ Λαοδίκης. (Ἱστορεῖ Ἡγήσιππος Μιλησιακῶν ά.) Ἐλέχθη δὲ καὶ περὶ Λαοδίκης ὅδε λόγος, ὡς ἄρα παραγενομένων ἐπὶ Ἑλένης ἀπαίτησιν Διομήδους καὶ Ἀκάμαντος πολλὴν ἐπιθυμίαν ἔχειν μιγῆναι παντάπασι νέῳ ὄντι Ἀκάμαντι, καὶ μέχρι μέν τινος ὑπ' αἰδοῦς κατέχεσθαι, ὕστερον δὲ νικωμένην ὑπὸ τοῦ πάθους ἀνακοινώσασθαι Περσέως γυναικί (Φιλοβίη αὐτῇ ὄνομα), παρακαλεῖν τε αὐτὴν ὅσον οὐκ ἤδη διοιχομένῃ ἀρήγειν αὐτῇ. κατοικτείρουσα δὲ τὴν συμφορὰν τῆς κόρης δεῖται τοῦ Περσέως ὅπως συνεργὸς αὐτῇ γένηται, ἐκέλευέ τε ξενίαν καὶ φιλότητα τίθεσθαι πρὸς τὸν Ἀκάμαντα. Περσεὺς δὲ τὸ μὲν καὶ τῇ γυναικὶ βουλόμενος ἁρμόδιος εἶναι, τὸ δὲ καὶ τὴν Λαοδίκην οἰκτείρων, πάσῃ μηχανῇ ἐπεὶ τὸν Ἀκάμαντα εἰς Δάρδανον ἀφικέσθαι πείθει (παθίστατο γὰρ ὕπαρχος τοῦ χωρίου), ἦλθε καὶ Λαοδίκη ὡς εἰς ἑορτήν τινα σὺν ἄλλαις τῶν Τρῳάδων ἔτι παρθένος οὖσα. ἔνθα δὴ παντοδαπὴν θοίνην ἑτοιμασάμενος συγκατακλίνει καὶ τὴν Λαοδίκην αὐτῷ, φάμενος μίαν εἶναι τῶν τοῦ βασι-

2. μεθιεὶς P: corr. Galeus. ‖ 10. δὴ Legrand: ἢ P. ‖ 11. γίνεται P: γίγνεται Passovius. ‖ προειδομένη addito ι super ει P. ‖ 18. εἶχε Legrand. ‖ 22. διοιχομένῃ Heynius et sic P, fuerat διοιχομένην: Legrand μονονουχὶ δὴ οἰχομένῃ ἀρήγειν αὐτῇ· ἡ δὲ κατ. τ. ‖ 27. ἐπεὶ delevit et δὲ post ἦλθε addidit Legrand: ἐπείγων pro ἐπεὶ τὸν Jacobs in ephem. Hal. 1806. nr. 282, post in Anthol. 12. p. 208 et add. anim. in Athen. p. 267 ἐπῄει τ. Ἀ. καὶ εἰς Δ. ‖

λέως παλλακιδίων. καὶ Λαοδίκη μὲν οὕτως ἐξέπλησε τὴν ἐπιθυμίαν, χρόνου δὲ προϊόντος γίνεται τῷ Ἀκάμαντι υἱὸς Μούσιτος, ὃν ὑπ' Αἴθρᾳ τραφέντα μετὰ Τροίας ἅλωσιν διεκόμισεν ἐπ' οἶκου· καὶ αὐτὸν θηρεύοντα ἐν Ὀλύνθῳ τῆς Θρᾴκης ὄφις ἀνεῖλεν.

XVII. Περὶ τῆς Περιάνδρου μητρός. Λέγεται δὲ καὶ Περίανδρον τὸν Κορίνθιον τὴν μὲν ἀρχὴν ἐπιεικῆ τε καὶ πρᾷον εἶναι, ὕστερον δὲ φονικώτερον γενέσθαι δι' αἰτίαν τήνδε. ἡ μήτηρ αὐτοῦ κομιδῇ νέου πολλῷ πόθῳ κατείχετο, καὶ τέως ἀνεπίμπλατο τῆς ἐπιθυμίας περιπλεκομένη τῷ παιδί. προϊόντος δὲ τοῦ χρόνου τὸ πάθος ἐπὶ μεῖζον ηὔξετο, καὶ κατέχειν τὴν νόσον οὐκ ἔτι οἵα τε ἦν, ἕως ἀποτολμήσασα προσφέρει λόγους τῷ παιδί, ὡς αὐτοῦ γυνή τις ἐρῴη τῶν πάνυ καλῶν, παρεκάλει τε αὐτὸν μὴ περιορᾷν αὐτὴν περαιτέρω καταξαινομένην. ὁ δὲ τὸ μὲν πρῶτον οὐκ ἔφη φθερεῖν ἐζευγμένην γυναῖκα ὑπό τε νόμων καὶ ἐθῶν, λιπαρῶς δὲ προσκειμένης τῆς μητρὸς συγκατατίθεται. καὶ ἐπειδὴ νὺξ ἐπῆλθεν, εἰς ἣν ἐτέτακτο τῷ παιδί, προεδήλωσεν αὐτῷ μήτε λύχνα φαίνειν ἐν τῷ θαλάμῳ, μήτε ἀνάγκην αὐτῇ ἐπάγειν πρὸς τὸ διαλεχθῆναί τι· ἐπιπροσδεῖσθαι γὰρ αὐτὴν ὑπ' αἰδοῦς. καθομολογησαμένου δὲ τοῦ Περιάνδρου πάντα ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός, ὡς ὅτι κράτιστα αὐτὴν ἀσκήσασα εἰσέρχεται παρὰ τὸν παῖδα, καὶ πρὶν ἢ περιφαίνειν ἕω λαθραίως ἔξεισιν. τῇ δ' ὑστεραίᾳ ἀναπυνθανομένης αὐτῆς, εἰ κατὰ νοῦν αὐτῷ γένοιτο καὶ εἰ αὖτις λέγει αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι, ὁ Περίανδρος σπουδάζειν τε ἔφη καὶ ἡσθῆναι οὐ μετρίως. ὡς δὲ ἐκ τούτου οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα καί τις ἔρως ἐπῄει τὸν Περίανδρον, ἤδη σπουδὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν. καὶ ἕως μέν τινος

2. γίνεται P: γίγνεται Passevius. ‖ 3. Αἴθρᾳ Galeus, fuerat αἴθρα. ‖ 5. ὄφις — ἀνεῖλεν (sic) P. ‖ 7. τε add. P, vulg. om. ‖ 9. πόθῳ add. Galeus. ‖ 12. τὴν add. P, vulg. om. ‖ οἵα P, vulg. οἷά. ‖ 19. λύχνα Galeus: νύκτα P. ‖ 20. ἐπιπροσθεῖσθαι P: ἐπικρατεῖσθαι Legrand. ‖ 22. αὐτὴν P. ‖ 23. προφαίνειν, ἐπιφαίνειν, φανῆναι, προφανῆναι Legrand, ἐπιφανῆναι τὴν ἕω Schneiderus. ‖ 25. λέγει P: θέλοι v. ἐθέλοι Bastius, λέγοι ex Heynii corr. Passevius. ‖ 27. τούτου P: ἐκ τούτου Koen. ad Greg. p. 127, τοῦτο vulg., μετὰ τοῦτο Heynius, qui et τοῦτο deleri posse censuit. ‖ ἀνίει P: ἀνοίγει Galeus, ὡς δὲ οὐκ ἀνίει τοῦθος φ. Legrand. ‖

ἐδεῖτο τῆς μητρὸς ἐξικετεῦσαι ἐκείνην, ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο, καὶ ἐπειδὴ εἰς πολὺν πόθον ἐπάγοιτο αὐτόν, δήλη ποτὲ γένοιτο· νυνὶ δὲ παντάπασι πρᾶγμα ἄγνωμον πάσχειν διὰ τὸ μὴ ἐφίεσθαι αὐτῷ καθορᾷν τὴν ἐκ πολλοῦ χρόνου συνοῦσαν αὐτῷ. ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν αἰτιωμένη τὴν 5 αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν ἀμφ' αὐτὸν οἰκετῶν λύχνα κατακρύψαι· τῆς δὲ κατὰ τὸ σύνηθες ἀφικομένης καὶ μελλούσης κατακλίνεσθαι ἀναδραμὼν ὁ Περίανδρος ἀναιρεῖ τὸ φῶς, καὶ κατιδὼν τὴν μητέρα ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν· κατασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσμα- 10 τος ἀπετράπετο, κἀκ τούτου παραπλὴξ ἦν νοῦ τε καὶ φρενῶν, κατέσκηψέ τε εἰς ὠμότητα καὶ πολλοὺς ἀπέσφαξε τῶν πολιτῶν· ἡ δὲ μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς δαίμονα ἀνεῖλεν ἑαυτήν.

XVIII. *Περὶ Νεαίρας.* (Ἱστορεῖ Θεόφραστος ἐν ά τῶν 15 πρὸς τοὺς καιρούς.) Ὑψικρέων δὲ Μιλήσιος καὶ Προμέδων Νάξιος μάλιστα φίλω ἤστην. ἀφικομένου οὖν ποτε Προμέδοντος εἰς Μίλητον θᾶτέρου λέγεται τὴν γυναῖκα Νέαιραν ἐρασθῆναι αὐτοῦ· καὶ παρόντος μὲν τοῦ Ὑψικρέοντος μὴ τολμᾶν αὐτὴν διαλέγεσθαι τῷ ξένῳ, μετὰ δὲ χρόνον, ὡς ὁ μὲν 20 Ὑψικρέων ἐτύγχανεν ἀποδημῶν, ὁ δὲ αὖτις ἀφίκετο, νύκτωρ αὐτοῦ κοιμωμένου ἐπεισέρχεται ἡ Νέαιρα, καὶ πρώτη μὲν οἵα τε ἦν πείθειν αὐτόν· ἐπειδὴ δὲ ἐκεῖνος οὐκ ἐνεδίδου, Δία τε ἑταιρήιον καὶ ξένιον αἰδούμενος, προσέταξεν ἡ Νέαιρα ταῖς θεραπαίναις ἀποκλεῖσαι τὸν θάλαμον, καὶ οὕτως πολλὰ 25 ἐπαγωγὰ ποιούσης ἠναγκάσθη μιγῆναι αὐτῇ. τῇ μέντοι ὑστεραίᾳ δεινὸν ἡγησάμενος εἶναι τὸ πραχθὲν ᾤχετο πλέων ἐπὶ τῆς Νάξου· ἔνθα καὶ ἡ Νέαιρα δείσασα τὸν Ὑψικρέοντα διέπλευσεν εἰς τὴν Νάξον· καὶ ἐπειδὴ αὐτὴν ἐξήτει ὁ Ὑψι-

3. ποτὲ γεγένηται P: ποτὲ Heynius, τὸ τέλος γένοιτο Jacobs ad Achill. Tat. p. 620, γένηται Legrand. ‖ 5. ἀπείρηκεν Legrand. ‖ 6. αὐτὸν P, vulg. αὐτόν. ‖ 8. ἀναίρει Legrand. ‖ 13. ἑαυτῆς P: αὐτῆς Legrand, vulg. αὐτῆς. ‖ 17. φίλω P: φίλοι Galeus. ‖ 18. μιλήτου P. ‖ 22. ὑπεισέρχεται Legrand. ‖ πρῶτον μὲν ᾤετο πείθειν idem, πρῶτα μὲν οἷά τε ἦν πείθειν Palairet. ap. Peerlkamp. ad Xen. Ephes. 1, 15. p. 189, πρῶτον ἢ μὲν οἵα τε ᾤετ' εἶναι πείθειν Passovius, οὐχ excidisse consult Kayserus. ‖ 23. ἐνεδίδου Heynius: ἐδίδου P. ‖ 24. ἑταιρήιον P: ἑταιρεῖον Passovius. ‖ 29. ἐξήτει P: ἐζήτει Galeus. ‖

κρέων, ἱκέτις προσκαθίζετο ἐπὶ τῆς ἑστίας τῆς ἐν τῷ πρυτανείῳ. οἱ δὲ Νάξιοι λιπαροῦντι τῷ Ὑψικρέοντι ἐκδώσειν μὲν οὐκ ἔφασαν, ἐκέλευον μέντοι πείσαντα αὐτὴν ἄγεσθαι· δόξας δὲ ὁ Ὑψικρέων ἀσεβεῖσθαι πείθει Μιλησίους πολεμεῖν τοῖς Ναξίοις.

XIX. Περὶ Παγκρατοῦς. (Ἱστορεῖ Ἀνδρίσκος ἐν Ναξιακῶν β'.) Σκέλλις τε καὶ Κασσαμενὸς, οἰκήτορες Θρᾴκης, ὁρμήσαντες ἀπὸ νήσου τῆς πρότερον μὲν Στρογγύλης, ὕστερον δὲ Νάξου κληθείσης, ἐληίζοντο μὲν τήν τε Πελοπόννησον καὶ τὰς περὶξ νήσους, προσσχόντες δὲ Θεσσαλίᾳ πολλάς τε ἄλλας γυναῖκας κατέσυραν, ἐν δὲ καὶ τὴν Ἀλωέως γυναῖκα Ἰφιμέδην καὶ θυγατέρα αὐτῆς Παγκρατώ· ἧς ἀμφότεροι εἰς ἔρωτα ἀφικόμενοι ἀλλήλους κατέκτειναν.

XX. Περὶ Αἰροῦς. Λέγεται δὲ καὶ Οἰνοπίωνος καὶ νύμφης Ἑλίκης Αἰρὼ κόρην γενέσθαι· ταύτης δὲ Ὠρίωνα τὸν Ὑριέως ἐρασθέντα παρ' αὐτοῦ παραιτεῖσθαι τὴν κόρην, καὶ διὰ ταύτην τήν τε νῆσον ἐξημερῶσαι τότε θηρίων ἀνάπλεων οὖσαν, λείαν τε πολλὴν περιελαύνοντα τῶν προσχώρων ἔθνα διδόναι· τοῦ μέντοι Οἰνοπίωνος ἑκάστοτε ὑπερτιθεμένου τὸν γάμον διὰ τὸ ἀποστυγεῖν αὐτῷ γαμβρὸν τοιοῦτον γενέσθαι, ὑπὸ μέθης ἔκφρονα γενόμενον τὸν Ὠρίωνα κατάξαι τὸν θάλαμον, ἔνθα ἡ παῖς ἐκοιμᾶτο, καὶ βιαζόμενον ἐκκαῆναι τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ Οἰνοπίωνος.

XXI. Περὶ Πεισιδίκης. Λέγεται δὲ καὶ ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς τῇ ἠπείρῳ νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν Λέσβῳ· ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραΐζειν. ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες μάλα κρατερῶς ἀντεῖχον, καὶ ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως

1. ἱκέτις Legrand, fuerat ἱκέτης. ‖ προσεκαθίζετο Legrand, qui et προκαθίζετο coniecit. ‖ 4. ἀδικεῖσθαι et mox τοὺς Μ. λ. idem. ‖ 7. κήτορες οἱ θρᾴκης P: οἰκήτορες Θρᾴκης Passovius, Κήτορος ἐκ Θρ. Galeus, οἱ Κήτορος ἐκ Θρ. Heynius, οἱ Κήτορος οἱ Θρᾷκες Legrand. ‖ 8. ὁρμήσαντες et προσχόντες P, vulg. ὁρμήσαντε et προσσχόντε. ‖ 11. ἀλωέως P, vulg. Ἀλωέως. ‖ 14. Ἡροῦς Passovius. ‖ 15. ὠρίωνα hic et infra P. ‖ 16. παρὰ τοῦ πατρὸς αἰτεῖσθαι Legrand. ‖ 21. κατάξαι P: κατεάξαι Galeus. ‖ 22. ἔνθα] καὶ ἔνθα P. ‖ 25. προσχεῖν P. ‖ 27. καρτερῶς Legrand. ‖ 29. Π. τὴν τοῦ Μηθυμναίων β. θ. Legrand. ‖

θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ, καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῷ τὴν πόλιν, εἴ γε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολογήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῷ δρασθέντι προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. μέμνηται τοῦ πάθους τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας ἐν τοῖσδε·

ἐνθάδε Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον ἥρω,
ἐκ δ' Ἱκετάονα πέφνεν, ἰθαγενέος Λεπετύμνου
υἱέα Μηθύμνης τε καὶ ἀλκηέστατον ἄλλων,
αὐτοκασίγνητον Ἑλικάονος, ἔνδοθι πάτρης
[5] τηλίκον ὑψιπύλου· θαλερὴ δέ μιν ἄασε Κύπρις.
ἡ γὰρ ἐπ' Αἰακίδῃ κούρῃ φρένας ἐπτοίησε
Πεισιδίκῃ, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν
χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ' ἐς ὑγρὴν
ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος.

εἶτα μικρὸν ὑποβάς·

[10] δέκτο μὲν αὐτίκα λαὸν Ἀχαϊκὸν ἔνδοθι πάτρης
παρθενική, κληῖδας ὑποχλίσσασα πυλάων,
ἔτλη δ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας
χαλκῷ ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν
ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίῃς Ἀχιλῆος,
[15] ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν
πενθεροὶ Αἰακίδαι, Φθίῃ δ' ἐν δώματα ναίοι
ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ· οὐ δ' ὅ γ' ἔμελλε
τὰ ῥέξειν, ὀλῷ δ' ἐπαγάσσατο πατρίδος οἴτῳ·
ἔνθ' ἥ γ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο
[20] Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον
πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

4. παρ' αὐτίκα P. ‖ 8. λάμπεδον P. ‖ ἥρω P: Ἴρου Galeus ex Steph. B. s. v. Λαμπίκειον. ‖ 9. ἐκ—λεπετύμνου P, nisi quod πεφν—εν (sic): καὶ δ' Ἱκετάονα πέφνεν, ἰθαγενέος Λεπετίμνου Galeus. ‖ 12. ὑψιπυλον P: ὑψιπύλου Legrand, Ὑψίπυλον Galeus, ὑψίπολιν Passovius: versus 5—9 post v. 10, et 1—4 (usque ad Ἑλικάονος) post v. 21 poni vult Kayserus. ‖ 13. κούρῃ πεισιδίκῃ P: κούρης Πεισιδίκης Heynius. ‖ 15. θυέσκετο P: corr. Galeus. ‖ 18. μὰν P. ‖ 23. ἦεν P. ‖ 26. ἐπαγάσσετο P: corr. Galeus. ‖ 28. μιν Legrand et sic P: fuerat μὰν. ‖

XXII. Περὶ Νανίδος. (Ἡ ἱστορία παρὰ Λεκυμνίῳ τῷ Χίῳ μελοποιῷ καὶ Ἑρμησιάνακτι.) Ἔφασαν δέ τινες καὶ τὴν Σαρδίων ἀκρόπολιν ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως ἁλῶναι προδούσης τῆς Κροίσου θυγατρὸς Νανίδος. ἐπειδὴ γὰρ ἐπολιόρκει Σάρδεις Κῦρος καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινεν, ἐν πολλῷ τε δέει ἦν μὴ ἀθροισθὲν τὸ συμμαχικὸν αὐτῆς τῷ Κροίσῳ διαλύσειεν αὐτῷ τὴν στρατιάν, τότε τὴν παρθένον ταύτην εἶχε λόγος περὶ προδοσίας συνθεμένην τῷ Κύρῳ, εἰ κατὰ νόμους Περσῶν ἕξει γυναῖκα αὐτήν, κατὰ τὴν ἄκραν μηδενὸς φυλάσσοντος δι' ὀχυρότητα τοῦ χωρίου εἰσδέχεσθαι τοὺς πολεμίους, συνεργῶν αὐτῇ καὶ ἄλλων τινῶν γενομένων· τὸν μέντοι Κῦρον μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.

XXIII. Περὶ Χειλωνίδος. Κλεώνυμος ὁ Λακεδαιμόνιος, βασιλείου γένους ὢν καὶ πολλὰ κατορθωσάμενος Λακεδαιμονίοις, ἔγημε Χειλωνίδα προσήκουσαν αὐτῷ κατὰ γένος. ταύτῃ σφοδρῶς ἐπιτεταμένου τοῦ Κλεωνύμου καὶ τὸν ἔρωτα οὐκ ἠρέμα φέροντος, τοῦ μὲν κατηλόγει, πᾶσα δὲ ἐνέκειτο Ἀκροτάτῳ τῷ τοῦ βασιλέως υἱεῖ. καὶ γὰρ ὁ μειρακίσκος αὐτῆς ἀναφανδὸν ὑπεκαίετο, ὥστε πάντας ἀνὰ στόμα ἔχειν τὴν ὁμιλίαν αὐτῶν· δι' ἣν αἰτίαν δυσανασχετήσας ὁ Κλεώνυμος, καὶ ἄλλως δὲ οὐκ ἀρεσκόμενος τοῖς Λακεδαιμονίοις ἤθεσιν, ἐπεραιώθη πρὸς Πύρρον εἰς Ἤπειρον, καὶ αὐτὸν ἀναπείθει πειρᾶσθαι τῆς Πελοποννήσου, ὡς εἰ καὶ ἐντόνως ἅψαιντο τοῦ πολέμου, ῥᾳδίως ἐκπολιορκήσοντες τὰς ἐν αὐτῇ πόλεις· ἔφη δὲ καὶ αὐτῷ τι ἤδη προδιειργάσθαι, ὥστε καὶ στάσιν ἐγγενέσθαι τισὶ τῶν πολεμίων.

XXIV. Περὶ Ἱππαρίνου. Ἱππαρῖνος δὲ Συρακοσίων τύραννος εἰς ἐπιθυμίαν ἀφίκετο πάνυ καλοῦ παιδός· Ἀχαιὸς

4. τὶς ἡ κροίσου θυγάτηρ P in mg. ‖ 7. διαλύσειν P: corr. Legrand. ‖ αὐτοῦ Legrand. ‖ 8. ἔχει idem. ‖ 11. εἰσδέξασθαι idem. ‖ 14. ad Phylarchum hanc narrationem rettulit Lucht. Phyl. fr. 48. p. 109. ‖ 16. Χειλωνίδα Toup. ad Schol. Theocr. 4, 62. ‖ 17. ἐπιτεταμένου Heynius et sic iam Toup. em. in Hesych. p. 169, nec dissentit P, qui habet ἐπιτεταγμένου (sic): vulg. ἐπιτεταμένου. ‖ 19. ἀποκροτάτῳ P. ‖ 21. αὐτῷ ed. pr. ‖ 22. δὲ om. Galeus. ‖ 23. ἤθεσιν P: ἔθεσιν Galeus. ‖ 25. αὐτοῖς P, quod ex ed. pr. revocavit Passovius: αὐτῇ Galeus. ‖ 27. πολεμίων P: πόλεων ex Heynii corr. Passovius. ‖

αὐτῷ ὄνομα. τοῦτον ἐξαλλάγμασι πολλοῖς ὑπαγόμενος πείθει τὴν οἰκίαν ἀπολιπόντα σὺν αὐτῷ μένειν· χρόνου δὲ προϊόντος, ὡς πολεμίων τις ἔφοδος προσηγγέλη πρός τι τῶν ὑπ' ἐκείνου κατεχομένων χωρίων, καὶ ἔδει κατὰ τάχος βοηθεῖν, ἐξορμῶν ὁ Ἱππαρῖνος παρεκελεύσατο τῷ παιδί, εἴ τις ἐντὸς τῆς 5 αὐλῆς βιάζοιτο, κατακαίνειν αὐτὸν τῇ σπάθῃ, ἣν ἐτύγχανεν αὐτῷ κεχαρισμένος. καὶ ἐπειδὴ συμβαλὼν τοῖς πολεμίοις κατὰ κράτος αὐτοὺς εἷλεν, ἐπὶ πολὺν οἶνον ἐτράπετο καὶ συνουσίαν· ἐκκαιόμενος δὲ ὑπὸ μέθης καὶ πόθου τοῦ παιδὸς ἀφίππευσεν εἰς τὰς Συρακούσας, καὶ παραγενόμενος ἐπὶ τὴν οἰ- 10 κίαν, ἔνθα τῷ παιδὶ παρεκελεύσατο μένειν, ὃς μὲν ἦν οὐκ ἐδήλου, θετταλίζων δὲ τῇ φωνῇ τὸν Ἱππαρῖνον ἔφησεν ἀπεκτονηκέναι· ὁ δὲ παῖς διαγανακτήσας σκότους ὄντος παίει καιρίαν τὸν Ἱππαρῖνον· ὁ δὲ τρεῖς ἡμέρας ἐπιβιοὺς καὶ τοῦ φόνου τὸν Ἀχαιὸν ἀπολύσας ἐτελεύτησεν. 15

XXV. Περὶ Φαύλλου. (Ἱστορεῖ Φύλαρχος.) Φάϋλλος δὲ τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικός, ὃς Οἰταίων προστάτης ἦν. οὗτος διαπεμπόμενος πρὸς αὐτὴν χρυσόν τε πολὺν καὶ ἄργυρον ἐπηγγέλλετο δώσειν, εἴ τέ τινος ἄλλου δέοιτο, φράζειν ἐκέλευεν ὡς οὐχ ἁμαρτησομένην. τὴν δ' ἄρα 20 πολὺς εἶχε πόθος ὅρμου τοῦ τότε κειμένου ἐν τῷ τῆς Προνοίας Ἀθηνᾶς ἱερῷ, ὃν εἶχε λόγος Ἐριφύλης γεγονέναι, ἠξίου τε ταύτης τῆς δωρεᾶς τυχεῖν. Φάϋλλος δὲ τά τε ἄλλα κατασύρων ἐκ Δελφῶν ἀναθήματα ἀναιρεῖται καὶ τὸν ὅρμον· ἐπεὶ δὲ διεκομίσθη εἰς οἶκον τὸν Ἀρίστωνος, χρόνον μέν τινα 25 ἐφόρει αὐτὸν ἡ γυνὴ μάλα περίπυστος οὖσα, μετὰ δὲ ταῦτα παραπλήσιον αὐτῇ πάθος συνέβη τῶν περὶ τὴν Ἐριφύλην γενομένων. ὁ γὰρ νεώτερος τῶν υἱῶν αὐτῆς μανεὶς τὴν οἰκίαν ὑφῆψε καὶ τήν τε μήτερα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξε. 30

1. τοῦτον οὖν ἀνταλλάγμασι vel μειλίγμασι Legrand. ‖ 3. προσηγγέλθη Heynius. ‖ 4. χωρίων Legrand. ‖ 8. συνουσίαν P: συμποσίαν ex Legrandii corr. Passovius. ‖ 10. συρακούσσας P. ‖ 12. Ἱππαρῖνον] Ἀχαιὸν Galeus. ‖ 16. cf. Lucht. Phyl. fr. 60. p. 124. ‖ 21. προνοίας P: Προναίας Passovius ex corr. Wesseling. ad Diod. 11, 14: sed vid. G. Hermanni opp. 6, 2. p. 17. ‖ 23. κατασυλῶν Legrand, καλὰ συλῶν Luchtius. ‖ 26. περίπυστον ὄντα Legrand. ‖ 28. γινομένων P: γενομένων Galeus, τῷ—γενομένῳ Schneiderus. ‖

XXVI. *Περὶ Ἀπριάτης.* (Ἱστορεῖ Εὐφορίων Θρᾳκί.) Ἐν Λέσβῳ παιδὸς Ἀπριάτης Τράμβηλος ὁ Τελαμῶνος ἐρασθεὶς πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγαγέσθαι τὴν κόρην· ὡς δ' ἐκείνη οὐ πάνυ ἐνεδίδου, ἐνενοεῖτο δόλῳ καὶ ἀπάτῃ περι-
5 γενέσθαι αὐτῆς. πορευομένην οὖν ποτε σὺν θεραπαινιδίοις ἐπί τι τῶν πατρῴων χωρίων, ὃ πλησίον τῆς θαλάσσης ἔκειτο, λοχήσας εἷλεν. ὡς δὲ ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρθενίας, ὀργισθεὶς Τράμβηλος ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν· ἐτύγχανε δὲ ἀγχιβαθὴς οὖσα. καὶ ἡ μὲν ἄρα
10 οὕτως ἀπολώλει· τινὲς μέντοι ἔφασαν διωκομένην ἑαυτὴν ῥῖψαι. Τράμβηλον δὲ οὐ πολὺ μετέπειτα τίσις ἐλάμβανεν ἐκ θεῶν· ἐπειδὴ γὰρ Ἀχιλλεὺς ἐκ τῆς Λέσβου πολλὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος ἐπαγομένων αὐτὸν τῶν ἐγχωρίων βοηθὸν συνίσταται αὐτῷ, ἔνθα δὴ πληγεὶς εἰς τὰ στέρνα
15 παραχρῆμα πίπτει· ἀγάμενος δὲ τῆς ἀλκῆς αὐτὸν Ἀχιλλεὺς ἔτι ἔμπνουν ἀνέκρινεν, ὅστις τε ἦν καὶ ὁπόθεν· ἐπεὶ δὲ ἔγνω παῖδα Τελαμῶνος ὄντα, πολλὰ κατοδυρόμενος ἐπὶ τῆς ἡιόνος μέγα χῶμα ἔχωσε· τοῦτο ἔτι νῦν ἡρῷον Τραμβήλου καλεῖται.

20 XXVII. *Περὶ Ἀλκινόης.* (Ἱστορεῖ Μοιρὼ ἐν ταῖς ἀραῖς.) Ἔχει δὲ λόγος καὶ Ἀλκινόην τὴν Πολύβου μὲν τοῦ Κορινθίου θυγατέρα, γυναῖκα δὲ Ἀμφιλόχου τοῦ Δρύαντος, κατὰ μῆνιν Ἀθηνᾶς ἐπιμανῆναι ξένῳ Σαμίῳ· Ξάνθος αὐτῷ ὄνομα· ἐπὶ μισθῷ γὰρ αὐτὴν ἀγαγομένην χερνῆτιν γυναῖκα
25 Νικάνδρην καὶ ἐργασαμένην ἐνιαυτὸν ὕστερον ἐκ τῶν οἰκείων ἐλάσαι μὴ ἐντελῆ τὸν μισθὸν ἀποδοῦσαν· τὴν δὲ ἀράσασθαι πολλὰ Ἀθηνᾷ, τίσασθαι αὐτὴν ἀντ' ἀδίκου στερήσεως· ὅθεν εἰς τοσοῦτόν τε ἐλθεῖν, ὥστε ἀπολιπεῖν οἶκόν τε καὶ παῖδας ἤδη γεγονότας, συνεκπλεῦσαί τε τῷ Ξάνθῳ· γενομέ-
30 νην δὲ κατὰ μέσον πόρον ἔννοιαν λαβεῖν τῶν εἰργασμένων, καὶ αὐτίκα πολλά τε δάκρυα προΐεσθαι καὶ ἀνακαλεῖν ὁτὲ

1. cf. Meinekii Euphor. p. 74 sq. ‖ 4. ἐνενόει τὸ P: ἐνενοεῖτο Bastius, ἐνενόει Heynius. ‖ 6. χωρίον Legrand. ‖ 9. ἐτύγχανεν P. ‖ 10. γράφει ἀριστόκριτος ἐν τοῖς περὶ μιλήτου P in mg. ‖ 15. παρὰ χρῆμα P. ‖ 17. κατοδυράμενος Meinekius. ‖ 25. οἰκείων P: οἰκίων ex Schneiderl corr. Passovius. ‖ 27. ἀποστερήσεως Schneiderus. ‖ 28. τοσοῦτον τε ἐ. P: τ. τε μανίας ἐ. Galeus, τ. τι μανίας ἐ. Legrand. ‖

μὲν ἄνδρα κουρίδιον, ὁτὲ δὲ τοὺς παῖδας· τέλος δὲ πολλὰ τοῦ Ξάνθου παρηγοροῦντος καὶ φαμένου γυναῖκα ἕξειν, μὴ πειθομένην ῥῖψαι ἑαυτὴν εἰς θάλασσαν.

XXVIII. *Περὶ Κλείτης.* (Ἱστορεῖ Εὐφορίων Ἀπολλοδώρῳ, τὰ ἑξῆς Ἀπολλώνιος Ἀργοναυτικῶν ά.) Διαφόρως δὲ ἱστορεῖται περὶ Κυζίκου τοῦ Αἰνέου· οἱ μὲν γὰρ αὐτὸν ἔφασαν ἁρμοσάμενον Λάρισσαν τὴν Πιάσου, ᾗ ὁ πατὴρ ἐμίγη πρὸ γάμου, μαχόμενον ἀποθανεῖν, τινὲς δὲ προσφάτως γήμαντα Κλείτην συμβαλεῖν δι' ἄγνοιαν τοῖς μετὰ Ἰάσονος ἐπὶ τῆς Ἀργοῦς πλέουσι, καὶ οὕτως πεσόντα πᾶσι μεγάλως ἀλγεινὸν πόθον ἐμβαλεῖν, ἐξόχως δὲ τῇ Κλείτῃ· ἰδοῦσα γὰρ αὐτὸν ἐρριμμένον περιεσχέθη καὶ πολλὰ κατωδύρατο, νύκτωρ δὲ λαθοῦσα τὰς θεραπαινίδας ἀπό τινος δένδρου ἀνήρτησεν ἑαυτήν.

XXIX. *Περὶ Δάφνιδος.* (Ἱστορεῖ Τίμαιος Σικελικοῖς.) Ἐν Σικελίᾳ δὲ Δάφνις Ἑρμοῦ παῖς ἐγένετο, σύριγγί τε δὴ δεξιῶς χρήσασθαι καὶ τὴν ἰδέαν ἐκπρεπής. οὗτος εἰς μὲν τὸν πολὺν ὅμιλον ἀνδρῶν οὐ κατῄει, βουκολῶν δὲ κατὰ τὴν Αἴτνην χείματός τε καὶ θέρους ἠγραύλει. τούτου λέγουσιν Ἐχεναΐδα νύμφην ἐρασθεῖσαν παρακελεύσασθαι αὐτῷ γυναικὶ μὴ πλησιάζειν· μὴ πειθομένου γὰρ αὐτοῦ συμβήσεσθαι τὰς ὄψεις ἀποβαλεῖν. ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖχεν, καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐτῷ, ὕστερον δὲ μία τῶν κατὰ τὴν Σικελίαν βασιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν ἤγαγεν εἰς ἐπιθυμίαν αὐτῇ μιγῆναι. καὶ οὗτος ἐκ τοῦδε ὁμοίως Θαμύρᾳ τῷ Θρᾳκὶ δι' ἀφροσύνην ἐπεπήρωτο.

XXX. *Περὶ Κελτίνης.* Λέγεται δὲ καὶ Ἡρακλέα, ὅτε ἀπ' Ἐρυθείας τὰς Γηρυόνου βοῦς ἤγαγεν, ἁλώμενον διὰ τῆς Κελτῶν χώρας ἀφικέσθαι παρὰ Βρεταννόν· τῷ δὲ ἄρα

4. cf. Meineki Euphor. p. 60: Apoll. Arg. 1. 961 sqq. 1053 sqq. ‖ 6. Αἰνέος (certe Αἰνίως) Galens. ‖ 7. λάρισσαν P. ‖ 12. περιεχύθη Legrand. ‖ 14. ἑαυτὴν add. Goens. obs. misc. p. 54: om. P. ‖ 15. cf. Goeller d. sit. et orig. Syrac. (Tim. fr. 108) p. 291. ‖ 17. δή τε P: τε δὴ Passovius, τε Legrand, adiectivum velut ἐπιτήδειος hic latere censuit Kayserus. ‖ δεξιὸς Galeus. ‖ εὐπρεπὴς Schneiderus. ‖ 21. πειθομένῳ γὰρ αὐτῷ Legrand. ‖ συμβήσεται P: corr. Legrand. ‖ 25. αὐτῷ P: corr. Heynius. ‖ 26. οὕτως Heynius. ‖ 29. ἁλωμενον P. ‖

νως ὑπεδέχετο· ἦν δὲ τὴν ἰδέαν κράτιστος· φωράσας δὲ αὐτὸν ὁ πατὴρ ἀνεῖλεν. Νίκανδρος μέντοι τὸν Κόρυθον οὐκ Οἰνώνης, ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου φησὶν γενέσθαι, λέγων ἐν τούτοις·

ἠρία τ' εἰν Ἀΐδαο κατοιχομένου Κορύθοιο,
ὅν τε καὶ ἁρπακτοῖσιν ὑποδμηθεῖσ' ὑμεναίοις
Τυνδαρὶς, αἴν' ἀχέουσα, κακὸν γόνον ἤρατο βούτου.

XXXV. Περὶ Εὐλιμένης. (Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν α'.) Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος θυγατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ καθωμολόγητο, πρωτεύοντι τότε Κρητῶν· ταύτῃ κρύφα συνὼν ἐλελήθει. ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων ἐπισυνέστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει τοὺς πευσομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσειεν τῶν πολεμίων. καὶ αὐτῷ θεσπίζεται, τοῖς ἐγχωρίοις ἥρωσι σφαγιάσαι παρθένον. ἀκούσας δὲ τοῦ χρηστηρίου Κύδων διεκλήρου τὰς παρθένους πάσας, καὶ κατὰ δαίμονα ἡ θυγάτηρ τυγχάνει. Λύκαστος δὲ δείσας περὶ αὐτῆς μηνύει τὴν φθορὰν καὶ ὡς ἐκ πολλοῦ χρόνου συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμιλος πολὺ μᾶλλον ἐδικαίου αὐτὴν τεθνάναι. ἐπειδὴ δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν ἱερέα κελεύει αὐτῆς διατεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως εὑρέθη ἔγκυος. Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ πεπονθέναι, λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν αἰτίαν ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

XXXVI. Περὶ Ἀργανθώνης. Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα· ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς: Ἀργανθώνη αὐτῇ ὄνομα. αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυγεν, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν, οὐ μάλα τινὰ προσιεμένη. ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον βίᾳ

5. εἰν P: ἐν ed. pr., εἰς Legrand. ‖ 7. τυνδαρ—ὶς (sic) P. ‖ ἤρατο Heynius. ‖ βούτῃ Potter. ad Lycophr. 58. ‖ 10. Ἀπτέρῳ ex Eusebio Heynius. ‖ 11. κρύφα super α adscripto ι P. ‖ 14. θεοὺς Palairet. ap. Peerlkamp. ad Xen. Ephes. 1, 5. p. 127. ‖ κρατήσειεν Galeus. ‖ 17. λογχάνει Heynius. ‖ 22. ἄπταρος supra adiecto ἀπτέρῳ P. ‖ πεποθέναι adscripto supra ν P. ‖ 28. αὐτῇ — ὄνομα (sic) P. ‖ 29. μόνην P. ‖

μὲν αὐτὴν οὐκ ἤγεν, ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν· καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δὲ ταῦτα λέξαντος ἐκείνου κατήνεσε, πειθομένη αὐτὸν ἀληθῆ λέγειν. χρόνου δὲ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου. καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως ἐθέλων αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα. ὕστερον δὲ πολέμου γενομένου τοῖς Τρωσὶ μετήεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον· ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι' ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆσος δὲ μαλακιζόμενος ἐπὶ μονῇ οὐκ ἠνέσχετο, ἀλλὰ ἦλθεν εἰς Τροίαν καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ, πληγεὶς ὑπὸ Διομήδους ἀποθνήσκει. ἡ δὲ ὡς ἤσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου· τέλος δὲ [εἶτα] καὶ ποταμῷ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπήλλαγη.

5. παραγίνεται P: παραγίγνεται Passovius, παροτρύνεται Legrand, παράγεται Heynius. ‖ ἡσυχάζειν — κατεχόμενον P: corr. Heynius. ‖ 6. ἐγίνετο P: ἐγίγνετο Passovius. ‖ 7. ἐθέλουσαν Legrand, ἐθέλων ἐθέλουσαν Passovius, item omisso αὐτὴν Kayserus. ‖ 10. εἴτε γοῦν δι' Legrand. ‖ 15. αὖτις ἀπεχώρησεν Legrand et sic P: fuerat αὖθις ἀπεχώρισεν. ‖ 16. ἀλωμένη P. ‖ 17. εἶτα delevit Heynius: προσημένη Legrand: totum locum sic constituit Schneiderus, εἶτα δὲ καὶ ποταμῷ προσιεμένη τέλος δ. λ. ἐξ ἀνθ. ἀπ., et sic Jacobs in nov. bibl. crit. 1832, 1, p. 189 τέλος δὲ ἐκτακεῖσα, π. πρ. δ. λ. ἐξ ἀ. ἀ, sive τέλος δὲ ἐτάκη π. πρ. δ. λ. καὶ ἐξ ἀ. ἀ.

ΠΤΟΛΕΜΑΙΟΥ
ΤΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ
ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΠΟΛΥΜΑΘΙΑΝ ΚΑΙΝΗΣ ΙΣΤΟΡΙΑΣ
ΛΟΓΟΙ Ζ.

[Ex Photii Biblioth. cod. CXC.]

ΒΙΒΛΙΟΝ Α.

Περιέχει μὲν οὖν τὸ ἁ βιβλίον περὶ Σοφοκλέους τῆς τελευτῆς, καὶ πρὸ αὐτοῦ περὶ τῆς Πρωτεσιλάου, εἶτα καὶ περὶ τῆς Ἡρακλέους, ὡς πυρὶ αὐτὸν ἀνεῖλε μὴ δυνηθεὶς τὸ οἰκεῖον ἐντεῖναι τόξον πεντηκοντούτης γενόμενος, περί τε τῆς Κροίσου ἐν τῇ πυρᾷ σωτηρίας, περί τε τῆς Ἀχιλλέως τελευτῆς, καὶ περὶ Λαΐδος τῆς ἑταίρας, ὡς τελευτήσοι ὀστοῦν ἐλαίας καταπιοῦσα. τούτων ἕκαστον διεξιὼν ἀποφαίνεται τοὺς πρὸ αὐτοῦ ἐσφαλμένως τὰ περὶ τούτων ὑπολαβεῖν τε καὶ ἀναγράψαι. ἐφεξῆς δὲ περὶ Ἀλεξάνδρου τοῦ βασιλέως φησίν, ὡς ἐν Ἐφέσῳ θεασάμενος Παλαμήδην δολοφονούμενον ἐν πίνακι ἐθορυβήθη, διότι ἐῴκει τῷ δολοφονουμένῳ Ἀριστόνεικος ὁ σφαιριστὴς Ἀλεξάνδρου· τοιοῦτος γὰρ ἦν Ἀλέξανδρος

τὸ ἦθος, ἐπιεικὴς καὶ φιλέταιρος. εἶτα ὅτι τὸ παρ' Εὐφορίωνι ἐν Ὑακίνθῳ ἀπορούμενον· „Κωκυτὸς μοῦνος ἀφ' ἕλκεα νίψεν Ἄδωνιν" τοιοῦτόν ἐστι· Κωκυτὸς ὄνομα, Χείρωνος ἐπὶ τῇ ἰατρικῇ μαθητής, ἐθεράπευσε τὸν Ἄδωνιν ὑπὸ τοῦ συὸς τρωθέντα. λέγει δ' ὅτι ὁ παρ' Ἡροδότῳ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν ὑπὸ Ἀδράστου τοῦ Γορδίου ἀνῃρημένος Ἀγάθων ἐκαλεῖτο, καὶ ἀναιρεθῆναι αὐτὸν περὶ ὄρτυγος φιλονεικοῦντα. καὶ ὡς Κάδμος καὶ Ἁρμονία εἰς λέοντας μετεμορφώθησαν, καὶ ὡς Τειρεσίας ἑπτάκις μετεμορφώθη, διά τε ὑπὸ Κρητῶν οὗτος Φόρβαντος κόρη ἐκαλεῖτο. ὅτι Ἐρύμανθος ὁ παῖς Ἀπόλλωνος ἐτυφλώθη, διότι ἴδοι λουμένην Ἀφροδίτην ἀπὸ τῆς Ἀδώνιδος μίξεως, καὶ Ἀπόλλων μηνίσας ἑαυτὸν εἰς σύαγρον μετεμόρφωσε, καὶ τοῖς ὀδοῦσι πλήξας ἀνεῖλε τὸν Ἄδωνιν. διὰ τί ὁ ποιητὴς πελειάδας ἐποίησε τῆς τροφῆς τῶν θεῶν διακόνους, καὶ τίνα Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀριστοτέλης εἰς τοῦτο εἶπον, καὶ περὶ Ὁμήρου καὶ πελειάδων. ὅτι Ἐπίχαρμος ὁ ποιητὴς ἀπ' Ἀχιλλέως τοῦ Πηλέως εἵλκε τὸ γένος. ὅτι Πάτροκλον ἐξόχως Ὅμηρος ἱππέα καλεῖ ὡς παρὰ Ποσειδῶνος ἐραστοῦ γεγονότος μαθόντα τὴν ἡνιοχικήν. ὅτι Ὀδυσσεὺς, διότι ὦτα μεγάλα εἶχεν, Οὖτις πρότερον ἐκαλεῖτο· ὑετοῦ δέ φησι γινομένου μὴ ἀντισχοῦσαν τὴν μητέρα ἔγκυον οὖσαν κατὰ τὴν ὁδὸν τεκεῖν, καὶ τὸν Ὀδυσσέα διὰ τοῦτο οὕτως ὀνομασθῆναι. ὅτι Περιτάνος τις ὄνομα Ἀρκὰς Ἑλένην συνοῦσαν Ἀλεξάνδρῳ ἐν Ἀρκαδίᾳ ἐμοίχευσεν, Ἀλέξανδρος δ' αὐτὸν ποινὴν τῆς μοιχείας εἰσπραττόμενος ἐξεννούχισε, καὶ ἐξ ἐκείνου Ἀρκάδες τοὺς εὐνούχους περιτάνους λέγουσιν. ὡς Ἀχιλλέα μὲν Ἀριστόνικος ὁ Ταραντῖνος διατρίβοντα ἐν ταῖς παρθένοις παρὰ Λυκομήδει Κερκυσέραν καλεῖσθαί φησιν, ἐκαλεῖτο δὲ καὶ Ἰσσὰν καὶ Πυρρὰν

2. κωκυτός τοι μ. Scaliger. ‖ μοῦνον Meinek. Euphor. p. 92. ‖ ἀφέλκεα A. ‖ 3. τις post Κωκυτὸς inseri voluit Meinek. ‖ 4. θεραπεῦσαι A. ‖ 5. Her. 1, 35 et 45. ‖ 11. λουμένην A, λουομένην vulg. ‖ 14. Hom. Od. 12, 62 sq. ‖ 18. Hom. Iliad. 16, 20. 812. 843. ‖ 19. ὡς παρὰ Casaubonus: libri ὥσπερ. ‖ 23. Περιτέτανός vulg. ‖ 24. ἀρκαδία corr. A, Ἀρκάδι vulg. ‖ 26. ἐξεννούχισε A, τὰ παιδογόνα ἀπέτεμε vulg. ‖ εὐνούχους A, οὕτω παθόντας καὶ ἐκτετμημένους vulg. ‖ 28. τοῖς vulg. ‖ 29. Ἴσσα καὶ Πύρρα scribendum aut ἐκαλεῖτο δὲ καὶ post Πύρραν ponendum et καὶ post φησιν addendum esse censuit Roulez. ‖

καὶ Ἄσπετος καὶ Προμηθεύς. ὅτι Βοτρύας ὁ Μύνδιος τοὺς Νιόβης παῖδας πάντας ὑπὸ Ἀπόλλωνός φησιν ἀνῃρῆσθαι. ὅτι Ὀδυσσεῖ ἕπεσθαι δίδωσιν ὁ πατὴρ μνήμονα Μυέσκον τοὔνομα, Κεφαλλῆνα. εἵπετο καὶ Ἀχιλλεῖ μνήμων τοὔνομα Νοήμων, γένει Καρχηδόνιος, καὶ Πατρόκλῳ Εὔδωρος. Ἀντίπατρος δέ φησιν ὁ Ἀκάνθιος Δάρητα, πρὸ Ὁμήρου γράψαντα τὴν Ἰλιάδα, μνήμονα γενέσθαι Ἕκτορος ὑπὲρ τοῦ μὴ ἀνελεῖν ἑταῖρον Ἀχιλλέως. καὶ Πρωτεσιλάου δέ φησι Δάρδανον γενέσθαι, γένος Θεσσαλόν· καὶ Ἀντιλόχῳ δὲ Χάλκωνα ὑπασπιστὴν καὶ μνήμονα ὑπὸ Νέστορος συνεζεῦχθαι τοῦ πατρός.

ΒΙΒΛΙΟΝ Β.

Ἡ δὲ β' περὶ Ἡρακλέους, ὡς μετὰ τὴν μανίαν ἐλλεβόρῳ καθαρθείη ὑπὸ Ἀντικυρέως τοῦ καὶ τὸ φάρμακον εὑρόντος τὸ ἐν Ἀντικύρᾳ τῆς Φωκίδος πλεονάζον, κἂν ἄλλοι ἄλλως αὐτόν φασι καθαρθῆναι. ὅτι Νέστορά φασιν ἐρώμενον Ἡρακλέους γενέσθαι. ὅτι οὐ Φιλοκτήτης, φησίν, ἀλλὰ Μόρσιμος ὁ Τραχίνιος ὑφῆψεν Ἡρακλεῖ τὴν πυράν. ὅτι Ἡρακλῆς ἀποβρωθέντος αὐτῷ τῶν δακτύλων ἑνὸς ὑπὸ τοῦ Νεμεαίου λέοντος ἐννεαδάκτυλος γέγονε, καὶ ἔστι τάφος τοῦ ἐκκεκομμένου δακτύλου· οἱ δὲ κέντρῳ τρυγόνος ἀποβαλεῖν τὸν δάκτυλον ἔφασαν. λέοντα δ' ἔστιν ἰδεῖν τῷ τοῦ δακτύλου τάφῳ ἐφεστῶτα λίθινον ἐν Λακεδαίμονι, σύμβολον τῆς τοῦ ἥρωος ἀλκῆς. ἐξ ἐκείνου δὲ καὶ τοῖς ἄλλων τάφοις λιθίνους ἐφιστῶσι λέοντας. ἄλλοι δ' ἄλλως περὶ τῆς τοῦ λέοντος ἀναστηλώσεώς φασιν. ὡς ἐκ τῆς Ἡρακλέους πυρᾶς ἀκρίδων πλῆθος ἀνήφθησαν καὶ λοιμοῦ δίκην τὴν χώραν ἐσίνοντο, καὶ ὡς ἀνῃρέθησαν. ὡς Ἀφροδίτη δι' Ἄδωνιν τὸν αὐτῆς τε καὶ Ἡρακλέους ἐρώμενον Νέσσον τὸν Κένταυρον διδάξειε τὴν κατὰ Ἡρακλέους ἐνέδραν. ὡς Νιρεὺς ὁ Συμαῖος Ἡρακλέους ἦν ἐρώμενος, καὶ συγκατειργάσατο τὸν Ἑλικώνιον λέοντα·

1. τοὺς A, τῆς vulg. ‖ μνημόσυνα vulg. ‖ 4. κεφαλῆνα vulg. ‖ Φοῖνιξ post μνήμων inseri voluit Schottus. ‖ 5. Καλυδόνιος Schottus.

II. 11. μετὰ A, κατὰ vulg. ‖ 14. φησιν A. ‖ 15. οὐ ὁ A. ‖ 17. αὐτοῦ A. ‖ 22. ἥρωος A, Ἡρακλέους vulg. ‖ 23. ἐφεστῶσι vulg. ‖ 24. ἀκρίδος A. ‖ 25. ἀνέπτησαν Bekkerus. ‖ 28. Νηρεὺς vulg. et sic infra. ‖

οἱ δὲ υἱὸν Ἡρακλέους τὸν Νηρέα φασί. τίνες αἱ παρὰ τῷ ποιητῇ χάριτες, αἷς παραβάλλει τὰς Εὐφόρβου κόμας. ὅτι Νεῖλος ὁ Ἡρακλῆς ἀπὸ γενέσεως, φησίν, ἐκαλεῖτο, ἐπεὶ δ' Ἥραν ἔσωσεν ἐπερχόμενον αὐτῇ ἀνελὼν τὸν ἀνώνυμον καὶ πυρίπνοον Γίγαντα, ἐκεῖθεν διὰ τὸ ἀπαλαλκεῖν τῆς Ἥρας τὸν πόλεμον μετέβαλε τὴν κλῆσιν. ὅτι Ἄβδηρος ὁ Ἡρακλέους ἐρώμενος τὰ περὶ τῆς πυρᾶς αὐτοῦ Θησεῖ ἀναγγείλας ὑπ' αὐτοῦ ἀναιρεῖται. ὅτι τὴν μέσην κεφαλὴν τῆς ὕδρας Ἀριστόνικός φησιν ὁ Ταραντῖνος χρυσῆν εἶναι. ὅτι Ἀλέξανδρος ὁ Μύνδιός φησι δράκοντα γηγενῆ συμμαχῆσαι Ἡρακλεῖ πρὸς τὸν Νεμεαῖον λέοντα, ὃν καὶ ἀνατραφῆναι ὑπὸ Ἡρακλέους, καὶ συνακολουθήσαντα αὐτῷ εἰς Θήβας ἐν Αὐλίδι μεῖναι· καὶ τοῦτον εἶναι τὸν τοὺς νεοσσοὺς καταφαγόντα τῆς στρουθοῦ καὶ ἀπολιθωθέντα. ὡς τὴν Ἀργὼ ἐν Ὄσσῃ τῆς Θεσσαλίας Ἡρακλῆς μὲν κατασκευάζει, ὄνομα δ' αὐτῇ τίθησιν ἀπὸ Ἄργου τοῦ Ἰάσονος, ὃς ἦν ἐρώμενος αὐτῷ, δι' ὃν καὶ Ἰάσονι τὸν ἐπὶ Σκυθίας συνήρατο πλοῦν. ὡς Ἥρα συμμαχοῦσα τῷ Γηρυόνῃ τιτρώσκεται ὑφ' Ἡρακλέους κατὰ τὸν δεξιὸν μαζόν, καὶ ὅσα ἐξ ἐκείνου τελεῖται. ὡς Κόρυθος, Ἰβὴρ τὸ γένος ὢν καὶ Ἡρακλέους ἐρώμενος, πρῶτος κόρυθα κατεσκεύασεν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν λαβεῖν φησι τὸ ὅπλον. ὡς ὁ ἐν Κρήτῃ τάφος λεγόμενος τοῦ Διὸς Ὀλύμπου τοῦ Κρητός ἐστιν, ὃς παρὰ τοῦ Κρόνου λαβὼν τὸν Δία ἔτρεφέ τε καὶ ἐπαίδευε τὰ θεῖα. ἀλλὰ γὰρ βάλλει, φησίν, ὁ Ζεὺς τὸν τροφέα καὶ διδάσκαλον κεραυνῷ, ὅτι δὴ τοὺς Γίγαντας αὐτοῦ τῇ βασιλείᾳ ἐπιθέσθαι ὑπετίθετο. ἀλλὰ βαλὼν καὶ νεκρὸν ἔχων μετεμελεῖτο· μὴ ἔχων δ' ἄλλως τὸ πάθος ἐκκλῖναι δίδωσι τὸ ἴδιον ὄνομα τῷ τάφῳ τοῦ ἀνῃρημένου. τίνος ἐστὶ τὸ ὑπ' Ἀλεξάνδρου τοῦ Φιλίππου εἰρημένον· „Πρωτέα, τῇ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα". καὶ πολλὰ περὶ Πρωτέου, ποίαν ᾠδὴν εἶχεν ἐν συνηθείᾳ Ἀλέξανδρος, καὶ τίνος

3. φασιν vulg. ‖ 4. Ἀνώνυμον vulg., Πρόνομον Galeus. ‖ 5. Πυρίπνοον γίγαντα vulg. ‖ παλαλκην A. ‖ 6. Αὔδηρος vulg. ‖ 8. ἀριστόνεικος A. ‖ 9. χρυσοῦν vulg. ‖ 15. ἡρακλέως A. ‖ 18. γηρυόνι A. ‖ 21. ὁ add. A. ‖ 22. λεγόμενος τάφος vulg. ‖ 28. τίνος] τί Bekkerus. ‖ 29. Odyss. 9, 347. ‖ 30. πολλὰ περὶ Stephanus: πολλάκερ A, πάλιν vulg., πάλιν περὶ Reulez.

ἦν ποίημα· εἰς τίνα ἔγραψεν ἐπικήδειον ὁ αὐτὸς Ἀλέξανδρος ὁ Φιλίππου.

ΒΙΒΛΙΟΝ Γ.

Τὸ δὲ γ' περὶ Ὕλλου τοῦ Ἡρακλέους υἱοῦ, ὡς κέρας εἶχε περὶ τὸ ἀριστερὸν μέρος τῆς κεφαλῆς ἐκπεφυκὸς μικρόν, καὶ τοῦτο λάβοι ὁ Σικυώνιος Ἐποπεύς, ἐκ μονομαχίας ἀνελὼν αὐτόν, καὶ κομίσοι ἐν τῷ κέρατι τὸ Στυγὸς ὕδωρ, καὶ βασιλεύσοι τῆς χώρας. ὅτι περὶ τοῦ ἐν Ἀρκαδίᾳ Στυγὸς ὕδατος οὕτω φασίν, ὡς Δημήτηρ πενθοῦσα τὴν θυγατέρα, ἐπεὶ Ποσειδῶν αὐτὴν ἐν κατηφείᾳ οὖσαν ἐπείρα, εἰς ἵππον ἑαυτὴν μετεμόρφωσε χαλεπήνασα, ἐλθοῦσα δ' ἐπὶ τὴν πηγὴν καὶ θεασαμένη τὴν μορφὴν ἐστύγησέ τε καὶ τὸ ὕδωρ μέλαν ἐποίησε. περὶ Ἑκάλης, καὶ πόσαις γέγονεν ἐπώνυμον τοὔνομα. ὅτι Ἀλεξάνδρου πατὴρ οὐχ ὁ Φίλιππος γένοιτο, ἀλλά τις τοὔνομα Δράκων, γένος Ἀρκάς, ἐξ οὗ καὶ τὸν περὶ τοῦ δράκοντος μῦθον ῥυῆναι. περὶ τοῦ Πτολεμαίου κυνός, καὶ ὡς συνεμάχει τῷ δεσπότῃ, καὶ ὡς μετὰ τελευτὴν ἀνασχισθεὶς τὴν καρδίαν εὑρέθη ἔχων τετριχωμένην· ἦν δὲ γένος Μολοττός, ὄνομα Βριάρεως. περὶ Πουλυδάμαντος. τί ἐστι τὸ παρὰ τῷ ποιητῇ· „ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηῒς ἀηδών" καὶ ἑξῆς. περὶ τοῦ Παλλαδίου, ὅτι δύο κλέψειαν Διομήδης καὶ Ὀδυσσεύς. περὶ τοῦ καλάμου τοῦ εἰπόντος ὅτι Μίδας ὄνου ἔχει ὦτα. περὶ τῶν παρὰ Στησιχόρῳ ζητουμένων Ἀκεσταλίων ὀρνίθων. περὶ τῆς παρὰ τὸν ὠκεανὸν Γιγωνίας πέτρας, καὶ ὅτι μόνῳ ἀσφοδελῷ κινεῖται, πρὸς πᾶσαν βίαν ἀμετακίνητος οὖσα. ὅτι Ῥόπαλος υἱὸς Ἡρακλέους ἦν, ὃς ἐν ἡμέρᾳ μιᾷ καὶ ὡς ἥρωι τῷ πατρὶ ἐνήγισε καὶ ὡς θεῷ θύσειεν. ὅτι Ἀμφιάραος ἐκλήθη, ἐπεὶ ἄμφω οἱ τῆς μητρὸς γονεῖς ἠράσαντο αὐτὴν ἄνευ τεκεῖν μόγου. τίνος ἐστὶν ὁ ὕμνος ὁ ᾀδόμενος ἐν Θηβαίοις εἰς Ἡρακλέα, ἐν ᾧ λέγει Διὸς καὶ Ἥρας υἱός. ἔνθα περὶ τῶν κατὰ πόλεις τοὺς ὕμνους ποιησάντων,

III. 9. αὐτὴν — οὖσαν A, αὐτῆς — οὔσης vulg. ‖ 10. πηγὴν mg., libri γῆν. ‖ 12. πόσαις] πόσις A, i. e. πόσοις. ‖ 16. μετὰ τὴν τελ. vulg. ‖ 17. δὲ τὸ γ. vulg. ‖ 18. Πολυδάμαντος vulg. ‖ 19. Odyss. 19, 518. ‖ Πανδαρέη vulg. ‖ 20. καὶ τὰ ἑξῆς vulg. ‖ 22. Stesich. fr. 92. p. 132 Klein. ‖ Ἀλκυόνων Roulez. ‖ 23. παρὰ A, περὶ vulg. ‖ 24. δακτύλῳ Matthiae. ‖ 25. ὃς add. A. ‖ 29. Θήβαις Bekkerus. ‖

καὶ ὡς Φιλοστέφανος ὁ Μαντινεὺς ὁ ποιητὴς ἐκ γενετῆς ἱματίῳ οὐκ ἐχρήσατο, καὶ ὡς Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐσιτεῖτο. καὶ ὡς Εὐπόμπου τοῦ Σαμίου, ὃς δράκοντα θηρίον τέρας ἔτρεφεν ἄπιστον καὶ εἰπεῖν καὶ ἀκοῦσαι, τούτου τοῦ Εὐπόμπου παῖδα Δράκοντα τοὔνομα ὀξυωπέστατον γενέσθαι φασίν, ὡς διὰ σταδίων κ' θεωρεῖν ῥᾳδίως· ὃν καὶ Ξέρξῃ ἐπὶ χιλίοις συγγενόμενον ταλάντοις καὶ συγκαθεζόμενον ὑπὸ τῇ χρυσῇ πλατάνῳ διηγεῖσθαι βλέποντα τὴν Ἑλλήνων καὶ βαρβάρων ναυμαχίαν καὶ τὴν Ἀρτεμισίας ἀνδρίαν. καὶ ὡς Πλησίρροος ὁ Θεσσαλὸς ὁ ὑμνογράφος, ἐρώμενος γεγονὼς Ἡροδότου καὶ κληρονόμος τῶν αὐτοῦ, οὗτος ποιήσειε τὸ προοίμιον τῆς πρώτης ἱστορίας Ἡροδότου Ἁλικαρνασσέως· τὴν γὰρ κατὰ φύσιν εἶναι τῶν Ἡροδότου ἱστοριῶν ἀρχὴν „Περσέων οἱ λόγιοι Φοίνικας αἰτίους γενέσθαι φασὶ τῆς διαφορῆς". καὶ ὡς Κυρηναῖος ὁ Πολίζηλος οὐδέ ποτε γελάσειεν· ἐξ οὗ καὶ τὸ ἐπώνυμον αὐτῷ ὁ ἀγέλαστος. καὶ ὡς ἐπὶ θεοσεβείᾳ πάντων διενεγκεῖν οἱ μὲν Ἀντίγονον τὸν Ἐφέσιον, οἱ δὲ Λύκον τὸν Ἑρμονέα, οὗ καὶ Θεόφραστος ἐν ἐπιστολαῖς μνημονεύει, φασίν. καὶ ὡς Ἀχιλλέως καὶ Δηιδαμείας δύο ἐγενέσθην παῖδες, Νεοπτόλεμος καὶ Ὄνειρος· καὶ ἀναιρεῖται κατ' ἄγνοιαν ὑπὸ Ὀρέστου ἐν Φωκίδι ὁ Ὄνειρος, περὶ σκηνοπηγίας αὐτῷ μαχεσάμενος. εἶτα διαλαμβάνει περὶ συνεμπτώσεως ἱστορικῆς, ὡς Ἀμύκου τῷ τάφῳ ῥοδοδάφνη ἔφυ, καὶ οἱ φαγόντες αὐτῆς ἐπεθύμουν πυκτικήν, καὶ ὡς Ἀντόδωρος φαγὼν αὐτῆς δεκατρεῖς στεφάνους ἀνείλετο, πλὴν ὑπὸ Διοσκόρου τοῦ Θηραίου ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἀγωνίᾳ ἡττήθη, ὥσπερ καὶ αὐτὸς ὁ Ἄμυκος λέγεται ὑφ' ἑνὸς τῶν Διοσκούρων καταπαλαισθῆναι. καὶ τὸν Κροῖσόν φασι γεννηθῆναι ἐν ἑορτῇ Ἀφροδίτης, καθ' ἣν Λυδοὶ τὸν ἅπαντα πλοῦτον περιτιθέντες αὐτῇ πομπεύουσι. καὶ ταῦρον θύοντι τῷ πατρὶ ἀπήγγελται τεχθῆναι Θεμιστοκλῆς, καὶ ταύρου πιὼν αἷμα ἀπεβίω. ὡς ὁ Ὑστάσπου Δα-

10. τὴν] τῶν A. ‖ 13. Ἁλικαρνασέως vulg. ‖ 18. Λύκον Lobeck. Aglaoph. 2. p. 1005: λυκίαν libri; Λύκιον vulg. ‖ 19. φασὶν om. A. ‖ 20. Δηϊδαμείας vulg. ‖ 23. συνεμπτώσεως apographum Stephani, συνεκπτώσεως vulg. ‖ 25. Ἀντίδωρος Heesch. ‖ 29. φασι add. A. ‖ 30. παρατιθέντες Roulez. ‖ 32. καὶ ὃς καὶ Scaliger. ‖

ρεῖος ἐκτεθεὶς ὑπὸ τῆς μητρὸς ἵππου θηλαῖς ἀνετράφη ὑπὸ Σπαργαπίσῃ τῷ ἱπποφορβῷ, καὶ ἵππου χρεμετισμῷ βασιλεύει. καὶ ὡς Ἰβύκου τοῦ μελοποιοῦ θεράπων, τοὔνομα Ἡρακλῆς, ζῶν ἐκαύθη, συναράμενος τοῖς λῃσταῖς κατὰ τοῦ δεσπότου. ὡς Ὀρέστης κατὰ τὴν ἑορτὴν τεχθείη τῆς Δήμητρος τῆς καλουμένης Ἐριννύος. ὡς Φίλιππος ἔτι παῖς ὢν τοὺς ἀφαλλομένους τῆς κινήσεως [ὡς] ἀστέρας ἐπειρᾶτο καθ' ἑσπέραν τοξεύειν, καὶ Διόγνητον μὲν εἰπεῖν τὸν μάντιν ἐγκρατῆ πολλῶν τὸ παιδάριον ἔσεσθαι, Ἀστὴρ δ' ἦν ὄνομα καὶ τῷ ἐκκόψαντι αὐτοῦ βέλει τὸν ὀφθαλμόν. ὡς Μαρσύας ὁ αὐλητής, ὃς ἐξεδάρη, ἐν ἑορτῇ Ἀπόλλωνος ἐτέχθη, ἐν ᾗ πάντων τῶν θυομένων ζώων τὰ δέρματα αὐτῷ ἐκδερόμενα ἀνατίθεται. περὶ Τιτυοῦ τοῦ ἐπιβουλεύσαντος Ἀλέξανδρον. ὡς Κλαύδιον κύουσα ἡ μήτηρ βωλητῶν τοὺς μύκητας ἐπεθυμήσασα φάγοι, καὶ Κλαύδιος μύκητας πεφαρμακευμένους φαγὼν ἀποβιῴη. περὶ Κενταύρου τοῦ Λαμίου, ὡς μοιχεύων ληφθεὶς, οἱ μὲν ὑπὸ Πειρίθου τοῦ εὐνούχου, οἱ δ' ὑπὸ Θησέως ἀναιρεθῆναι. οὕτω πολλὰ ταῖς ἱστορίαις τῶν συνεμπτώσεων ἕπεται.

ΒΙΒΛΙΟΝ Δ.

Τὸ δὲ δ' διεξέρχεται ὡς Ἑλένη πρώτη ἐπενόησε τὸν διὰ δακτύλων κλῆρον, καὶ Ἀλεξάνδρῳ λαχοῦσα ἐνίκησε· καὶ ὡς Ἀφροδίτης εἴη θυγάτηρ. καὶ ὡς Ἑλένης καὶ Ἀχιλλέως ἐν μακάρων νήσοις παῖς πτερωτὸς γεγόνοι, ὃν διὰ τὸ τῆς χώρας εὔφορον Εὐφορίωνα ὠνόμασαν· καὶ ὡς ἐρᾷ τούτου Ζεύς, καὶ ἀποτυχὼν κεραυνοῖ ἐν Μήλῳ τῇ νήσῳ καταλαβὼν διωκόμενον, καὶ τὰς νύμφας, ὅτι θάψειαν αὐτόν, εἰς βατράχους μετέβαλε. καὶ ὡς κυνηγοῦσαν Ἑλένην ἔνιοί φασιν ἐν τῷ Παρθενίῳ ὄρει ἁρπασθῆναι ὑπ' Ἀλεξάνδρου, καὶ ἐκπλαγεῖσαν τὸ κάλλος ἀκολουθῆσαι ὡς θεῷ. περὶ τοῦ κεστοῦ ἱμάντος, ὡς λάβοι μὲν αὐτὸν Ἥρα παρὰ Ἀφροδίτης, δοίη δ'

2. χρηματισμῷ vulg. ‖ 6. ἔτι] ἕταιρος A. ‖ 10. αὐτῷ vulg. ‖ 13. Τιτυοῦ] Δίμχου ex Plut. Alex. 49 (coll. Diod. 17, 78) Roulez, Τίτυος vulg. ‖ Ἀλεξάνδρῳ vulg. ‖ 14. ἐπιθυμήσουσα vulg. ‖ 17. Πειρίθου] Λαπείθου Roulez. ‖ τοῦ εὐνούχου A, τοῦ ἡμιάρρενος vulg.: εὐνουχισθῆναι O. Mueller, τοῦ ἀπίγου Roulez.

IV. 28. παρθενείῳ A. ‖ 30. αὐτὸν ἡ Ἡ. vulg. ‖

Ἑλένῃ, κλέψοι δ' αὐτὸν ἡ Ἑλένης θεράπαινα Ἀστυάνασσα, ἀφέλοι δ' αὐτὸν ἐξ αὐτῆς πάλιν Ἀφροδίτη. τί ἐστι τὸ παρ' Ὁμήρῳ περὶ τῆς Ἑλένης εἰρημένον „πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν." ὡς Ἠλίου θυγάτηρ καὶ Λήδας Ἑλένη, ἐκαλεῖτο δὲ Λεοντή. καὶ ὡς κατ' ὀργὴν Ἀφροδίτης τὴν πρὸς Μενέλαον τὴν ἁρπαγὴν λέγουσιν Ἑλένης γενέσθαι, ἐπεὶ ὑποσχόμενος Ἀφροδίτῃ ἑκατόμβην ὑπὲρ τοῦ γάμου οὐκ ἀπέδωκε. περὶ τῆς Ἑλενείου βοτάνης, ἣ ἐν Ῥόδῳ φύεται, ὅτι τε ἀπὸ τῆς Ἑλένης ἐπωνομάσθη (παρὰ γὰρ τὴν δρῦν ὤφθη φυεῖσα, ἀφ' ἧς ἑαυτὴν ἀπῆγξεν Ἑλένη) καὶ ὡς οἱ φαγόντες αὐτῆς πάντως εἰς ἔριν καθίστανται. ὡς Μενελάου ἠράσθη Ἑλένη, καὶ οὕτως ἔγημεν αὐτήν. ὡς ἔνιοι τὴν Ἑλένην φασὶ παραγενομένην εἰς Ταύρους τῆς Σκυθίας σὺν Μενελάῳ ἐπὶ τὴν Ὀρέστου ζήτησιν σφαγιασθῆναι ὑπὸ Ἰφιγενείας τῇ Ἀρτέμιδι σὺν Μενελάῳ· οἱ δέ φασιν ὡς Θέτις αὐτὴν ἀνέλοι ἐν τῷ ἀπόπλῳ τῶν Ἑλλήνων, ἀπεικασθεῖσα φώκῃ. φασὶ δ' Ἠχὼ μὲν τὴν Ἑλένην τὸ κύριον κληθῆναι διὰ τὸ φωνόμμον αὐτὴν γενέσθαι, Ἑλένην δὲ ἀπὸ τοῦ ἐν ἕλει ὑπὸ Λήδας τεχθῆναι. ὅτι ὁ ἐν Λακεδαίμονι τόπος τὸ Σανδάλιον ἀπὸ τοῦ τῆς Ἑλένης σανδαλίου ἐκπεσόντος αὐτῆς ἐν αὐτῷ διωκομένης ὑπ' Ἀλεξάνδρου ἕλκει τὴν κλῆσιν. ὡς γένοιτο παῖς θήλεια ἐξ Ἀλεξάνδρου Ἑλένῃ, διαφιλονεικησάντων δὲ περὶ τῆς κλήσεως (ὁ μὲν γὰρ Ἀλεξάνδραν, ἡ δὲ Ἑλένην ὀνομάζειν ἠξίου) νικᾷ Ἑλένη, ἀστραγάλοις λαβοῦσα τὸ κῦρος, καὶ ἡ παῖς τῇ μητρὶ ὁμώνυμος ἐγεγόνει· ταύτην ἀναιρεθῆναί φασιν ὑπὸ Ἑκάβης ἐν τῇ Ἰλίου ἁλώσει. ὅτι ἀπὸ τῶν Ἰλιακῶν ὀνομασταὶ γεγόνασιν Ἑλέναι ἡ Αἰγίσθου καὶ Κλυταιμνήστρας θυγάτηρ, ἣν ἀνεῖλεν Ὀρέστης, καὶ ἡ διακονήσασα Ἀφροδίτῃ ἐν τῇ πρὸς Ἄδωνιν ὁμιλίᾳ, ἡ Ἐπιδαμνίου θυγάτηρ, ἣν Ἐπιδάμνιοι ἐν Ἀφροδίτης σχήματι τιμῶσι, χρήματα λιμώττουσιν ἐπιδοῦσαν, καὶ ἡ Φαιστύλου θυγάτηρ τοῦ ἀναθρεψαμένου Ῥῶμον καὶ Ῥωμύλον. καὶ ἡ τρεῖς ἐρίφους ἐσθίουσα καθ' ἡμέραν Ἑλένη

3. Ὁμήρου vulg.: Odyss. 4, 279. ‖ 4. ἴσκουσαν A. ‖ Ἠλίου] ἦν Λεὼς Roulez. ‖ 8. τε om. A. ‖ 12. καὶ οὗ ἔγημεν αὐτὸν pr. m. A. ‖ φασὶ τὴν Ἑλ. vulg. ‖ 19. ὁ add. A. ‖ 29. ἐπιδαυνίου mg.: Ἐπιδάμνου Roulez. ‖ Ἐπιδαύνιοι vulg., Ἐπιδαύριοι Teucher. ‖ 30. ἐπιδιδοῦσαν vulg. ‖

ἐκαλεῖτο, καὶ ἡ Δικαιάρχου τοῦ Τελεσίνου ἀδελφή, καὶ ἕτεραι ὀκτωκαίδεκα, ὧν καὶ ἡ πρὸ Ὁμήρου Ἑλένη, ἡ τὸν Ἰλιακὸν συγγραψαμένη πόλεμον, Μουσαίου τοῦ Ἀθηναίου θυγάτηρ γενομένη· παρ' ἧς καὶ Ὅμηρον λέγεται λαβεῖν τὴν
5 ὑπόθεσιν· ἣν καὶ κτήσασθαι τὸ δίγλωσσον ἀρνίον· καὶ ἡ Τιτύρου τοῦ Αἰτωλοῦ θυγάτηρ, ἥτις εἰς μονομαχίαν Ἀχιλλέα προκαλεσαμένη ἐκεῖνον μὲν κατὰ τῆς κεφαλῆς ἐγγὺς θανάτου τραύματι ἔτρωσεν, αὐτὴ δ' ὑπ' αὐτοῦ ἀνῃρήθη. καὶ ἡ ζωγράφος Ἑλένη τοῦ καταλόγου ἐστὶ τούτου, Τίμωνος
10 τοῦ Αἰγυπτίου θυγάτηρ, ἥτις τὴν ἐν Ἰσσῷ μάχην ἐν ἐκείνοις ἀκμάζουσα τοῖς χρόνοις ἔγραψε· καὶ ἐν τῷ τῆς Εἰρήνης τεμένει ἐπὶ Οὐεσπασιανοῦ ἀνέκειτο ἡ γραφή. Ἀρχέλαος δὲ ὁ Κύπριος Στησιχόρου φησὶ τοῦ ποιητοῦ Ἑλένην Ἱμεραίαν ἐρωμένην γενέσθαι, Μακύθου θυγατέρα· ἀποστᾶσαν
15 δὲ Στησιχόρου καὶ πρὸς Βούπαλον πορευθεῖσαν ἀμυνόμενον τῆς ὑπεροψίας τὸν ποιητὴν γράψαι ὡς Ἑλένη ἐκοῦσα ἀπῆρε· ψευδῆ δὲ τὸν περὶ τῆς πηρώσεως εἶναι λόγον. περὶ τοῦ παρ' Ὁμήρῳ μώλυος τῆς βοτάνης, ἣν ἐκ τοῦ αἵματος τοῦ ἀναιρεθέντος ἐν τῇ Κίρκης νήσῳ Γίγαντος λέγουσι φῦναι, ἣ καὶ
20 τὸ ἄνθος ἔχει λευκόν· ὅτι ὁ συμμαχῶν τῇ Κίρκῃ καὶ ἀνελὼν τὸν Γίγαντα ὁ Ἥλιος ἦν· μῶλος δ' ἡ μάχη, ἐξ οὗ καὶ ἡ βοτάνη. ὡς Διόνυσος ἐρώμενος Χείρωνος, ἐξ οὗ καὶ μάθοι τούς τε κώμους καὶ τὰς βακχείας καὶ τὰς τελετάς. περὶ τοῦ ἐν Ὀλυμπίᾳ Ταραξίππου καὶ τῶν Μυρτίλλων πατρὸς καὶ
25 παιδός. ὅτι τὸν ὑπὸ Φημονόης χρησμὸν μόνον Νεοπτόλεμον τὸν Μακιώτην παρὰ Αἴθου τινὸς τῶν Δελφῶν ἀκοῦσαί φασι· περὶ τούτου δὲ τοῦ Αἴθου καὶ Ἡρόδοτός φησιν ἐν πρώτῃ ἱστοριῶν ὅτι „εἰδὼς αὐτοῦ τὸ ὄνομα οὐκ ἐπιμνησθήσομαι.“ περὶ τῆς παρ' Ὁμήρῳ διωνυμίας παρὰ θεοῖς καὶ ἀνθρώποις,
30 καὶ ὅτι Ξάνθος μόνος ποταμῶν Διὸς υἱός, καὶ περὶ ἄλλων διωνύμων. καὶ ὡς ἐν Τυρρηνίᾳ φασὶν εἶναι Ἁλὸς πύργον

1. ἡ add. A. ‖ Τελεστίνου vulg. ‖ 4. Ὅμηρος Kuehnius. ‖ τὴν et ἣν add. A. ‖ 7. μεταπαλεσαμένη vulg. ‖ 8. τραυματίαν vulg. ‖ 10. ἐν add. A. ‖ 11. ἀκμάζουσαν libri. ‖ 16. ὡς add. A. ‖ 18. Odyss. 10, 304 sqq. ‖ 22. διόνυσσος A. ‖ 24, καὶ add. A. ‖ Μυρτίλων Roulez. ‖ 26. ἀδελφῶν vulg. ‖ 27. Her. 1, 51. ‖ φασιν A. ‖ 28. cf. Eust. ad Iliad. 1. p. 93. ‖ 30. καὶ alterum add. A. ‖

καλούμενον, ὀνομασθῆναι δὲ ἀπὸ Ἁλὸς Τυρρηνῆς φαρμακίδος, ἣ Κίρκης θεράπαινα γενομένη διέδρα τῆς δεσποίνης. πρὸς ταύτην δὲ, φησί, παραγενόμενον τὸν Ὀδυσσέα εἰς ἵππον μετέβαλε τοῖς φαρμάκοις, καὶ ἔτρεφε παρ' ἑαυτῇ, ἕως γηράσας ἐτελεύτησεν. ἐκ ταύτης τῆς ἱστορίας λύεται καὶ τὸ παρ' 5 Ὁμήρῳ ἀπορούμενον „θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ."

ΒΙΒΛΙΟΝ Ε.

Ἡ δὲ ε' βίβλος, ὡς μετὰ Ἀμύκου φασὶν Ἰάσων, ἀλλ' οὐχὶ Πολυδεύκης ἐμαχέσατο. καὶ ὁ χῶρος μαρτυρεῖ, Ἰησόνιος αἰχμὴ καλούμενος· καὶ πηγὴ ἀνατέλλει ἀγχοῦ Ἑλένη καλουμένη. ἐκ τούτου λύεται καὶ τὸ Κριναγόρου ἐπίγραμμα. 10 ὅτι τὸ „χαὶ Προκλέους ἵπποι χλωρὰν ψαλάκανθαν ἔδουσιν," ἀγνοηθὲν Καλλιμάχῳ, Εὐβούλου ἐστὶ τοῦ κωμικοῦ εἰς Διονύσιον κωμῳδία· καὶ περὶ τῆς παρῳδήσεως τοῦ στίχου. ἡ δὲ ψαλάκανθα βοτάνη ἐστὶν Αἰγυπτία, ἥτις ἵπποις περιαπτομένη νίκην παρέχει καὶ εὐδαιμονίαν. φασὶ δὲ ὡς ἡ Ψαλά- 15 κανθα νύμφη ἐγένετο ἐν Ἰκαρίᾳ τῇ νήσῳ, ἥτις ἐρασθεῖσα Διονύσου συνέπραξεν αὐτῷ τὴν πρὸς Ἀριάδνην ὁμιλίαν, ἐφ' ᾧ καὶ αὐτῇ συγγένοιτο· καὶ ὡς Διόνυσος μὲν οὐκ ἠβουλήθη, Ψαλάκανθα δ' ἐπεβούλευσεν Ἀριάδνῃ, ὁ δ' ὀργισθεὶς μετεμόρφωσεν αὐτὴν εἰς τὴν πόαν· μεταγνοὺς δὲ ἐπὶ τιμῇ τοῦ 20 φυτοῦ τῷ Ἀριάδνης αὐτὸ περιέθηκε στεφάνῳ τῷ κατηστερισμένῳ ἐν οὐρανῷ. τὴν δὲ πόαν οἱ μὲν ἀρτεμισίᾳ ἐοικέναι, οἱ δὲ μελιλώτῳ. ὡς Ἀθηνόδωρος ὁ Ἐρετριεὺς ἐν ὀγδόῳ ὑπομνημάτων φησὶ Θέτιν καὶ Μήδειαν ἐρίσαι περὶ κάλλους ἐν Θεσσαλίᾳ, καὶ κριτὴν γενέσθαι Ἰδομενέα, καὶ προσνεῖμαι 25 Θέτιδι τὴν νίκην, Μήδειαν δ' ὀργισθεῖσαν εἰπεῖν, Κρῆτες ἀεὶ ψεῦσται, καὶ ἐπαράσασθαι αὐτῷ μηδέποτε ἀλήθειαν εἰπεῖν, ὥσπερ ἐπὶ τῆς κρίσεως ἐποίησε· καὶ ἐκ τούτου φησὶ τοὺς Κρῆτας ψεύστας νομισθῆναι. παρατίθεται δὲ ἱστοροῦντα τοῦτο ὁ Ἀθηνόδωρος Ἀντίοχον ἐν δευτέρῳ τῶν κατὰ 30

4. αὐτῇ vulg. ‖ 6. Odyss. 11, 133.

V. 9. αἰχμὴ] ἀκτὴ Mueller. Orchom. p. 267. ‖ Ἑλένην καλουμένην vulg. ‖ 11. χαὶ — ψαλάκανθαν ἔδουσιν A, καὶ — ψαλακάνθαν ἔχουσιν vulg.: cf. Meinekii fr. com. 3. p. 219. ‖ 12. Διόνυσον vulg. ‖ 18. ἐβουλήθη vulg. ‖ 20. ἐπὶ τῇ τιμῇ vulg. ‖

πόλιν μυθικῶν. ὅτι Ἶλος, φησίν, ὁ Λαομέδοντος πατὴρ ἵπ-
πουριν εἶχε, καὶ τῶν Πριάμου παίδων Μελάνιππος καὶ Ἰδαῖος.
ὡς Ξάνθος καὶ Βαλίος οἱ Ἀχιλλέως ἵπποι πρότερον Γίγαντες
ἦσαν, καὶ μόνοι Γιγάντων συνεμάχησαν τοῖς θεοῖς κατὰ τῶν
5 ἀδελφῶν. ὡς περὶ τὰς Θύλας τῆς Σικελίας ναυαγήσαντος
Ὀδυσσέως ἡ Ἀχιλλέως ἀσπὶς ἐξεβράσθη περὶ τὸ μνημεῖον
τοῦ Αἴαντος, καὶ ἀνατεθεῖσα τῷ τάφῳ τῇ ἐπαύριον ἐκεραυ-
νώθη. ὡς ὁ Ἡρακλῆς οὐχὶ τὸ τοῦ Νεμεαίου λέοντος δέρας
ἠμπίσχετο, ἀλλὰ Λέοντός τινος ἑνὸς τῶν Γιγάντων, ἐπὶ μο-
10 νομαχίας προκλήσει ὑφ' Ἡρακλέους ἀνῃρημένου. ὡς ἀδελ-
φὸς ἦν ὁ δράκων ὁ τὰ χρυσᾶ μῆλα φυλάσσων τοῦ Νεμεαίου
λέοντος. ὡς ὁ παρ' Ὁμήρῳ Ἶρος Βοιωτὸς ἦν. ὡς ἡ Κανδαύλου
γυνή, ἧς Ἡρόδοτος οὐ λέγει τοὔνομα, Νυσία ἐκαλεῖτο·
ἦν καὶ δίκορον καὶ ὀξυωπεστάτην φασὶ γενέσθαι, τὸν δρα-
15 κοντίτην κτησαμένην λίθον, διὸ καὶ αἰσθέσθαι τὸν Γύγην
ἐξιόντα διὰ τῶν θυρῶν· ἄλλοι Τουδοῦν αὐτὴν καλεῖσθαι,
οἱ δὲ Κλυτίαν, Ἄβας δὲ Ἀβρὼ ταύτην καλεῖσθαι. σιγῆσαι
δὲ τοὔνομά φασι τῆς γυναικὸς τὸν Ἡρόδοτον, ἐπεὶ ὁ ἐρώμε-
νος Ἡροδότου Πλησίρροος Νυσίας ὀνόματι ἐρασθείς, Ἁλι-
20 καρνασίας τὸ γένος, ἐπεὶ μὴ τύχοι τῆς ἑταίρας, οὐκ ἀνεχό-
μενος βρόχῳ ἑαυτὸν ἀνήρτησε· διὸ φυλάξασθαι ὡς ἀπεχθὲς
εἰπεῖν τὸ τῆς Νυσίας ὄνομα Ἡρόδοτον. ὡς οἱ Κένταυροι
φεύγοντες Ἡρακλέα διὰ Τυρσηνίας λιμῷ διεφθάρησαν,
θελχθέντες ὑπὸ τῆς Σειρήνων ἡδυφωνίας. ὡς Ἄβδηρος ὁ
25 Ἡρακλέους ἐρώμενος ἀδελφὸς ἦν Πατρόκλου. ὡς Ἐπιπόλη
ἡ Καρυστία, ἡ Τραχίωνος θυγάτηρ, κρύπτουσα τὴν γυναι-
κείαν φύσιν συνεστρατεύετο τοῖς Ἕλλησι, μηνυθεῖσα δ' ὑπὸ
Παλαμήδους ὑπὸ τῶν Ἑλλήνων κατελεύσθη. ὡς Ἀλεξάνδρου
ἁρπάζοντος Ἑλένην Μενέλαος ἐν Γορτύνῃ τῆς Κρήτης ἑκα-
30 τόμβην ἔθυε τῷ Διί. ὡς Παλαμήδης ἀντ' Ἀγαμέμνονος Ἑλ-

1. φησὶν apographum Stephani, φασὶν vulg. ‖ 5. ὡς περὶ] ὥσπερ A. ‖ μύλας Scaliger, στήλας Casaubonus, πλαγκτὰς Lennep. ad Phal. p. 53, πύλας Roulez. ‖ 10. προσκλήσεις vulg. ‖ 11. ὁ φυλ. τὰ χρ. μῆλα δράκων ἀδελφὸς ἦν vulg. ‖ 12. Odyss. 18. pr. ‖ 13. Her. 1, 8 sqq. ‖ Μυσία vulg., Νυσσία ex mg. Roulez. ‖ 16. ἐξιόντα εἰς ζήτησιν διὰ vulg. ‖ 19. Νυσσίας vulg. hic et infra. ‖ 20. ἀνασχόμενος Scaliger, ἀνεσχομένης vulg. ‖ 21. βρόχῳ] ὑψόθεν βρόχῳ vulg. ‖ διὸ καὶ φυλ. vulg. ‖ ἀπεχθέον vulg. ‖ 29. Ἑλένην ἁρπάζοντος vulg. ‖

λήνων βασιλεύοι· ἐν Αὐλίδι γὰρ παραγενόμενος Ἀγαμέμνων αἰγὸς ἀγρίαν ἱερὰν Ἀρτέμιδος κατατοξεύοι, ἀπλοίας δὲ γενομένης τοῖς Ἕλλησι χρᾷ Κάλχας λυθῆναι τὸ δεινόν, εἰ θύσειε τὴν θυγατέρα Ἰφιγένειαν Ἀγαμέμνων Ποσειδῶνι· τοῦ δὲ μὴ ἀνασχομένου ὀργισθέντες οἱ Ἕλληνες ἀφείλοντο αὐτοῦ τὸ κράτος, καὶ κατέστησαν βασιλέα Παλαμήδην. ὡς Φιλοκτήτης ὑπὸ ὄφεως πληγεὶς ἀνῃρέθη, καὶ Ἀλέξανδρος ὑπὸ Μενελάου δόρατι τὸν μηρὸν πληγεὶς πίπτει. ὅτι τελευτήσαντος Δημητρίου τοῦ Σκηψίου τὸ βιβλίον Τέλλιδος πρὸς τῇ κεφαλῇ αὐτοῦ εὑρέθη· τὰς δὲ Κολυμβώσας Ἀλκμάνους πρὸς τῇ κεφαλῇ Τυρονίχου τοῦ Χαλκιδέως εὑρεθῆναί φασιν, τοὺς δ' Ὑβριστοδίκας Εὐπόλιδος πρὸς τῇ Ἐφιάλτου, τοὺς δὲ Εὐνείδας Κρατίνου πρὸς τῇ Ἀλεξάνδρου τοῦ βασιλέως Μακεδόνων, τὰ δ' ἔργα καὶ τὰς ἡμέρας Ἡσιόδου πρὸς τῇ τοῦ Σελεύκου τοῦ Νικάτορος κεφαλῇ. ὁ μέντοι νομοθέτης Ἀρκάδων Κερκίδας συνταφῆναι αὐτῷ τὸ α' καὶ β' τῆς Ἰλιάδος κελεύσειεν· ὁ δὲ Πομπήιος ὁ Μάγνος οὐδ' εἰς πόλεμον προέοι πρὶν ἂν τὸ λ' τῆς Ἰλιάδος ἀναγνώσειε, ζηλωτὴς ὢν Ἀγαμέμνονος· ὁ δὲ Ῥωμαῖος Κικέρων Μήδειαν Εὐριπίδου ἀναγινώσκων ἐν φορείῳ φερόμενος ἀποτμηθείη τὴν κεφαλήν. ὡς Διόγνητος ὁ Κρὴς ὁ πύκτης νικήσας οὐ λάβοι τὸν στέφανον, ἀλλὰ καὶ ἐλαθείη ὑπὸ Ἠλείων, διότι ὁ νικηθεὶς καὶ ἀναιρεθεὶς ὑπ' αὐτοῦ Ἡρακλῆς ἐκαλεῖτο ὁμωνυμῶν τῷ ἥρωι· τοῦτον τὸν Διόγνητον ὡς ἥρωα Κρῆτες τιμῶσιν. ὅτι τὸ Ὁμηρικὸν τιτρώσκεσθαι μέλλοντος „οὐδὲ σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο," τοῦτον τὸν στίχον παρῴδησεν ὁ Πύθιος Μενέδημα ἀντὶ τοῦ Μενέλαε. προετάθη δὲ τὸ ζήτημα

3. *κχρᾷ* vulg. ‖ 9. *Τέλλινος* ex Plut. apophth. 6. p. 372 R. Roulez, *Τέλληνος* Meinek. fr. com. gr. 1. p. 101. ‖ 10. *Ἀλκμᾶνος* Casaubonus, *Ἀλκμαίωνος* Welcker. fr. Alcm. p. 9, *Ἀλκμένους* Meinek. qu. scen. 1. p. 23. ‖ 11. *τυρονίχου* A, *Τιτωνύχου* vulg.: *Τυνηίχου* Galeus et Valesius, quod probant Naekius Choer. p. 39 et Meinek. qu. scen. 1. p. 33. ‖ *εὑρεθῆναί φασιν* A, *φασὶν εὑρεθῆναι* vulg. ‖ *τοὺς* Valesius: libri *τὰς*. ‖ cf. Meinek. fr. com. gr. 1. p. 145. ‖ 12. *εὐνίδας* libri: cf. Mueller. Orchom. p. 304. Runkel Crat. fr. p. 22. Meinek. fr. com. gr. 1. p. 101. 2, 1. p. 56. ‖ 13. *μακεδόνος* A. ‖ 16. *τὸ πρῶτον καὶ τὸ δεύτερον* vulg. ‖ 17. *προῄει* libri. ‖ 18. *πρὶν* A, *ἢ πρ.* vulg. ‖ *τὸ λ'* A, *τὸ πρῶτον* vulg. ‖ 24. *οἱ Κρ.* vulg. ‖ Iliad. 4, 127. ‖ 25. *ἀπὸ τοῦ τετρ. μ.* vel *τετρ. μελ. τοῦ Μενελάου* Casaubonus. ‖ 27. *ἀντὶ* A, *καὶ θεοῦ ἀντὶ* vulg.: *θεὸς ἀντὶ* Casaubonus, *καταθεὶς ἀντὶ* Roulez. ‖

παρὰ δείπνου Αὐγούστου τοῦ βασιλέως, ποῖον στίχον Ὁμήρου παρῴδησεν ὁ χρησμὸς καὶ τίς ἐστιν ὁ ἐν τῷ χρησμῷ ἱστορούμενος. καὶ ὡς Μενέδημος Ἠλεῖος Βουνέα υἱὸν ὑπέδειξεν Ἡρακλεῖ περὶ τῆς καθάρσεως τοῦ Αὐγέου κόπρου, 5 ὥστε ἀποστρέψαι τὸν ποταμόν· ὃν καὶ συμμαχῆσαι Ἡρακλεῖ ἐν τῷ πρὸς Αὐγέαν πολέμῳ φασί, καὶ ἀναιρεθέντα ταφῆναι ἐν Λεπρέῳ παρὰ πεύκης δένδρῳ· ἀγῶνα δὲ θεὶς ἐπ' αὐτῷ Ἡρακλῆς ἐπάλαισε Θησεῖ· ἰσοπαλοῦς δὲ τοῦ ἀγῶνος γενομένου ἐρρήθη παρὰ τῶν θεατῶν περὶ τοῦ Θησέως „ἄλλος 10 οὗτος Ἡρακλῆς." ὅτι Φαντασία τις Μεμφῖτις Νικέρχου θυγάτηρ συνέταξε πρὸ Ὁμήρου τὸν Ἰλιακὸν πόλεμον καὶ τὴν περὶ Ὀδυσσείας διήγησιν· καὶ ἀποκεῖσθαί φασι τὰς βίβλους ἐν Μέμφιδι, Ὁμήρου δὲ παραγενόμενον καὶ ἀντίγραφα λαβόντα παρὰ Φανίτου τοῦ ἱερογραμματέως συντάξαι ἐκείνοις 15 ἀποδούθως. ὡς Ἄδωνις ἀνδρόγυνος γενόμενος τὰ μὲν ἀνδρεῖα πρὸς Ἀφροδίτην πράσσειν ἐλέγετο, τὰ θηλυκὰ δὲ πρὸς Ἀπόλλωνα. ὡς Ἀλφειῷ τῷ ποταμῷ γέρας δωρούμενος Ἡρακλῆς, νικήσας ἐν Ὀλυμπίᾳ, ἀπ' αὐτοῦ ἐκάλεσε τὸ ἄλφα καὶ προέταξε τῶν στοιχείων. ὅτι φλυαρῶν οὗτος ὁ μυθογράφος, 20 Μωσῆς, φησίν, ὁ τῶν Ἑβραίων νομοθέτης ἄλφα ἐκαλεῖτο διὰ τὸ ἀλφοὺς ἔχειν ἐπὶ τοῦ σώματος. Γαλέριος δὲ Κράσσος ὁ χιλίαρχος, ὁ ἐπὶ Τιβερίου Καίσαρος, βῆτα ἐκαλεῖτο ἡδέως σεύτλῳ χρώμενος, ὃ δὴ βητάκιον καλοῦσι Ῥωμαῖοι. καὶ Ὀρπυλλὶς δὲ ἡ Κυζικηνὴ ἑταίρα γάμμα. Ἀντήνωρ δὲ ὁ τὰς 25 Κρητικὰς γράψας ἱστορίας δέλτα διὰ τὸ ἀγαθὸς εἶναι καὶ φιλόπολις· τοὺς γὰρ Κρῆτας τὸ ἀγαθὸν δέλτον καλεῖν. Ἀπολλώνιος δ' ὁ ἐν τοῖς τοῦ Φιλοπάτορος χρόνοις ἐπ' ἀστρονομίᾳ περιβόητος γεγονὼς ε̄ ἐκαλεῖτο, διότι τὸ σχῆμα τοῦ ε̄ συμπεριφέρεται τῷ τῆς σελήνης, περὶ ἣν ἐκεῖνος μάλιστα 30 ἠκρίβωτο. Σάτυρος δ' ὁ Ἀριστάρχου γνώριμος ζῆτα ἐκαλεῖτο διὰ τὸ ζηνητικὸν αὐτοῦ. καὶ Αἴσωπόν φασιν ὡς ὑπὸ

1. Ὁμήρου add. A. ‖ 3. Βουνεᾶ υἱὸς Reuicz. ‖ 4. Αὐγαίου et mox Αὐγαίαν Heri. ‖ 6. καὶ om. A. ‖ 7. πεύκης A, λεύκῃ vulg. ‖ 9. ἐρρέθη vulg. ‖ 15. ἀνδρῶα vulg. ‖ 16. θήλεα vulg. ‖ 18. ἀπ' αὐτοῦ Casaubonus: ἄπαν A, ἄπαυ ceteri. ‖ 20. φασιν A. ‖ 22. χιλίαρχος in libris post καίσαρος repetitur. ‖ 26. καλεῖν φασιν Ἀπ. vulg. ‖ 27. ὁ add. A. ‖ 28. ε̄ A, ἐψιλὸν vulg. ‖ 29. συμφέρεται Bekkerus. ‖ 31. φασιν A, δέ φασιν vulg. ‖ Ἰάδμενος ex Herod. 2, 134 et Suid. v. Αἴσωπος et

Ἴδμονος τοῦ δεσπότου θῆτα ἐκαλεῖτο διὰ τὸ δουλικός τις εἶναι καὶ πολύτροπος· θῆτες γὰρ οἱ δοῦλοι. καὶ ἡ Κυψέλου δὲ μήτηρ χωλὴ οὖσα λάβδα ἐκλήθη ὑπὸ τοῦ Πυθίου. Δημοκύδης δὲ Πυθαγόραν φησὶ καταγράψαντα πάντας τοὺς ἀριθμοὺς τῷ γ' στοιχείῳ κληθῆναι. 5

ΒΙΒΛΙΟΝ ς.

Τὸ δὲ ς' βιβλίον κεφάλαια περιέχει τάδε, ὡς Ἀχιλλεὺς ὑπὸ Πενθεσιλείας ἀναιρεθεὶς δεηθείσης αὐτοῦ τῆς μητρὸς Θέτιδος ἀναβιοῖ, καὶ ἀνελὼν Πενθεσιλείαν εἰς Ἅιδου πάλιν ὑποστρέφει. ὡς ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων εἰπὼν „ποία δ' ἀηδὼν στεῖρα κενταυροκτόνος" τὰς Σειρῆνας κενταυροκτό- 10 νους εἶπεν. ὡς Ἕλενος ὁ Πριάμου Ἀπόλλωνος ἐρώμενος γένοιτο, καὶ ἔλαβε παρ' αὐτοῦ δῶρον τόξον ἐλεφάντινον, ᾧ Ἀχιλλέα τοξεύσειε κατὰ τῆς χειρός. ὅτι μετὰ Ἀνδρομάχης καὶ τῶν υἱῶν αὐτοῦ Πρίαμος ὑπὲρ τῶν Ἕκτορος ὀστῶν ἱκέτης ἀφίκετο ὡς Ἀχιλλέα. ὡς Θέτις τοὺς ἐκ Πηλέως αὐτῇ 15 γινομένους παῖδας πυρὶ λαθραίῳ κατηνάλου ἐξ γεγονότας· ὡς δὲ καὶ Ἀχιλλέα ἐπεχείρησε, γνοὺς Πηλεὺς ἐξείλετο τὸν ἀστράγαλον μόνον τοῦ δεξιοῦ ποδὸς κεκαυμένον, καὶ Χείρωνι παρατίθησιν· ὁ δὲ ἀνορύξας τὸ Δαμύσου τοῦ Γίγαντος σῶμα ἐν Παλλήνῃ κείμενον (ταχύτατος δ' ἦν ὁ Δάμυσος πάντων 20 Γιγάντων) καὶ ἀνελόμενος αὐτοῦ τὸν ἀστράγαλον ἐναρμόζει τῷ Ἀχιλλέως ποδί, καὶ φαρμάκοις αὐτὸν σωματοποιεῖ. τοῦτον δὲ τὸν ἀστράγαλον ἀποπεσεῖν διωκομένου αὐτοῦ ὑπὸ Ἀπόλλωνος, καὶ οὕτως αὐτὸν ἀναιρεθῆναι καταπεσόντα. φασὶ δὲ ποδάρκην αὐτὸν ὑπὸ τοῦ ποιητοῦ λέγεσθαι, ὅτι φασὶ 25 τῆς Ἄρκης τὰ πτερὰ τὴν Θέτιν περιθεῖναι τῷ παιδὶ γεννηθέντι, καὶ εἶναι τὸ ποδάρκης ὁ ἐν τοῖς ποσὶ τὰ τῆς Ἄρκης πτερὰ ἔχων. ἡ δὲ Ἄρκη Θαύμαντος ἦν θυγάτηρ, ἧς ἡ ἀδελφὴ Ἶρις· πτερὰ δ' εἶχεν ἑκατέρα. ἐν δὲ τῷ πρὸς Τιτᾶνας τῶν

ἑταῖρα Roulez. ‖ 2. καὶ add. A. ‖ 3. μήτηρ] μῆρω A. ‖ λάμβδα vulg. ‖ Δημοκήδης Teucher. ‖ 4. φασὶ A. ‖ 5. γ'] τρίτῳ vulg., υ' O. Muellerus.

VI. 9. εἶπε vulg.: Lyc. v. 670, ubi nunc legitur τίς οὐκ ἀ.σ.κ. ‖ στεῖρα] ἥρα A. ‖ 11. ἐρώμενος Ἀπόλλωνος vulg. ‖ 14. αὐτῆς Roulez. ‖ 15. ὡς A, πρὸς vulg. ‖ 20. Παλήνῃ vulg. ‖ 25. Iliad. 16, 5. ‖ 26. παραθεῖναι vulg. ‖ 27. ὁ A, ἀντὶ τοῦ ὁ vulg. ‖

θεῶν πολέμῳ ἀποπτᾶσα τῶν θεῶν ἡ Ἄρκη πρὸς τοὺς Τιτᾶνας ἦλθε· μετὰ δὲ τὴν νίκην ὁ Ζεὺς τὰ μὲν πτερὰ αὐτῆς ἀφείλετο, αὐτὴν ταρταρώσας, παραγενόμενος δὲ ἐπὶ τῷ Πηλέως καὶ Θέτιδος γάμῳ δῶρον τὰ πτερὰ τῇ Θέτιδι προσάγει. 5 ὡς Πηλεῖ ἐπὶ τῷ γάμῳ φασὶ δωρήσασθαι Ἥφαιστον μὲν μάχαιραν, Ἀφροδίτην δὲ φιάλην ἐγγεγλυμμένην Ἔρωτα χρυσῆν, Ποσειδῶνα δὲ ἵππους Ξάνθον καὶ Βαλίον, Ἥραν δὲ χλαμύδα, καὶ Ἀθηνᾶν αὐλούς, Νηρέα δὲ τοὺς θείους ἅλας καλουμένους ἐν κρίτιδι· τούτους δὲ δύναμιν ἔχειν ἀμήχανον πρὸς 10 πολυφαγίαν καὶ ὄρεξιν καὶ πέψιν, ἐξ οὗ λύεταί σοι καὶ τὸ „πάσσε δ' ἁλὸς θείοιο." περὶ Ἀχιλλέως τοῦ γηγενοῦς, καὶ ἀπὸ τῶν Ἰλιακῶν ὅσοι ἐγένοντο Ἀχιλλεῖς περιώνυμοι· καὶ ὡς οὗτος ὁ γηγενὴς φεύγουσαν τὴν Ἥραν ἀπὸ τῆς τοῦ Διὸς μίξεως ὑπεδέξατο ἐν τῷ αὐτοῦ ἄντρῳ, καὶ ἀνέπεισε συνελ- 15 θεῖν τῷ Διί· καὶ πρώτην μίξιν Ἥρας καὶ Διὸς ταύτην γενέσθαι φασίν. ὁ δὲ Ζεὺς ἐπηγγείλατο Ἀχιλλεῖ πάντας τοὺς τῷ ὀνόματι αὐτοῦ κληθησομένους περιωνύμους ποιήσειν. διὰ τοῦτο καὶ Ἀχιλλεὺς περιώνυμος ὁ τῆς Θέτιδος. καὶ ὁ Χείρωνος δὲ διδάσκαλος Ἀχιλλεὺς ἐκαλεῖτο, ἀφ' οὗ καὶ ὁ Πηλέως 20 ἐκλήθη ὑπὸ Χείρωνος. καὶ ὁ τὸν ὀστρακισμὸν ἐπινοήσας Ἀθήνησιν Ἀχιλλεὺς ἐκαλεῖτο, υἱὸς Λύσωνος. καὶ Διὸς καὶ Λαμίας Ἀχιλλέα φασὶ γενέσθαι τὸ κάλλος ἀμήχανον, ὃν καὶ ἐρίσαντα περὶ κάλλους νικῆσαι τοῦ Πανὸς κρίναντος· καὶ διὰ τοῦτο Ἀφροδίτη νεμεσήσασα ἐμβάλλει Πανὶ τὸν Ἤχοῦς 25 ἔρωτα, καὶ μὴν καὶ κατειργάσατο καὶ εἰς τὴν ἰδέαν αὐτόν, ὅπως ἐκ τῆς μορφῆς αἰσχρὸς καὶ ἀνέραστος φαίνοιτο. καὶ Γαλάτου τινὸς υἱὸς Ἀχιλλεὺς ἐκλήθη, ὃν ἐκ γενετῆς πολιὸν γενέσθαι φησί. καὶ ἕτεροι Ἀχιλλεῖς ἐπιφανεῖς γεγόνασι ιδ'. ὧν οἱ δύο κύνες ἦσαν καὶ θαυμάσιοι τὰ κυνῶν ἔργα. ὅτι 30 Πρίαμος Διὸς ἐρώμενος γένοιτο, καὶ λάβοι παρ' αὐτοῦ τὴν χρυσῆν ἄμπελον, ἣν δῶρον Εὐρυπύλῳ τῷ Τηλέφου ὑπὲρ συμμαχίας δίδωσιν. ὡς Αἴσωπος ἀναιρεθεὶς ὑπὸ Δελφῶν

3. δὲ A, δὲ καὶ vulg. ‖ 11. Iliad. 9, 214. ‖ 12. ὅσοι ante ἀπὸ vulg. ‖ 13. ὡς add. A. ‖ 19. πηλεὺς A. ‖ 22. γενέσθαι φασὶ vulg. ‖ 24. Ἀφροδίτην μισήσασαν (νεμεσήσασαν Teuch.) ἐμβάλλειν vulg. ‖ 28. γεγόνασι νθ' vulg., γεγόνασιν, δὲ Teuch. ‖

ἀνεβίωσε καὶ συνεμάχησε τοῖς Ἕλλησι περὶ Θερμοπύλας. ὡς Φιλοκτήτην ἐν Λήμνῳ Πύλιος ἰάτρευσεν, υἱὸς Ἡφαίστου, καὶ ἔμαθε παρ' αὐτοῦ τὴν τοξικήν. ὡς Σκαμάνδρου τοῦ ποταμοῦ υἱὸς Μῆλος γένοιτο· καλὸς τὴν ὥραν, περὶ οὗ ἐρίσαι φασὶν Ἥραν τε καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην τίνος γένοιτο ἱερεύς, Ἀλέξανδρον δὲ κρῖναι νικᾶν Ἀφροδίτην· ἐκ ταύτης γοῦν τῆς ἱστορίας ὁ περὶ τοῦ μήλου λόγος διεδόθη. Ὑπερμένης ἐν τῷ περὶ Χίου Ὁμήρου φησὶ θεράποντα γενέσθαι Σκινδαψὸν ὀνόματι· τοῦτον ζημιωθῆναι ὑπὸ Χίων χιλίας δραχμὰς διὰ τὸ μὴ παῦσαι τελευτήσαντα τὸν δεσπότην. ὁ δὲ τὸ ὄργανον εὑρὼν τὸ οὕτω καλούμενον σκινδαψὸν Ἐρετριεὺς ἦν, Ποικίλης τῆς αὐλητρίδος υἱός.

ΒΙΒΛΙΟΝ Ζ.

Ἐν δὲ τῷ ζ' περιέχεται ὡς Θεόδωρος ὁ Σαμοθρᾷξ τὸν Δία φησὶ γεννηθέντα ἐπὶ ἑπτὰ ἡμέρας ἀκατάπαυστον γελᾶσαι, καὶ διὰ τοῦτο τέλειος ἐνομίσθη ὁ ἑβδομος ἀριθμός. ὡς Ἀχιλλεὺς διὰ μὲν τὸ ἐκ πυρὸς αὐτὸν σωθῆναι καόμενον ὑπὸ τῆς μητρὸς Πυρίσσοος ἐκαλεῖτο, διότι δὲ ἐν τῶν χειλέων αὐτοῦ κατακαυθείη, Ἀχιλλεὺς ὑπὸ τοῦ πατρὸς ὠνομάσθη. ὅτι Τηλέμαχον Ὀδυσσέως υἱὸν μαθοῦσαι εἶναι ἀνεῖλον αἱ Σειρῆνες. ὡς Ὀδυσσεὺς ἐν Τυρρηνίᾳ ἠγωνίσατο αὐλητικὴν καὶ ἐνίκησεν· ἤυλησε δὲ Ἰλίου ἅλωσιν, Δημοδόκου ποίημα. ὡς Στίχιος ὁ Αἰτωλὸς, ἐρώμενος ὢν Ἡρακλέους, εὑρέθη ἀνασχισθεὶς τετριχωμένην ἔχων τὴν καρδίαν· ἀνηρέθη δ' ὑπ' αὐτοῦ Ἡρακλέους, ὅτε μανεὶς καὶ τοὺς ἰδίους ἀνεῖλε παῖδας· καὶ ἐπὶ τούτῳ μόνῳ φασὶ θρηνῆσαι τὸν ἥρωα. ὡς Ἑρμῆς Πολυδεύκους ἑνὸς τῶν Διοσκούρων γεγονὼς ἐραστὴς ἐδωρήσατο αὐτῷ Δώτορα τὸν Θεσσαλὸν ἵππον. ὅτι Ἀπόλλωνος ἐπιτελοῦντος ἐπιτάφιον Πύθωνι παλαίει Ἑρμῆς καὶ Ἀφροδίτη, καὶ κρατήσασα ἆθλον ἔλαβε κιθάραν, ἣν καὶ

1. συνεμάχει — Θερμοπύλης vulg. ‖ 2. Πήλιος vulg. ‖ 8. γενέσθαι θεράποντα vulg. ‖ 9. τοῦτον A, καὶ τοῦτον vulg. ‖ 12. Ἐρέτριος vulg.

VII. 13. Σαμόθρᾳξ coll. Meinek. Euphor. p. 6. Roulez. ‖ 15. ὁ ἑβδομος] ὁ ἑπτὰ Bekkerus. ‖ 16. καιόμενον vulg. ‖ 18. αὐτοῦ χειλέων vulg. ‖ 21. Δημοδόκου ποίημα, Ἰλίου ἅλωσιν vulg. ‖ 25. ὡς A. καὶ ὡς vulg. ‖ 26. libri Διοσκουριδῶν. ‖ 27. δώτορα A, δῶρα vulg.; δῶρον τὸν Κύλλαρον i. Roulez. ‖ 28. παλαίει vulg. ‖ 29. κρατήσας vulg. ‖

ἐδωρήσατο Ἀλεξάνδρῳ· περὶ ἧς καὶ Ὅμηρος „οὐκ ἄν τοι χραίσμῃ κίθαρις“ καὶ ἑξῆς. τί ἐστι τὸ παρὰ Βακχυλίδῃ ὡς ἀπὸ Σειληνοῦ εἰρημένον, καὶ πρὸς τίνα εἶπε τὸ ἔπος. ὡς ἡ Λευκὰς πέτρα ἀπὸ Λεύκου τοῦ Ὀδυσσέως ἑταίρου τὴν κλῆ-
5 σιν ἔλαβεν, ὃς Ζακύνθιος μὲν γένος ἦν, ἀνῃρέθη δ', ὥς φησιν ὁ ποιητής, ὑπ' Ἀντίφου· τοῦτον ἱδρύσασθαί φασι καὶ ἱερὸν Λευκάτου Ἀπόλλωνος. τοὺς μὲν οὖν καθαλλομένους ἀπὸ τῆς πέτρας παύεσθαί φασι τοῦ ἔρωτος. καὶ ἡ αἰτία· μετὰ τὸν Ἀδώνιδός φασι θάνατον περιερχομένη καὶ ζητοῦσα ἡ
10 Ἀφροδίτη εὗρεν αὐτὸν ἐν Ἄργει πόλει τῆς Κύπρου, ἐν τῷ τοῦ ἐριθίου Ἀπόλλωνος ἱερῷ, καὶ ἀνεῖλεν αὐτόν, ἀνακοινωσαμένη Ἀπόλλωνι καὶ τὸν περὶ Ἀδώνιδος ἔρωτα. ὁ δ' Ἀπόλλων ἀγαγὼν αὐτὴν ἐπὶ τὴν Λευκάδα πέτραν προσέταξε ῥῖψαι κατὰ τῆς πέτρας· ἡ δὲ ἑαυτὴν ῥίψασα ἐπαύσατο τοῦ ἔρωτος.
15 ζητούσης δὲ τὴν αἰτίαν εἰπεῖν λέγεται τὸν Ἀπόλλωνα, ὡς μάντις ὢν ἐγνώκει διότι ὁ Ζεὺς ἀεὶ ἐρῶν Ἥρας ἐρχόμενος ἐπὶ τῇ πέτρᾳ ἐκαθέζετο καὶ ἀνεπαύετο τοῦ ἔρωτος. καὶ πολλοὶ δὲ ἄλλοι καὶ πολλαὶ ἔρωτι κάμνουσαι ἀπηλλάγησαν τοῦ ἔρωτος, ἐπεὶ τῆς πέτρας καθήλαντο. ὡς καὶ Ἀρτεμισία ἡ Λυγ-
20 δάμιδος, ἡ τῷ Πέρσῃ συστρατεύσασα, ἐρασθεῖσα Δαρδάνου Ἀβυδηνοῦ καὶ ὑπερορωμένη ἐκκόψειε τοὺς ὀφθαλμοὺς κοιμωμένου, τῆς δ' ἐπιθυμίας κατὰ θεῶν μῆνιν ἐπιταθείσης πορευθεῖσα κατὰ χρησμὸν εἰς Λευκάδα ἔρριψεν ἑαυτὴν κατὰ τῆς πέτρας καὶ ἀναιρεθεῖσα ἐτάφη. καὶ Ἱπομέδοντά φησιν
25 Ἐπιδάμνιον, παιδὸς ἐγχωρίου ἐρασθέντα καὶ μὴ τυγχάνοντα, ὅτι πρὸς ἕτερον κλίνειεν, ἀνελεῖν, εἰς δὲ τὴν Λευκάδα παραγενόμενον καὶ ῥίψαντα αὐτὸν ἀποθανεῖν. καὶ Νικόστρατον δὲ τὸν κωμικὸν Τεττιγιδαίας τῆς Μυριναίας ἐρασθέντα ῥῖψαι ἑαυτὸν καὶ ἀπαλλαγῆναι τοῦ ἔρωτος. Μάκητα δέ φασι τὸν
30 Βουθρώτιον Λευκοπέτραν ἐπικληθῆναι, διότι τετράκις αὐτὸν καταβαλὼν τῶν ἐρωτικῶν κακώσεων ἀπαλλάττοιτο. καὶ πλῆθος ἄλλο οὕτως ἀπαλλαγῆναι λέγεται. καὶ Βουλιαγόραν δὲ τὸν Φαναγορίτην, ἐρασθέντα Διοδώρου τοῦ αὐλητοῦ,

1. Iliad. 3, 54. ‖ 2. ἑξῆς A, τὰ ἑξῆς vulg. ‖ 4. Λευκοῦ vulg. ‖ 9. φησι vulg. ‖ 11. τοῦ add. A. ‖ Ἐρυθρίβιον O. Muellerus. ‖ 17. ἐκαθίζετο vulg. ‖ 24. φασὶν vulg. ‖ 27. ἑαυτὸν vulg. ‖ 28. τετιγιδαίας A. ‖ Μυρριναίας vulg. ‖ 33. φαραγορίτην vulg., Φαναγορείτην ex Steph. Byz. Reslen. ‖

καταβαλόντα αὐτὸν ἀναιρεθῆναι γηραιὸν ἤδη ὄντα. ἀναιρεθῆναι δὲ καὶ Ῥοδόπην Ἀμισηνὴν καταβαλοῦσαν ἑαυτήν, δυδύμων παίδων σωματοφυλάκων Ἀντιόχου τοῦ βασιλέως ἐρασθεῖσαν, οἷς ὀνόματα Ἀντιφῶν καὶ Κῦρος. Χαρῖνος δὲ ἰαμβογράφος ἠράσθη Ἔρωτος εὐνούχου τοῦ Εὐπάτορος οἰνο- 5 χόου, καὶ πιστεύσας τῷ περὶ τῆς πέτρας λόγῳ κατέβαλεν ἑαυτόν· ἐπεὶ δὲ καταβαλὼν τὸ σκέλος κατεάγη καὶ ὑπὸ ὀδύνης ἐτελεύτα, ἀπέρριψε τάδε τὰ ἰάμβεια,

ἔρρεις, πλανῆτι καὶ πικρὴ πέτρη, λευκάς.
Χαρῖνον, αἰ αἰ, τὴν ἰαμβικὴν Μοῦσαν, 10
κατηθάλωσας ἐλπίδος κενοῖς μύθοις.

τοιαῦτ' Ἔρωτος Εὐπάτορος ἐμάθομεν.

Νιρεὺς δὲ Καταναῖος ἠράσθη τῆς Ἀττικῆς Ἀθηναίας, καὶ ἐλθὼν κατέβαλεν ἑαυτὸν ἀπὸ τῆς πέτρας, καὶ ἀπελύθη τοῦ διοχλοῦντος· πεσὼν δ' οὖν εἰς δίκτυον ἐνέπεσεν ἁλιέως, ἐν 15 ᾧ ἀνειλκύσθη σὺν κιβωτῷ χρυσίου. ἐπεδικάζετο δὲ πρὸς τὸν ἁλιέα περὶ τοῦ χρυσίου· ἀλλ' ὁ Ἀπόλλων νυκτερινῇ ὄψει ἀπέστησεν αὐτὸν τοῦ ἐπιδικάζεσθαι δέον εὐχαριστεῖν ὑπὲρ τῆς ἀπαλλαγῆς, ἀπειλησάμενος, ἀλλὰ μὴ καὶ ἀλλότριον περιεργάζεσθαι χρυσίον. Πᾶνά φασιν ἰχθῦν εἶναι θαλάσσιον 20 κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν· ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα ἀνάπτεσθαι, ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὴ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγῖδι. 25

2. δὲ add. A. ‖ Ῥάπιν ἀμισσηνὴν vulg., Ῥοδῶπιν A. Roulex. ‖ 5. εὐνούχου A, ἡμιάρρενος vulg. ‖ 11. καινοῖς A. ‖ 13. Νηρεὺς vulg. ‖ 14. ὑπὸ vulg. ‖ 19. ἄλλα Scaliger. ‖ μὴ καὶ A, καὶ μὴ vulg. ‖ 20. πᾶνά φασιν A, Πᾶνα δέ φησιν vulg. ‖ 23. φίλτρα Suid. v. Λίθωπος et ἰχθύς.

ΑΝΤΩΝΙΝΟΥ ΛΙΒΕΡΑΛΙΣ

ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ ΣΥΝΑΓΩΓΗ

α'. Κτήσυλλα εἰς πελειάδα μετὰ θάνατον. — β'. αἱ Μελεάγρου ἀδελφαὶ εἰς μελεαγρίδας. — γ'. Ἱέραξ εἰς ἱέρακα. — δ'. Κραγαλεὺς εἰς πέτρον. — ε'. Αἴγυπιὸς καὶ Νεόφρων εἰς αἰγυπιούς, Βουλὶς εἰς πούγγα, Τιμάνδρη εἰς αἰγιθαλλόν. — ς'. Περίφας εἰς αἰετόν,
5 *ἡ γυνὴ αὐτοῦ εἰς φήνην. — ζ'. Ἄνθος, Ἐρωδιός, Σχοινεύς, Ἄκανθος, Ἀκανθυλὶς εἰς ὄρνεα ὁμώνυμα, Αὐσόνοος εἰς ὄκνον, Ἱπποδάμεια εἰς κορυδόν, ὁ ἀκόλουθος Ἄνθου εἰς ἐρωδιὸν ἕτερον. — η'. Λαμία ἢ Σύβαρις εἰς πηγὴν ὁμώνυμον Σύβαριν. — θ'. αἱ Πίερος θυγατέρες εἰς ὄρνιθας ὁμωνύμους ἡμαθίδας· ἔστι δ' αὐτῶν ὀνόματα*
10 *τάδε· κολυμβίς, ἴυγξ, κεγχρίς, κίσσα, χλωρίς, ἀκαλανθίς, νῆσσα, πιπώ, δρακοντίς. — ι'. Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη, Μινύου θυγατέρες, εἰς νυκτερίδα, γλαῦκα, βύζαν. — ια'. Πανδάρεος εἰς ἀλιαίετον, Ἀηδὼν καὶ Χελιδωνὶς εἰς τὰ ὁμώνυμα ὄρνεα, ἡ μήτηρ τῆς Ἀηδόνος εἰς ἀλκυόνα, ἀδελφὸς Ἀηδόνος εἰς ἔποπα, Πολύτεχνος ὁ*
15 *ἀνὴρ αὐτῆς εἰς πελεκᾶνα. — ιβ'. Κύκνος Ἀπόλλωνος καὶ Θυρίη ἡ μήτηρ αὐτοῦ εἰς κύκνους. — ιγ'. Ἀσπαλὶς εἰς ξόανον μετὰ θάνατον. — ιδ'. Μούνιχος εἰς τριόρχην καὶ Δηλάντη ἡ γυνὴ αὐτοῦ εἰς πιπώ, τῶν παίδων αὐτοῦ Ἄλκανδρος εἰς ὀρχίλον, Μεγαλήτωρ εἰς ἰγνεύμονα, Φίλαιος εἰς κύνα, Ὑπερίππη εἰς αἴθυιαν. — ιε'. Μεροπὶς εἰς γλαῦκα,*
20 *Βύσσα εἰς ὁμώνυμον ὀρνιθάριον, Ἄγρων εἰς χαραδριόν, Εὔμηλος εἰς νυκτικόρακα. — ις'. Οἰνόη εἰς γέρανον. — ιζ'. Λεύκιππος ἐκ θηλείας*

1. πελειάδα P. ‖ 8. πίερος adscripto ρι super ερ P. ‖

εἰς ἄρρενα. — ιή. Ἥροπος εἰς ὄρνιθα ὁμώνυμον. — ιθ'. Λάϊος, Κελεός, Κέρβερος, Αἰγωλιὸς εἰς ὁμωνύμους οἰωνούς. — κ'. Κλεῖνις εἰς ὑψιαίετον, Λύκιος εἰς κόρακα, Ἀρτεμίχη εἰς πίφιγγα, Ὀρτύγιος εἰς αἰγιθαλλόν, Ἅρπη καὶ Ἅρπασος εἰς ὁμωνύμους ὄρνιθας. — κά. Πολυφόντη εἰς στύγα, Ὄρειος εἰς λαγών, Ἄγριος εἰς γῦπα, ἡ θεράπαινα αὐτῶν εἰς ἴπνην. — κβ'. Τέραμβος εἰς κεράμβυκα. — κγ'. Βάττος εἰς πέτρον. — κδ'. Ἀσκαλαβὸς εἰς ζῶον ὁμώνυμον. — κε'. Μητιόχη καὶ Μενίππη εἰς ἀστέρας κομήτας. — κς'. Ἅλας εἰς ἠχώ. — κζ'. Ἰφιγένεια εἰς δαίμονα καλούμενον Ὀρσιλόχην. — κη'. Τυφὼν εἰς διάπυρον μύδρον, Ἀπόλλων εἰς ἱέρακα, Ἑρμῆς εἰς ἶβιν, Ἄρης εἰς λεπιδωτὸν ἰχθύν, Ἄρτεμις εἰς αἴλουρον, Διόνυσος εἰς τράγον, Ἡρακλῆς εἰς ἔλλον, Ἥφαιστος εἰς βοῦν, Δητὼ εἰς μυγαλῆν. — κθ'. Γαλινθιὰς εἰς γαλῆν. — λ'. Βιβλὶς εἰς Ἁμαδρυάδα νύμφην ὁμώνυμον. — λα'. Μεσσάπιοι παῖδες εἰς δένδρα. — λβ'. Δρυόπη εἰς αἴγειρον. — λγ'. Ἀλκμήνη εἰς λίθον μετὰ θάνατον. — λδ'. Σμύρνα εἰς δένδρον ὁμώνυμον. — λε'. Βουκόλοι εἰς βατράχους. — λς'. Πανδάρεος εἰς πέτρον. — λζ'. Δωριεῖς οἱ μετὰ Διομήδους εἰς ὄρνιθας μετὰ θάνατον. — λή'. Λύκος εἰς πέτρον. — λθ'. Ἀρσινόη εἰς λίθον. — μ'. Βριτόμαρτις εἰς ξόανον Ἀφαίαν. — μά'. Ἀλώπηξ καὶ κύων εἰς λίθους.

I. Κτήσυλλα. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'.) Κτήσυλλα ἐγένετο Κεία τὸ γένος ἐξ Ἰουλίδος, Ἀλκιδάμαντος θυγάτηρ. ταύτην ἰδὼν Ἑρμοχάρης Ἀθηναῖος χορεύουσαν Πυθίοις περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν Καρθαίᾳ ἐπεθύμησεν αὐτῆς, καὶ ἐπιγράψας μῆλον ἔρριψεν ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος, ἡ δὲ ἀνείλετο καὶ ἀνέγνω· ἐγέγραπτο δὲ ὅρκος κατὰ τῆς Ἀρτέμιδος, ἦ μὴν γαμηθήσεσθαι Ἑρμοχάρει Ἀθηναίῳ. ἡ μὲν οὖν Κτήσυλλα ἀπέρριψε τὸ μῆλον αἰδεσθεῖσα καὶ χαλεπῶς ἤνεγκεν, ὥσπερ ὅτε Κυδίππην Ἀκόντιος ἐξηπάτησεν. Ἑρμοχάρει δὲ αἰτησαμένῳ κατήνεσε τὸν γάμον ὁ πατὴρ ὁ τῆς Κτησύλλης καὶ ὤμοσεν τὸν Ἀπόλλωνα τῆς δάφνης ἁψάμενος. ἐπεὶ δὲ διῆλθεν ὁ τῶν Πυθίων χρόνος, Ἀλκιδάμας ἐκλαθόμενος τὸν ὅρκον ὃν ὤμοσεν ἑτέρῳ

3. ὑπαίετον P. ‖ 5. στύγα] στρίγγα Kochius. ‖ 7. ζῶιον P. ‖ 11. αἴλουρον adscripto ι super αι P. ‖ 24. περὶ Verheyk, legebatur παρὰ: sed πάρὰ (sic) P. ‖ 27. κατὰ, quod in P deletum est, restituit Xylander. ‖

συνῴκιζε τὴν θυγατέρα. καὶ ἡ παῖς ἔθυεν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ· χαλεπῶς δὲ φέρων Ἑρμοχάρης ἐπὶ τῷ τούτου διαμαρτεῖν εἰσέδραμεν εἰς τὸ Ἀρτεμίσιον· καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κατὰ θεῶν ἠράσθη, καὶ συνθεμένη διὰ τῆς τροφοῦ, διαλαθοῦσα τὸν πατέρα νύχιον ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, καὶ γάμος ἐπράχθη τῷ Ἑρμοχάρει. τεκοῦσα δ' ἡ Κτήσυλλα καὶ χαλεπῶς ἐκ τοῦ τόκου διατεθεῖσα ἐτελεύτησε κατὰ δεύμονα, ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον. καὶ τὸ μὲν σῶμα κομίσαντες ἔφερον ὅπως κηδεύσωσιν, ἐκ δὲ τῆς στρωμνῆς πελειὰς ἐξέπτη καὶ τὸ σῶμα τῆς Κτησύλλης ἀφανὲς ἐγένετο. χρωμένῳ δ' Ἑρμοχάρει ὁ θεὸς ἀνεῖπεν ἱδρύσασθαι ἱερὸν παρὰ τοῖς Ἰουλήταις ἐπώνυμον Ἀφροδίτης Κτησύλλης· ἔχρησε δὲ καὶ τοῖς Κείοις. οἱ δὲ θύουσιν ἄχρι νῦν, Ἰουλῆται μὲν Ἀφροδίτῃ, Κτήσυλλαν ὀνομάζοντες, οἱ δὲ ἄλλοι Κτήσυλλαν Ἐκαέργην.

II. Μελεαγρίδες. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'.) Οἰνεὺς ὁ Πορθέως τοῦ Ἄρεως ἐβασίλευσεν ἐν Καλυδῶνι. καὶ ἐγένοντο αὐτῷ ἐξ Ἀλθαίας τῆς Θεστίου Μελέαγρος, Φηρεύς, Ἀγέλεως, Τοξεύς, Κλύμενος, Περίφας, θυγατέρες δὲ Γόργη, Εὐρυμήδη, Δηιάνειρα, Μελανίππη. ἐπεὶ δ' ἔθυεν ἀπαρχὰς ὑπὲρ τῆς χώρας, ἐκλανθάνεται τῆς Ἀρτέμιδος· αὕτη κατὰ μῆνιν ἐφορμᾷ σὺν ἄγριον, ὃς κατέφθειρε τὴν γῆν καὶ πολλοὺς ἀπέκτεινεν. ἔπειτα Μελέαγρος καὶ οἱ Θεστίου παῖδες συνήγειραν τοὺς ἀριστέας ἐκ τῆς Ἑλλάδος ἐπὶ τὸν σῦν, οἱ δὲ ἀφικόμενοι κτείνουσιν αὐτόν. ὁ δὲ Μελέαγρος διανείμας τὰ κρέα αὐτοῦ τοῖς ἀριστεῦσιν τὴν κεφαλὴν καὶ τὸ δέρος ἐξαιρεῖ γέρας ἑαυτῷ. Ἄρτεμις δὲ, ἐπεὶ τὸν ἱερὸν σῦν ἔκτειναν, ἔτι μᾶλλον ἐχολώθη καὶ νεῖκος ἐνέβαλεν αὐτοῖς. οἱ γὰρ παῖδες οἱ Θεστίου καὶ οἱ ἄλλοι Κουρῆτες ἅπτονται τοῦ δέρους, φάμενοι μετεῖναι τὰ ἡμίσεια τῶν γερῶν ἑαυτοῖς· Μελέαγρος ἀφαιρεῖται κατὰ βίαν καὶ πτείνει τοὺς Θεστίου

1. ἡ μὲν Ε. Fontelnius. ‖ 4. θεὸν Munckerus. ‖ 9. κομήσαντες vel κοσμήσαντες Berkelius, alterum etiam Jacobs. in ephem. Hal. 1806. nr. 281. ‖ κηδεύουσιν Jacobs. add. anim. in Athen. p. 286. ‖ 14. ἀφροδίτῃ in P duabus virgulis inclusum: Ἀφροδίτην Perizon. ad Ael. var. hist. 4, 15. cf. Bröndsted Reis. u. Unters. in Gr. 1. p. 96 sq. ‖ 17. Παρθάνος Berkelius, sed vid. Hom. Iliad. 14, 115. ‖ 27. ἐξαίρει P. ‖ 30. ἡμίσεα Schaefer. ad Lamb. Bos. ell. p. 280. ‖ 31. post Μελέ-

παῖδας. ἐκ ταύτης τῆς προφάσεως πόλεμος ἐγένετο Κουρῆσι καὶ Καλυδωνίοις· καὶ ὁ Μελέαγρος εἰς τὸν πόλεμον οὐκ ἐξῄει, μεμφόμενος ὅτι αὐτῷ κατηράσατο ἡ μήτηρ διὰ τὸν τῶν ἀδελφῶν θάνατον. ἤδη δὲ τῶν Κουρήτων μελλόντων αἱρεῖν τὴν πόλιν ἔπεισε τὸν Μελέαγρον ἡ γυνὴ Κλεοπάτρα τοῖς Καλυδωνίοις ἀμῦναι, ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν τῶν Κουρήτων καὶ αὐτὸς ἀποθνήσκει, τῆς μητρὸς ἐμπρησάσης τὸν παρὰ τῶν μοιρῶν αὐτῇ δοθέντα δαλόν· ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔσεσθαι χρόνον ἐφ' ὅσον ἂν ὁ δᾶλος διαμένοι. ἀπέθανον δὲ καὶ οἱ ἄλλοι παῖδες Οἰνέως μαχόμενοι, καὶ πένθος ἐπὶ Μελεάγρῳ μέγιστον ἐγένετο παρὰ Καλυδωνίοις. αἱ δὲ ἀδελφαὶ αὐτοῦ παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως, ἄχρις αὐτὰς Ἄρτεμις ἁψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον, ὀνομάσασα Μελεαγρίδας. αἱ δὲ ἄχρι νῦν ἔτι καθ' ὥραν ἔτους λέγονται πένθος ἐπὶ Μελεάγρῳ φέρειν. δύο δὲ τῶν Ἀλθαίας θυγατέρων, Γόργης καὶ Δηιάνειρας, φασὶν κατ' εὐμένειαν Διονύσου μὴ μεταβαλεῖν, ὅτι τὴν χάριν αὐτῷ Ἄρτεμις διδοῖ.

III. Ἱέραξ. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίᾳ.) Ἱέραξ ἐγένετο ἐν τῇ Μαριανδυνῶν γῇ δίκαιος ἀνὴρ ἐπιφανής. οὗτος ἱερὰ Δήμητρος ἱδρύσατο καὶ πλείστους αὐτῆς καρποὺς ἔλαβεν. ἐπεὶ δὲ Τεῦκροι κατὰ χρόνον τὸν ἱκνούμενον οὐκ ἀπεδίδοσαν ἱερὰ Ποσειδῶνι, ἀλλὰ ὑπ' ὀλιγωρίας ἐξέλειπον, χαλεπήνας Ποσειδῶν τοὺς μὲν ἐκείνης καρποὺς ἔφθειρε, κῆτος δ' ἐξαίσιον ἐκ τῆς θαλάσσης ἐφώρμησεν αὐτοῖς. οὐ δυνάμενοι δὲ πρὸς τὸ κῆτος καὶ τὸν λιμὸν ἀντέχειν ἀπέστελλον οἱ Τεῦκροι πρὸς τὸν Ἱέρακα καὶ ἐδέοντο πρὸς τὸν λιμὸν ἐπαμῦναι, κἀκεῖνος ἔπεμπε καὶ πυρὸν καὶ ἄλλην τροφήν. Ποσειδῶν δὲ μηνίσας, ἐπεὶ κατέλυεν αὐτοῦ τὰς τιμάς, ἐποίησεν ὄρνιθα, ὃς ὀνομάζεται νῦν ἱέραξ, καὶ τὸ ἦθος ἤλλαξεν ἀφανίσας·

αγρος videtur excidisse δὲ. ‖ 3. αὐτοῦ Heynius obss. ad Apoll. p. 51. ‖ 8. αὐτῇ Fontelnius. ‖ 10. διαμένοι P. ‖ 17. φασὶν P, erat φαοὶ. ‖ 18. χάριν ταύτην αὐτῷ Munckerus. ‖ 24. ἐκείνης] ἐκ γῆς Verheyk, ἐκείνῃ Schaef. ad L. Bos. ell. p. 520. ‖ 28. ἔπεμπέ τε καὶ vulg., ἔ. δὲ καὶ Munckerus. ‖ 30. ἀφανίσας· πολλοὺς γὰρ ἀνθρώπους ἀποθανεῖν κωλύσαντα πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι, καὶ μέγιστα ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ὑπὸ τῶν ὄρνεων μισηθῆναι Fontelnius. ‖

μέγιστα γὰρ ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ἐποίησεν ὑπὸ τῶν ὀρνέων μισηθῆναι, καὶ πολλοὺς ἀνθρώπους ἀποθανεῖν πολύσωτα πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι.

IV. Κραγαλεύς. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α' καὶ Ἀθηνάδας Ἀμβρακικοῖς.) Κραγαλεὺς ὁ Δρύοπος ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους, ἃ μυθολογοῦσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν· ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γηραιὸς ἤδη καὶ τοῖς ἐγχωρίοις ἐνομίζετο δίκαιος εἶναι καὶ φρόνιμος· καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ· καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ, βασιλεύσας μὲν Δρυόπων καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας Εὔρυτον καὶ Ἀμβρακίαν, ἀφ' ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χαρίσασθαι τοῦτο τῇ πόλει· Σισυφίδας μὲν γὰρ αὐτοῦ προστάξαντος ἀφικομένους κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας, Γόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου, Φαλαίκῳ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπανεστῆσαι, καὶ παρὰ τοῦτο [πολλοὺς] ἀπολέσθαι τὸν Φάλαικον, τὸ δὲ ὅλον αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας καὶ στάσιν, ἐμποιῆσαι ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην, ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδεσθαι. Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε τὸ πρὸς τὸν Ἀπόλλωνα,

8. γηραιὸς P, vulg. γεραιός. ‖ 15. legebatur ἐφ', et sic P, sed puncto addito, ut ἀφ' maluerit librarius. ‖ 16. τοῦτο] ταύτῃ Munckerus. ‖ 19. Τόργον vulg.: Γόργος etiam ap. Scyma. v. 452, sed Τόλγος ap. Strab. 7. p. 325, rursus Γάργασος ap. eund. 10. p. 452. cf. Wyttenb. ad Plut. Mor. 2. p. 979. Boeckh. corp. inscr. gr. 1. p. 58. O. Mueller. Dor. 1. p. 117, 5. ‖ ἀδελφὸν] immo υἱὸν Boeckhius l. l. ‖ 23. παρὰ τοῦτο πολλοὺς ἀπολέσθαι τῶν περὶ τὸν Φάλαικον Schneiderus in bibl. phil. Gott. 3, 5. p. 416, παρὰ τοῦτο τοὺς πολλοὺς ἀπολέσαι τὸν Φ. aut ἂν ἀπολέσθαι Bastius: πολλοὺς susp. Kochio. ‖ 24. αὐτὸν Berkelius. ‖ παῦσαι Xylander, ποιῆσαι vulg., κοιμῆσαι Jacobs. in ephem. Hal. 1806. nr. 281. ‖

παρ' ἑκόντος δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην· ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεως, οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν αὐτὴ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος, ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν 5 μητέρα καὶ προσπεσοῦσαν ἀναρρῆξαι τὰ στέρνα τοῦ Φαλαίκου, τοὺς δ' Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι, καὶ ποιησαμένους ἀγροτέρης εἴκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα. ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν 10 ἑαυτοῦ· πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας καὶ Θεσπρώτους καὶ σύμπαντας Ἠπειρώτας ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ἀφελέσθαι, χρόνῳ δ' ὕστερον λαὸν ἔποικον ἐλθεῖν ἐκ Κορίνθου καὶ τοὺς πρόσθεν ἀναστήσαντας Ἀμβρακίαν συνοικίσαι. Κορίνθιοι 15 δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους. ἃ διακούσας ὁ Κραγαλεὺς ἔγνω τὴν πόλιν Ἡρακλέους εἶναι. Ἀπόλλων δὲ κατ' ὀργὴν ἀψάμενος αὐτοῦ τῇ χειρὶ πέτρον ἐποίησεν ἵνα περ εἱστήκει. Ἀμβρακιῶται δὲ Ἀπόλλωνι μὲν σωτῆρι θύουσι, τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παίδων νενομίκασι, 20 Κραγαλεῖ δὲ μετὰ τὴν ἑορτὴν Ἡρακλέους ἔντομα θύουσιν ἄρχι νῦν.

V. *Αἰγυπιός.* (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α'.) Ἀνθέως τοῦ Νομίονος ἐγένετο παῖς Αἰγυπιός· ᾤκει δὲ παρὰ τὴν ἰσχατιὰν τῆς Θεσσαλίας· καὶ αὐτὸν ἐφίλησαν θεοὶ ὁσιότητος ἕνεκα, καὶ ἄνθρωποι ὅτι ἦν μεγαλόφρων καὶ δίκαιος. 25 οὗτος ἰδὼν Τιμάνδρην ἠράσθη, μαθὼν δ' ὅτι ἀνδρὸς ἦν χήρα, πείσας χρήμασιν ἐμίγνυτο φοιτῶν εἰς τὰ ἐκείνης οἰκεῖα.

2. Φάλαικος] Φαῦλος ex Aelian. hist. an. 12, 40 et Ovid. Ibid. 504 Burmannus et Jacobs. ‖ 11. αὐτο (sic) P. ‖ Κελτοὺς] Κελαιθους Berkelius, Σελλοὺς Hemsterhusius. ‖ 13. ὅτι Gronov. ad Arrian. exp. Alex. 2, 16. ‖ συνῆλθον τὸ ἀφελέσθαι Berkel., συνῆλθον ἀφ. Palmerius ant. gr. 2, 7, συνελθόντες ἦσαν Dorvill. ad Char. p. 347, συνελθόντες ἤθελον ἀφ. Hemsterhusius, συνέλθον θέλοντες ἀφ. Bernard. ad Synes. d. febr. p. 367. ‖ 16. διακούσας P: erat δὴ ἀκούσας ex corr. Schaeferi ad Dion. d. comp. verb. p. 134. ‖ 24. legebatur Ἀνθίος, corr. v. d. nescio quis ad mg. exemplaris quod est in reg. bibl. Paris. ‖ 28. οἰκία Berkel. et Galeus. ‖

μέγιστα γὰρ ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ἐποίησεν ὑπὸ τῶν ὀρνέων μισηθῆναι, καὶ πολλοὺς ἀνθρώπους ἀποθανεῖν κωλύσαντα πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι.

IV. Κραγαλεύς. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α' καὶ Ἀθανάδας Ἀμβρακικοῖς.) Κραγαλεὺς ὁ Δρύοπος ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους, ἃ μυθολογοῦσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν. ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γηραιὸς ἤδη καὶ τοῖς ἐγχωρίοις ἐνομίζετο δίκαιος εἶναι καὶ φρόνιμος. καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ. καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ, βασιλεύσας μὲν Δρυόπων καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας Εὔρυτον καὶ Ἀμβρακίαν, ἀφ' ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χαρίσασθαι τοῦτο τῇ πόλει· Σισυφίδας μὲν γὰρ αὐτοῦ προστάξαντος ἀφικομένους κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας, Γόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου, Φαλαίκῳ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπαναστῆσαι, καὶ παρὰ τοῦτο [πολλοὺς] ἀπολέσθαι τὸν Φάλαικον, τὸ δὲ ὅλον αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας καὶ στάσιν, ἐμποιῆσαι ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην, ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδεσθαι. Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε τὸ πρὸς τὸν Ἀπόλλωνα,

8. γηραιὸς P, vulg. γεραιός. ‖ 15. legebatur ἐφ', et sic P, sed puncto addito, ut ἀφ' maluerit librarius. ‖ 16. τοῦτο] ταύτῃ Munckerus. ‖ 19. Τόργον vulg.: Γόργος etiam ap. Scyman. v. 452, sed Τόλγος ap. Strab. 7. p. 325, rursus Γάργασος ap. eund. 10. p. 452. cf. Wyttenb. ad Plut. Mor. 2. p. 979. Boeckh. corp. inscr. gr. 1. p. 58. O. Mueller. Dor. 1. p. 117, 5. ‖ ἀδελφὸν] immo υἱὸν Boeckhius l. l. ‖ 23. παρὰ τοῦτο πολλοὺς ἀπολέσθαι τῶν περὶ τὸν Φάλαικον Schneiderus in bibl. phil. Gott. 3, 5. p. 416, παρὰ τοῦτο τοὺς πολλοὺς ἀπολέσαι τὸν Φ. aut ἂν ἀπολέσθαι Bastius: πολλοὺς susp. Kochio. ‖ 24. αὐτὸν Berkelius. ‖ παῦσαι Xylander, ποιῆσαι vulg., κοιμῆσαι Jacobs. in ephem. Hal. 1806. nr. 281. ‖

παρ' ἑκόντος δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην· ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεώς, οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν αὐτῇ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος, ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν 5 μητέρα καὶ προσπεσοῦσαν ἀναρρῆξαι τὰ στέρνα τοῦ Φαλαίκου, τοὺς δ' Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι, καὶ ποιησαμένους ἀγροτέρης εἰκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα. ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν 10 ἑαυτοῦ· πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας καὶ Θεσπρώτους καὶ σύμπαντας Ἠπειρώτας ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ἀφελέσθαι, χρόνῳ δ' ὕστερον λαὸν ἔποικον ἐλθεῖν ἐκ Κορίνθου καὶ τοὺς πρόσθεν ἀναστήσαντας Ἀμβρακίαν συνοικίσαι. Κορίνθιοι 15 δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους. ἃ διακούσας ὁ Κραγαλεὺς ἔγνω τὴν πόλιν Ἡρακλέους εἶναι. Ἀπόλλων δὲ κατ' ὀργὴν ἀψάμενος αὐτοῦ τῇ χειρὶ πέτρον ἐποίησεν ἵναπερ εἱστήκει. Ἀμβρακιῶται δὲ Ἀπόλλωνι μὲν σωτῆρι θύουσι, τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παίδων νενομίκασι, 20 Κραγαλεῖ δὲ μετὰ τὴν ἑορτὴν Ἡρακλέους ἔντομα θύουσιν ἄρχι νῦν.

V. Αἰγυπιός. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α'.) Ἀνθέως τοῦ Νομίονος ἐγένετο παῖς Αἰγυπιός· ᾤκει δὲ παρὰ τὴν ἰσχατιὰν τῆς Θεσσαλίας· καὶ αὐτὸν ἐφίλησαν θεοὶ ὁσιότητος ἕνεκα, καὶ ἄνθρωποι ὅτι ἦν μεγαλόφρων καὶ δίκαιος. οὗτος ἰδὼν Τιμάνδρην ἠράσθη, μαθὼν δ' ὅτι ἀνδρὸς ἦν χήρα, πείσας χρήμασιν ἐμίγνυτο φοιτῶν εἰς τὰ ἐκείνης οἰκεῖα.

2. Φάλαικος] Φαῦλος ex Aelian. hist. an. 12, 40 et Ovid. Ibid. 504 Burmannus et Jacobs. ‖ 11. αὐτο (sic) P. ‖ Κελτοὺς] Κελαίθους Berkelius, Σελλοὺς Hemsterhusius. ‖ 13. ὅτι Gronov. ad Arrian. exp. Alex. 2, 16. ‖ συνῆλθον τὸ ἀφελέσθαι Berkel., συνῆλθον ἀφ. Palmerius ant. gr. 2, 7, συνελθόντες ἦσαν Dorvill. ad Char. p. 347, συνελθόντες ἤθελον ἀφ. Hemsterhusius, συνέλθον θέλοντες ἀφ. Bernard. ad Synes. d. febr. p. 267. ‖ 16. διακούσας P: erat δὴ ἀκούσας ex corr. Schaeferi ad Dion. d. comp. verb. p. 134. ‖ 24. legebatur Ἀνθίος, corr. v. d. nescio quis ad mg. exemplaris quod est in reg. bibl. Paris. ‖ 28. οἰκία Berkel. et Galeus. ‖

πρὸς δὲ τοῦτο Νεόφρων ὁ παῖς τῆς Τιμάνδρης χαλεπῶς εἶχε (τῷ Αἰγυπιῷ δ' ἦν ἡλικιώτης) κἀκείνῳ δόλον ἐβούλευε· δοὺς πλεῖστα δῶρα καὶ ἀναπείσας Βουλίδα τὴν Αἰγυπιοῦ μητέρα καὶ ἀγαγὼν εἰς τὰ οἰκεῖα εὐνάζεται σὺν αὐτῇ· προμαθὼν
5 δὲ τὴν ὥραν, ἣν εἰώθει παρὰ Τιμάνδρην ὁ Αἰγυπιὸς φοιτᾶν, τὴν μὲν αὐτοῦ μητέρα καθ' ἥντινα πρόφασιν ἐκ τῆς οἰκίας μετέστησεν, ἀντὶ δ' ἐκείνης τὴν Αἰγυπιοῦ μητέρα παρήγαγεν εἰς τὸν οἶκον ὡς ἐπανήξων πρὸς αὐτήν, καὶ ἀμφοτέρους ἐξηπάτησεν. Αἰγυπιὸς δ' οὐδὲν ἐπιλεξάμενος ὧν εἰς αὐτὸν ἐμη-
10 χανᾶτο Νεόφρων μίγνυται τῇ μητρί, δοκῶν εἶναι Τιμάνδρην· καὶ ἐπεὶ αὐτὸν ὕπνος ἔλαβεν, ἡ Βουλὶς ἔγνω τὸν παῖδα τὸν ἑαυτῆς, καὶ ἀναλαβοῦσα ξίφος ἐβούλευεν ἐκείνου μὲν τὰς ὄψεις ἀφελέσθαι, ἑαυτὴν δὲ κτεῖναι· βουλῇ δ' Ἀπόλλωνος ἀνίησι τὸν Αἰγυπιὸν ὁ ὕπνος· ὁ δὲ γνοὺς οἷον ἔργον ἐμηχα-
15 νήσατο Νεόφρων ἐπ' αὐτῷ καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψας ηὔξατο σὺν ἑαυτῷ πάντα ἀφανισθῆναι. Ζεὺς δὲ μετέβαλεν εἰς ὄρνιθας· καὶ ἐγένοντο Αἰγυπιὸς μὲν καὶ Νεόφρων αἰγυπιοὶ ὁμώνυμοι, χρόαν δὲ καὶ μέγεθος οὐχ ὅμοιοι, ἀλλὰ ἐλάττων ὄρνις αἰγυπιὸς ἐγένετο Νεόφρων, ἡ δὲ Βουλὶς ἐγένετο
20 πώυγξ, καὶ αὐτῇ τροφὴν ἔδωκεν ὁ Ζεὺς μηδὲν ἐκ γῆς φυόμενον, ἀλλὰ ἐσθίειν ὀφθαλμοὺς ἰχθύος ἢ ὄρνιθος ἢ ὄφεως, ὅτι ἔμελλεν Αἰγυπιοῦ τοῦ παιδὸς ἀφελέσθαι τὰς ὄψεις· Τιμάνδρην δὲ ἐποίησεν αἰγιθαλλόν· καὶ ἐφάνησαν ἐπὶ ταὐτὸν οὐδέποθ' οἱ ὄρνιθες οὗτοι.

25 VI. Περίφας. Περίφας ἐγένετο ἐν τῇ Ἀττικῇ αὐτόχθων πρόσθεν ἢ φανῆναι Κέκροπα τὸν γῆς. οὗτος ἐβασίλευσε τῶν ἀρχαίων ἀνθρώπων καὶ ἐγένετο δίκαιος καὶ πλούσιος καὶ ὅσιος καὶ ἱερὰ πλεῖστα ἐποίησεν Ἀπόλλωνι, δίκας τε πλείστας ἐδίκασε, καὶ αὐτὸν ἐμέμψατ' ἄνθρωπος οὐδείς,
30 ἀλλὰ ἑκόντων ᾑρεῖτο πάντων καὶ πρὸς ὑπερβολὴν αὐτοῦ τῶν ἔργων μετέβαλον οἱ ἄνθρωποι τὰς τιμὰς τοῦ Διὸς καὶ ἔγνωσαν αὐτὰς εἶναι Περίφαντος, καὶ ἱερὰ καὶ ναοὺς ἐποίησαν

2. καὶ δοὺς adscripsisse aliquem ad mg. ex. Xylandri refert Verheykius. ‖ 5. ὁ Αἰγυπιὸς] post haec verba P duobus foliis hodie caret. ‖ 6. αὐτοῦ Verheyk. ‖ 19. Αἰγυπιῷ adscripsit aliquis ex. Xyl., Αἰγυπιοῦ Hemsterhus. ‖ 23. αἰγιθαλόν vel αἰγίθαλον Munckerus. ‖ 30. ἡγεῖτο Dorvill. ad Char. p. 570. ‖

αὐτοῦ καὶ Δία Σωτῆρα προσηγόρευσαν καὶ Ἐπόψιον καὶ Μειλίχιον. Ζεὺς δὲ νεμεσήσας ἐβούλετο μὲν σύμπασαν αὐτοῦ τὴν οἰκίαν κεραυνῷ συμφλέξαι, δεηθέντος δ' Ἀπόλλωνος μὴ αὐτὸν ἀπολέσθαι πανώλεθρον, ἐπεὶ περισσῶς αὐτὸν ἐτίμα, τοῦτο μὲν Ἀπόλλωνι δίδωσι, Ζεὺς δ' ἐλθὼν 5 εἰς τὰ οἰκία τοῦ Περίφαντος καὶ καταλαβὼν ὁμιλοῦντα τῇ γυναικί, πιέσας ἀμφοτέραις ταῖς χερσὶν ἐποίησεν ὄρνιθα αἰετόν, τὴν δὲ γυναῖκα αὐτοῦ δεηθεῖσαν καὶ αὐτὴν ὄρνιθα ποιῆσαι σύννομον τῷ Περίφαντι ἐποίησε φήνην, καὶ τῷ μὲν Περίφαντι δωρεῖται τιμὰς ἀντὶ τῆς ἐν ἀνθρώποις ὁσιότητος· 10 ποιεῖ γὰρ αὐτὸν ἐν πᾶσι τοῖς ὄρνισι βασιλέα καὶ διδοῖ φυλάσσειν τὸ ἱερὸν σκῆπτρον καὶ προσιέναι πρὸς τὸν ἑαυτοῦ θρόνον· τῇ γυναικὶ δὲ τοῦ Περίφαντος, ἣν ἐποίησε φήνην, διδοῖ πρὸς ἅπασαν πρᾶξιν ἀνθρώποις αἰσίαν ἐπιφαίνεσθαι.

VII. Ἄνθος. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α'.) Αὐτο- 15 νόου τοῦ Μελανέως καὶ Ἱπποδαμείας ἐγένοντο υἱοὶ μὲν Ἐρωδιὸς καὶ Ἄνθος, Σχοινεύς, Ἄκανθος, θυγάτηρ δὲ Ἀκανθίς, ἣ κάλλιστον εἶδος ἔδωκαν οἱ θεοί. τῷ δὲ Αὐτονόῳ τούτῳ ἐγένοντο ἵππων ἀγέλαι πλεῖσται, καὶ ἔνεμον αὐτὰς Ἱπποδάμεια τούτου γυνὴ καὶ οἱ παῖδες αὐτῶν. ἐπεὶ δὲ Αὐτονόῳ 20 γῆν ἔχοντι πλείστην οὐδεὶς καρπὸς ἐφαίνετο κατ' ὀλιγωρίαν ἔργων, ἀλλ' ἔφερεν αὐτῷ σχοίνους ὁ χῶρος καὶ ἀκάνθας, ἀπ' αὐτῶν ὠνόμασε τοὺς παῖδας Ἄκανθον καὶ Σχοινέα καὶ Ἀκανθίδα καὶ τὸν πρεσβύτατον Ἐρωδιόν, ἐπεὶ αὐτὸν ἠρώησεν ὁ χῶρος. οὗτος ὁ Ἐρωδιὸς πλεῖστον ἐφίλησε τὰς ἀγέ- 25 λας τῶν ἵππων καὶ ἔτρεφεν αὐτὰς ἐν τῷ λειμῶνι. ἐπεὶ δὲ Ἄνθος τοῦ Αὐτονόου παῖς ἐξήλασε τὰς ἵππους ἐκ τοῦ λειμῶνος, αὗται εἰργόμεναι τροφῆς ἐξεθύμηναν καὶ τὸν Ἄνθον ἐπιστᾶσαι κατεβίβρωσκον πλεῖστα ἐπιβοώμενον ἀμῦναι τοὺς θεούς. ὁ μὲν οὖν πατὴρ ὑπὸ ἄχους ἐκπλαγεὶς ὤκνησεν ἀπε- 30 λάσαι τὰς ἵππους καὶ ὁ θεράπων τοῦ παιδός, ἡ δὲ μήτηρ

4. ἐπείπερ ἴσος vulg., ἐπείπερ ἴσως Muncker., ἐπείπερ ὁσίως quidam, ἐπεὶ Περίφας Pierson veris. p. 7, ἐπεὶ περισσῶς Jacobs spec. emend. in auctt. vett. p. 108 et Bastius. ‖ 7. ἀμφοτέρους Verheyk. ‖ ὄρνιθα] ἄνδρα Fonteinius. ‖ 12. τὸν ἱ. σκηπτὸν Xylander. ‖ 17. καὶ suspectum. ‖ 26. ἔτρεφον Xyl. ‖ λειμῶνι Xylander reposuit pro χειμῶνι. ‖ 30. ὁ μὲν Ἄνθου πατὴρ Toussaint. ‖

διεμάχετο πρὸς τὰς ἵππους, ἀλλὰ διὰ τὴν τοῦ σώματος ἀσθένειαν οὐδὲν ἐδυνήθη πρὸς τὸν ὄλεθρον ἐπαμῦναι. κἀκεῖνοι μὲν οὕτω τεθνεῶτα τὸν Ἄνθον ἔκλαιον, Ζεὺς δὲ καὶ Ἀπόλλων οἰκτείραντες πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας, Αὐτόνοον μὲν εἰς τὸν ὄκνον, ὅτι αὐτοῦ ὁ πατὴρ ὤκνησεν ἀπελάσαι τὰς ἵππους, τὴν δὲ μητέρα κορυδόν, ὅτι ἐκορύσσετο πρὸς τὰς ἵππους μαχομένη περὶ τοῦ παιδός· αὐτὸν δὲ τὸν Ἄνθον καὶ τὸν Ἐρωδιὸν καὶ Σχοινέα καὶ Ἄκανθον καὶ Ἀκανθυλλίδα γενομένους ὄρνιθας τῷ αὐτῷ ἐποίησαν ὀνόματι καλεῖσθαι καθὰ καὶ πρὶν ἢ μεταβαλεῖν αὐτοὺς ὠνομάζοντο, τὸν δὲ θεράποντα τὸν ὀπηδὸν τοῦ Ἄνθου κατὰ ταὐτὰ τῷ ἀδελφῷ τοῦ παιδὸς ἐποίησαν ἐρωδιόν, ἀλλ' οὐχ ὅμοιον· ἥσσων γάρ ἐστιν ἱκανῶς τοῦ πελλοῦ, καὶ οὐ γίνεται σύνεδρος οὗτος ὁ ἐρωδιὸς ἄνθῳ, καθάπερ οὐδ' ὁ ἄνθος τῷ ἐφίππῳ, ὅτι μέγιστα κακὰ ἔπαθεν ὁ Ἄνθος ὑπὸ τῶν ἵππων· καὶ ἔτι νῦν ὅταν ἀκούσῃ φωνοῦντος ἵππου, φεύγει μιμούμενος ἅμα τὴν φωνήν.

VIII. *Λαμία ἢ Σύβαρις.* (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Παρὰ τὰ σφυρὰ τοῦ Παρνασσοῦ πρὸς νότον ὄρος ἐστὶν ὃ καλεῖται Κιρφὶς παρὰ τὴν Κρίσαν, καὶ ἐν αὐτῷ ἐστιν ἔτι νῦν σπήλαιον ὑπερμέγεθες, ἐν ᾧ θηρίον ᾤκει μέγα καὶ ὑπέρφυές, καὶ αὐτὸ Λαμίαν, οἱ δὲ Σύβαριν ὠνόμαζον. τοῦτο καθ' ἡμέραν ἑκάστην τὸ θηρίον ἐπιφοιτῶν ἀνήρπαζεν ἐκ τῶν ἀγρῶν τὰ θρέμματα καὶ τοὺς ἀνθρώπους. ἤδη δὲ τῶν Δελφῶν βουλευομένων ὑπὲρ ἀναστάσεως καὶ χρηστηριαζομένων εἰς ἥντινα παρέσονται χώραν, ὁ θεὸς ἀπόλυσιν ἐσήμανε τῆς συμφορᾶς, εἰ μένοντες ἐθέλοιεν ἐκθεῖναι παρὰ τῷ σπηλαίῳ ἕνα κοῦρον τῶν πολιτῶν. κἀκεῖνοι καθάπερ ὁ θεὸς εἶπεν ἐποίουν. κληρουμένων δ' ἔλαχεν Ἀλκυονεὺς ὁ Διόμου καὶ Μεγανείρης παῖς, μονογενὴς ὢν τῷ πατρὶ καὶ καλὸς καὶ κατὰ τὴν ὄψιν καὶ τὸ τῆς ψυχῆς ἦθος. καὶ οἱ μὲν ἱερεῖς τὸν Ἀλκυονέα στέψαντες ἀπήγαγον εἰς τὸ τῆς Συβάριδος

3. οὔπω vulg., sed iam corr. Xylander. ‖ 5. εἰς τ. ὄ. ἤλλαξαν scribendum aut εἰς delendum censuit Verheyk, Λ. μὲν εἰργάσαντο ὄκνον Bastius. ‖ ὅτι Ἄνθου ὁ π. Kuhn. ad Paus. 10, 28, ὅτι Ἄνθου ὢν π. Jacobs ad Philostr. imagg. p. 537. ‖ ἀπέλασε Xylander. ‖ 14. ἵππῳ Xylander allique. ‖ 19. Κίρραν hic et infra Abresch, Κρίσσαν Verheyk allique. ‖ 22. scribebatur ἀνήρπασεν, ex ed. Xylandri revocavi ἀνήρπαζεν. ‖

σπήλαιον, Εὐρύβατος δὲ κατὰ δαίμονα ἐκ τῆς Κουρήτιδος ἀπιὼν ὁ Εὐφήμου παῖς, γένος μὲν Ἀξίου τοῦ ποταμοῦ, νέος δ' ὢν καὶ γενναῖος, ἐνέτυχεν ἀγομένῳ τῷ παιδί, πληγεὶς ἔρωτι καὶ πυθόμενος καθ' ἥντινα πρόφασιν ἔρχονται, δεινὸν ἐποιήσατο μὴ οὐκ ἀμῦναι πρὸς δύναμιν, ἀλλὰ περιιδεῖν οἰκτρῶς ἀναιρεθέντα τὸν παῖδα. περισπάσας οὖν ἀπὸ τοῦ Ἀλκυονέως τὰ στέμματα καὶ αὐτὸς ἐπὶ τὴν κεφαλὴν ἐπιθέμενος ἐκέλευεν ἀπάγειν ἑαυτὸν ἀντὶ τοῦ παιδός. ἐπεὶ δὲ αὐτὸν οἱ ἱερεῖς ἀπήγαγον, εἰσδραμὼν καὶ τὴν Σύβαριν ἐκ τῆς κοίτης συναρπάσας παρήνεγκεν εἰς ἐμφανὲς καὶ κατὰ τῶν πετρῶν ἔριψεν· ἡ δὲ καταφερομένη προσέκρουσε τὴν κεφαλὴν παρὰ τὰ σφυρὰ τῆς Κρίσης. καὶ αὐτὴ μὲν ἐκ τοῦ τραύματος ἀφανὴς ἐγένετο, ἐκ δὲ τῆς πέτρας ἐκείνης ἀνεφάνη πηγή, καὶ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι Σύβαριν· ἐκ δὲ ταύτης καὶ Λοκροὶ πόλιν ἐν Ἰταλίᾳ Σύβαριν ἔκτισαν.

IX. Ἡμαθίδες. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Ζεὺς Μνημοσύνῃ μιγεὶς ἐν Πιερίᾳ Μούσας ἐγέννησεν. ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευε Πίερος αὐτόχθων Ἡμαθίας, καὶ αὐτῷ θυγατέρες ἐγένοντο ἐννέα, καὶ χορὸν ἐναντίον ἔστησαν αὗται Μούσαις, καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ Ἑλικῶνι. ὅτι μὲν οὖν αἱ θυγατέρες ᾖδοιεν τοῦ Πιέρου, ἐπήχλυε πάντα καὶ οὐδὲν ὑπήκουε πρὸς τὴν χορείαν, ὑπὸ δὲ Μουσῶν ἵστατο μὲν οὐρανὸς καὶ ἄστρα καὶ θάλασσα καὶ ποταμοί, ὁ δ' Ἑλικὼν ηὔξετο κηλούμενος ὑφ' ἡδονῆς εἰς τὸν οὐρανόν, ἄχρις αὐτὸν βουλῇ Ποσειδῶνος ἔπαυσεν ὁ Πήγασος τῇ ὁπλῇ τὴν κορυφὴν πατάξας· ἐπεὶ δὲ νεῖκος ᾔραντο θνηταὶ θεαῖς, μετέβαλον αὐτὰς αἱ Μοῦσαι καὶ ἐποίησαν ὄρνιθας ἐννέα, καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώποις κολυμβάς, ἴυγξ, κεγχρίς, κίσσα, χλωρίς, ἀκαλανθίς, νῆσσα, πιπώ, δρακοντίς.

X. Μινυάδες. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ' καὶ Κόριννα.) Μινύου τοῦ Ὀρχομενοῦ ἐγένοντο θυγατέρες Λευκ-

2. ἔχων ἀπὸ Ἀξίου Berkel. ‖ 3. rursus excidisse videtur δ' post πληγεὶς. ‖ 12. Κίρρης Abresch., Κίρφεως Berkel. ‖ 15. ἐκάλεσαν Berkel.: a verbis Ἰταλίᾳ Σ. ἔ. denuo incipit. P. ‖ 18. ἐβασίλευε P, vulg. ἐβασίλευσε. ‖ Πιέριος Galeus. ‖ 21. Πιέρου Berk. et Munck., Πιερίου Galeus, legebatur Πίερος. ‖ 25. ἔπαυσεν P, vulg., ἔπαυ ν. ‖ 28. κολυμβίς supra in indice, et sic Aristot. h. an. 1. 1, 6. ‖

ἵππη, Ἀρσίππη, Ἀλκαθόη· καὶ ἀπέβησαν ἐκτόπως φιλεργοί, πλεῖστα δὲ καὶ τὰς ἄλλας γυναῖκας ἐμέμψαντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν ἐν τοῖς ὄρεσιν ἐβάκχευον, ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρῄνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς ἢ μυστήρια τοῦ θεοῦ. αἱ δὲ οὐ προσεῖχον. πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος ἀντὶ κόρης ἐγένετο ταῦρος καὶ λέων καὶ πάρδαλις, καὶ ἐκ τῶν κελεόντων ἐρρύη νέκταρ αὐτῷ καὶ γάλα. πρὸς δὲ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα. καὶ μετ' οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ' ὁ κλῆρος ἐξέπεσε Λευκίππης, ηὔξατο θῦμα τῷ θεῷ δώσειν, καὶ Ἵππασον τὸν ἑαυτῆς παῖδα διέσπασε σὺν ταῖς ἀδελφαῖς. καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρὸς ἐβάκχευον ἐν τοῖς ὄρεσιν καὶ ἐνέμοντο κισσὸν καὶ μίλακα καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἁψάμενος τῇ ῥάβδῳ μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν ἡ μὲν ἐγένετο νυκτερίς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύζα· ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου.

XI. Ἀηδών. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίᾳ.) Πανδάρεως ᾤκει τῆς γῆς τῆς Ἐφεσίας ἵν' ἐστὶ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν· ᾧ διδοῖ Δημήτηρ δῶρον μηδέποτε βαρυνθῆναι τὴν γαστέρα ὑπὸ σιτίων, ὁπόσον ἂν πλῆθος εἰσενέγκηται. ἐγένετο δὲ τῷ Πανδάρεῳ θυγάτηρ Ἀηδών· ταύτην Πολύτεχνος ὁ τέκτων ἔγημεν, ὃς ᾤκει ἐν Κολοφῶνι τῆς Λυδίας, καὶ πλεῖστον χρόνον ἐτέροντο συνοικοῦντες ἀλλήλοις. ἐγένετο δ' αὐτοῖς παῖς μονογενὴς Ἴτυς. ἄχρι μὲν οὖν θεοὺς ἐτίμων εὐδαίμονες ἦσαν· ἐπεὶ δὲ λόγον ἄχρειον ἀπέρριψαν, ὅτι πλέον ἀλλήλους Ἥρας καὶ Διὸς φιλοῦσιν, καὶ Ἥρα μεμψαμένη τὸν λόγον Ἔριν αὐτοῖς ἔπεμψεν, ἡ δὲ νεῖκος ἐνέβαλεν εἰς τὰ ἔργα. καὶ Πολυτέχνῳ μὲν ὀλίγον ἦν ἔτι δίφρον ἁρμάτιον ἐκποιῆσαι, Ἀηδόνι δὲ τὸν ἱστὸν ἐξυφῆναι, καὶ συντίθενται

1. Λευκονόη ex Ovid. met. 4, 1 Heinsius. ‖ Ἀρσινόη Plut. qu. gr. 38, Ἀριστίππη Ael. v. h. 3, 42. ‖ Ἀλκιθόη Ael. ‖ ἀπέβησαν P: ἀπέσβεσαν vel ἤφευσαν Berkel., vulg. ἀπέβυσαν. ‖ 7. κελεόντων] ἠλακαθῶν Muncker., sed v. Harp. h. v. ‖ αὐτὸ vel αὐταῖς Bastius. ‖ 15. ἡ μὲν P, μὲν ἡ μὲν vulg. ‖ βύας Berkel. et ex Arist. hist. an. 8, 3 Verheyk. ‖ 16. ἔφυλον Farnabius. ‖ αὐγὴν P: αὐτὴν Xyl., αὐλὴν Gal., ἀκτῖνα Farn. ‖ 17. πανδάρεος supra in indice, et sic hoc quoque capite P, sed hic illic corr. ‖ 21. τῷ P, om. vulg. ‖ 25. ἔπειτα Unger. Theb. parad. 1. p. 438: sic scribendum, aut 26. καὶ delendum vel in ἡ mutandum. ‖

εἰς ἀλλήλους ὅπως, ᾧ ἂν τάχιον ἀνυσθῇ τὸ ἔργον, τούτῳ θεράπαινα παρὰ τοῦ ἑτέρου γένηται. καὶ ἐπειδὴ θᾶσσον ἡ Ἀηδὼν τὸν ἱστὸν ἐξύφαινε (Ἥρα γὰρ αὐτῇ συνελάμβανεν), ὁ Πολύτεχνος ἀχθόμενος τῇ νίκῃ τῆς Ἀηδόνος ἀφίκετο πρὸς τὸν Πανδάρεων καὶ ὑπὸ τῆς Ἀηδόνος προσεποιήσατο πεμ- 5 φθῆναι, ὅπως αὐτῇ Χελιδόνα τὴν ἀδελφὴν ἀπαγάγῃ, καὶ ὁ Πανδάρεως οὐδὲν ὑπονοήσας πονηρὸν δίδωσιν ἀπάγειν. ὁ δὲ Πολύτεχνος παραλαβὼν τὴν κόρην ᾔσχυνεν ἐν τῇ λόχμῃ καὶ ἄλλοις ἠμφίεσεν αὐτὴν ἐσθήμασι κἀκ τῆς κεφαλῆς ἀπέκειρε τὴν κόμην καὶ ἠπείλησε θάνατον, εἰ ἐξερεῖ ποτε ταῦτα πρὸς 10 τὴν Ἀηδόνα. καὶ ὁ μὲν ἐλθὼν εἰς τὰ οἰκία παραδίδωσι τῇ Ἀηδόνι κατὰ τὰ συγκείμενα ὡς θεράπαιναν τὴν ἀδελφήν, ἡ δὲ αὐτὴν διέφθειρε πρὸς τὰ ἔργα, μέχρις ἡ Χελιδονὶς ἔχουσα πάλιν πλεῖστα παρὰ τὴν κρηνίδα κατωδύρετο, καὶ αὐτῆς ἐπηκροάσατο τὸν λόγον ἡ Ἀηδών. ἐπεὶ δὲ ἀλλήλας ἔγνωσαν 15 καὶ ἠσπάσαντο, ἐπεβούλευον τῷ Πολυτέχνῳ συμφοράν. καὶ τὸν παῖδα κατακόψασαι, τὰ κρέα ἐν λέβητι συνθεῖσαι ταῦτα μὲν ἥψον, Ἀηδὼν δὲ φράσασα πρὸς ἑαυτῆς γείτονα, εἰπεῖν Πολυτέχνῳ δαίσασθαι τῶν κρεῶν, ἀφίκετο σὺν τῇ ἀδελφῇ πρὸς τὸν πατέρα Πανδάρεων καὶ ἐδήλωσεν οἵα ἐχρήσατο 20 συμφορᾷ· Πολύτεχνος δὲ μαθὼν ὅτι τοῦ παιδὸς ἐδαίσατο τὰ κρέα, μετεδίωξεν αὐτὰς ἄχρις πρὸς τὸν πατέρα, καὶ αὐτὸν οἱ θεράποντες οἱ τοῦ Πανδάρεω συνέλαβον καὶ ἔδησαν ἀφύκτῳ δεσμῷ, ὅτι ἐνελωβᾶτο εἰς τὸν οἶκον τοῦ Πανδάρεω, καὶ τὸ σῶμα ἐναλείψαντες μέλιτι κατέβαλον εἰς 25 τὰ ποίμνια. καὶ Πολύτεχνον μὲν αἱ μυῖαι προσίζουσαι ἐλυμαίνοντο, Ἀηδὼν δὲ οἰκτείρασα πρὸς τὴν παλαιὰν φιλίαν ἀπεῖργεν ἐκ τοῦ Πολυτέχνου τὰς μυίας. ἐπεὶ δὲ αὐτὴν κατεφράσθησαν οἱ γονεῖς τε καὶ ὁ ἀδελφός, μισήσαντες ἐνεχεί-

1. ὅπως ἂν vulg., ὅτῳ ἂν Muncker., ὅπως vel ὡς ὅτῳ ἂν Bastius, ὅπως ᾧ ἂν Schaefer. append. ad Bastii ep. cr. p. 280. ‖ 4. ἀφίκετο — Ἀηδόνος om. vulg., ex P recepit Kochius. ‖ 6. ἀν (sic) ἀπαγάγῃ P, vulg. ἀναπαγάγῃ. ‖ 17. καὶ τὰ κρέα Muncker. ‖ 23. legebatur hic et infra Πανδαρέου. ‖ 28. τὰς μυίας P, τὰς ἐσόβησεν μυίας vulg.: καὶ ἐσόβησε τὰς μυίας Galeus, τὰς σοβήσασα μυίας Boltius, ἐσόβησεν ἐκ τ. Π. τὰς μυίας vel ἐκ τ. Π. ἐσόβησε τ. μ. Ruhnkenius et Fontelnius. ‖ αὐτη (sic) κατεφράσθησαν P, αὐτὸ κατεφωράσθησαν vulg.: αὐτὸ κατεφωράθησαν vel κατεφωράσαντο Muncker. ‖

ρησαν ἀποκτεῖναι. Ζεὺς δὲ πρὸ τοῦ μεῖζον κακὸν ἐμπεσεῖν τῷ οἴκῳ τὸν Πανδάρεων οἰκτείρας ἐποίησε πάντας ὄρνιθας· καὶ οἱ μὲν αὐτῶν ἐξέπτησαν ἄχρι πρὸς τὴν θάλασσαν, οἱ δὲ εἰς τὸν ἀέρα. Πανδάρεως μὲν οὖν ἐγένετο ἀλιαίετος, ἡ δὲ μήτηρ τῆς Ἀηδόνος ἀλκυών, καὶ εὐθὺς ἐβούλοντο καταβαλεῖν ἑαυτοὺς εἰς τὴν θάλασσαν, ἀλλὰ Ζεὺς ἐκώλυσεν. οὗτοι τοῖς πλέουσιν οἱ ὄρνιθες αἴσιοι φαίνονται. Πολύτεχνος δὲ μεταβαλὼν ἐγένετο πελεκᾶν, ὅτι Ἥφαιστος αὐτῷ πέλεκυν ἔδωκεν τεκταίνοντι· καί ἐστιν ἀγαθὸς οὗτος ὁ ὄρνις φανεὶς τέκτονι. ὁ δὲ τῆς Ἀηδόνος ἀδελφὸς ἐγένετο ἔποψ, αἴσιος καὶ πλέουσι καὶ ἐπὶ γῆς φανείς, σὺν ἁλιαιέτῳ δὲ ἢ ἀλκυόνι μᾶλλον. Ἀηδὼν δὲ καὶ Χελιδονίς, ἡ μὲν παρὰ ποταμοὺς καὶ λόχμας τὸν παῖδα τὸν Ἴτυν θρηνεῖ, Χελιδονὶς δ' ἐγένετο σύνοικος ἀνθρώποις Ἀρτέμιδος βουλῇ, διότι κατ' ἀνάγκας ἐκλιποῦσα τὴν παρθενίαν πλεῖστα τὴν Ἄρτεμιν ἐπεβοήσατο.

XII. Κύκνος. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ' καὶ Ἀρεὺς ὁ Λάκων ἐν ᾄσματι Κύκνῳ.) Ἀπόλλωνος καὶ Θυρίης τῆς Ἀμφινόμου παῖς ἐγένετο Κύκνος. οὗτος ἦν εὐσχήμων τὴν ὄψιν, τὸ δὲ ἦθος ἄχαρις καὶ ἄγροικος, πρὸς κυνηγέσια ἐκτόπως φιλότιμος. ᾤκει δ' ἐπὶ τῶν ἀγρῶν τὸ μέσον Πλευρῶνος καὶ Καλυδῶνος· ἐγένοντο δ' αὐτοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος. ὁ δὲ Κύκνος καθ' ὑπεροψίαν προσίετο αὐτῶν οὐδένα· τάχιστα δὲ διαμισηθεὶς ἀπὸ μὲν τῶν ἄλλων ἐραστῶν καταλείπεται, Φύλιος δὲ μόνος αὐτῷ συνέμενεν. ὁ δὲ καὶ τοῦτον οὐ μετρίως ἐξύβρισεν. ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ μέγα τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐτούς τε καὶ τὰ θρέμματα διελυμαίνετο. τοῦτον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ σιδήρου κτεῖναι, κἀκεῖνος ὑπέσχετο καὶ ἀνεῖλε μηχανῇ τοιαύτῃ. εἰδὼς ἥντινα ὥραν ἔμελλεν ὁ λέων ἐπιφοιτήσειν ἐνέπλησε τὴν γαστέρα πολλῶν σιτίων καὶ οἴνου, κἀπεὶ προσεπέλασεν ὁ θήρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία. καὶ ὁ λέων ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρη-

1. πρὸς τὸ μ. P. ‖ 2. legebatur Πανδάρεον et 4. Πανδάρεος. ‖ 12. post Χελιδονὶς excidisse τῷ αὐτῷ ὀνόματι λέγονται vel καλοῦνται censuit Muncker. ‖ 14. post ἀνθρώποις Berkelius addi voluit ὄρνις. ‖ 20. τῶν μέσων Verheyk. ‖ 23. οὐθένα P, et sic Kochius. ‖ 31. καὶ ἐπεὶ Valckenarius. ‖

σάμενος ἐκαρώθη ὑπὸ τοῦ οἴνου, ὁ δὲ Φύλιος περιβαλὼν τὸν βραχίονα τῇ ἐσθῆτι ᾗ ἐφόρει, ἔφραξε τὸ στόμα τοῦ λέοντος, ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος ἐπὶ τὸν ὦμον ἀπήνεγκε πρὸς τὸν Κύκνον, καὶ διεβοήθη παρὰ πολλοῖς ἐπὶ τῷ κατορθώματι τούτῳ. ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν ἀτοπώτερον. ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες, ὑπερφυές τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλλαβεῖν ζῶντας καὶ ἀπενεγκεῖν ἔξω πάσης μηχανῆς. ἀποροῦντι δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπίταγμα κατὰ θεὸν ἀετὸς ἡρπακὼς λαγωὸν ἡμιθνῆτα κατέβαλε πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα. ὁ δὲ Φύλιος ἀναῤῥήξας τὸν λαγωὸν καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας ἐπὶ τῆς γῆς ἔκειτο. οἱ μὲν οὖν ὄρνιθες ὡς ἐπὶ νεκρὸν ὥρμησαν, ὁ δὲ Φύλιος πιέσας τῶν σφυρῶν δύο καὶ κατασχὼν ἀπήνεγκεν πρὸς τὸν Κύκνον. ὁ δὲ αὐτῷ τρίτον ἔτι χαλεπώτερον ἆθλον ἐπέταττεν· ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χερσὶ λαβόντα μέχρι πρὸς τὸν βωμὸν τὸν τοῦ Διός. ὁ δὲ Φύλιος ἀμηχανῶν ὅ τι χρήσεται πρὸς τὸ ἐπίταγμα ἠύξατο συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα. καὶ πρὸς τὴν εὐχὴν ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστρήσαντες βοῦν καὶ τοῖς κέρασι τύπτοντες ἀλλήλους κατέβαλον εἰς τὴν γῆν, ὁ δὲ Φύλιος, ἐπειδὴ παρείθησαν, τὸν ἕτερον ταῦρον ἀναψάμενος ἐκ τοῦ σκέλους ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμόν, βουλήσει δὲ τοῦ Ἡρακλέους ἠμέλησε τῶν ἐπιταγμάτων τοῦ παιδός. τῷ δὲ Κύκνῳ παρέστη δεινὸν ἀτιμωθέντι παρὰ τὴν δόξαν, ἀθυμήσας δὲ κατέβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπην λεγομένην λίμνην καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ καὶ Θυρίη ἡ μήτηρ κατέβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην, καὶ ἐγένοντο βουλῇ Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι ἐν λίμνῃ. ἀφανισθέντων δὲ

1. ἐχαρακώθη P: ἐκαρώθη Xyl., ἀπεχαρακώθη Salmas. ad Vopisc. p. 475. ‖ 7. ἀπεκτείννυον P. ‖ 8. ἔξω πάσῃ μηχανῇ P: ἐκ πάσης μηχανῆς Verheyk., ἔσω vel εἴσω πάσῃ μηχανῇ Bastius, corr. Kochius. ‖ 10. ἡρπακὼς P: ἡρπαγὸς Xyl., vulg. ἡρπαγώς. ‖ 12. ἀναπλάσας vel ἀναπάσας Berkel., καταπλάσας Munck. ‖ 23. βουλῇ Fonteinius. ‖ 24. ἠμέλησε idem, ἀμελῆσαι legebatur: ἀμελῆσαι ἠνέσχετο Munck., ἀμελήσας Berk., συνέβαινεν ἀμελῆσαι Hemsterh., ἀμέλησε (forma ionica) Bastius. ‖ 25. ἀτιμηθέντι Galeus. ‖ 26. Κωνωπίην s. Κωνωπείην aut κυκνείην Verheyk. ‖

καὶ ἡ λίμνη μετωνομάσθη καὶ ἐγένετο κυκνείη, καὶ πολλοὶ ἐν τῇ ὥρᾳ τοῦ ἀροτοῦ ἐνταῦθα φαίνονται κύκνοι. πλησίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα.

XIII. Ἀσπαλίς. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.) Διὸς καὶ νύμφης Ὀθρηίδος ἐγένετο παῖς Μελιτεύς. τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη. ὁ δὲ παῖς Διὸς βουλῇ οὐκ ἠφανίσθη, ἀλλ' ηὔξετο τρεφόμενος ὑπὸ μελισσῶν. ἐνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα Φάγρος ὁ Ἀπόλλωνος καὶ Ὀθρηίδος νύμφης, ἥτις ἔτεκε Μελιτέα τὸν ἐν τῇ ὕλῃ παῖδα. θαυμάσας δὲ πρὸς τὸν ὄγκον τοῦ σώματος καὶ ἔτι πλέον πρὸς τὰς μελίσσας ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία καὶ ἔτρεφεν [ἐν] πολλῇ σπουδῇ, θέμενος αὐτῷ Μελιτέα ὄνομα διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θεὸς εἶπε σώζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον. ὁ δὲ παῖς ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος καὶ πλείστων ἦρξε περιοίκων καὶ πόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαγορεύσας Μελίτην. ἐν ταύτῃ τῇ Μελίτῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριστής, ὃν οἱ μὲν ἐπιχώριοι οὐδ' ὀνομάζουσιν, ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο. οὗτος εἴ τις διαβοηθείη παρθένος ἐπὶ κάλλει τῶν ἐγχωρίων, ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυτο πρὸ γάμου κατὰ βίαν. τότε δ' οὖν εἴρητο πρὸς τοὺς θεράπας ἀπάγειν Ἀσπαλίδα τὴν θυγατέρα τὴν Ἀργαίου τῶν οὐκ ἀσήμων· ἡ δὲ παῖς, ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας ἀνήρτησεν ἑαυτήν. τῆς δὲ πράξεως οὔπω διαβοηθείσης ἀδελφὸς ὁ τῆς Ἀσπαλίδος Ἀστυγίτης ὤμοσεν, ὅτι πρότερον τίσεται τὸν τύραννον ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς. ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπαλίδος καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν τὸ ξίφος ἔλαθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν, παρελθὼν δὲ εἰς τὰ οἰκία γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον κτείνει. οἱ δὲ Μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν καὶ μετὰ παιάνων προέπεμπον, τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου Τάρταρον καλοῦσι, τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξε-

2. ἀροτοῦ P, vulg. ἀρτοῦ. ‖ 12. ἐν suspectum. ‖

ρευνῶντες πάντα τρόπον, ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κατὰ θεόν, ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός. ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον Ἀσπαλὶς Ἀμειλήτη Ἐκαέργη, ᾧ καθ' ἕκαστον ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρήμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα ἑαυτὴν ἀπηγχόνισεν.

XIV. Μούνιχος. [Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.] Μούνιχος ὁ Δρύαντος ἐβασίλευσε Μολοσσῶν καὶ ἐγένετο μάντις ἀγαθὸς καὶ ἀνὴρ δίκαιος. ἔσχε δὲ παῖδας ἐκ Δηλάντης Ἄλκανδρον, ἀμείνονα μάντιν ἑαυτοῦ, καὶ Μεγαλήτορα καὶ Φιλαῖον καὶ θυγατέρα Ὑπερίππην. τούτους γενομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφίλησαν οἱ θεοί. ἐπεὶ δὲ αὐτοὺς ἐπὶ τῶν ἀγρῶν νυκτὸς ἐπελθόντες λῃσταὶ συνελάμβανον, οἱ δὲ ἐκ τῶν πύργων ἔβαλλον (οὐ γὰρ ἦσαν αὐτοῖς ἰσόμαχοι), πῦρ ἐνέβαλλον οἱ κλῶπες εἰς τὰ οἰκία. Ζεὺς δ' οὐ περιεῖδεν αὐτοὺς ὁσιότητος ἕνεκα τελευτήσαντας οἰκτίστῳ θανάτῳ, μετέβαλε δὲ πάντας εἰς ὄρνιθας. καὶ Ὑπερίππη μὲν, ἐπεὶ φυγοῦσα τὸ πῦρ εἰς ὕδωρ κατέδυ, γέγονεν αἴθυια, οἱ δ' ἄλλοι ἐκ τοῦ πυρὸς ἀνέπτησαν, Μούνιχος μὲν τριόρχης γενόμενος, Ἄλκανδρος δὲ ὀρχίλος, Μεγαλήτωρ δὲ καὶ Φιλαῖος, ὅτι τὸ πῦρ φεύγοντες διὰ τοῦ τοίχου παρὰ τὴν γῆν ἔδυσαν, ἐγένοντο μικροὶ δύο ὄρνιθες· καί ἐστιν ὁ μὲν αὐτῶν ἰχνεύμων, Φιλαῖος δ' ὀνομάζεται κύων. ἡ δὲ μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος πιπώ. πρὸς ταύτην ἀετῷ πόλεμός ἐστι καὶ ἐρωδιῷ· κατάγνυσι γὰρ αὐτῶν τὰ ὠὰ κόπτουσα τὴν δρῦν διὰ τοὺς κνῖπας. καί εἰσιν οἱ μὲν ἄλλοι σύννομοι ἐν ὕλῃ καὶ παρὰ κευθμῶνας, αἴθυια δὲ ἐγένετο πρὸς λίμναις τε καὶ θαλάσσῃ.

1. κηδεύσουσιν Jacobs. ‖ 5. ἀμείλικτος Jacobi lex. mythol. p. 148. cf. Mueller. Dor. 1. p. 370. ‖ 6. ἄφθορον Abresch. ‖ ἐκρέμων Berkel., ἐκρέμνων Munckerus. ‖ 8. ἱστορεῖ — β' om. P et ed. pr. ‖ 10. ἔσχεν P. ‖ 16. περιίδεν P, sed non clare apparet ibi. ‖ 17. τελευτήσαντας P, legebatur ex Verheykii corr. τελευτήσοντας. ‖ 19. δ' P, erat δὲ. ‖ 25. ἐρωιδιῷ P. ‖ 26. ὠιὰ P. ‖ τὴν] τον pr. m. P. ‖ 27. σύννομοι P, σύνομοι vulg.; σύνορμοι Galeus. ‖ 28. λίμναις Berkelius, legebatur λίμνας. ‖

XV. *Μεροπίς.* (*Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α'.*) *Εὐμήλου τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερήφανοι καὶ ὑβρισταί, Βύσσα καὶ Μεροπὶς καὶ Ἄγρων. καὶ ᾤκουν Κῶν τὴν Μεροπίδα νῆσον, ἡ δὲ γῆ πλεῖστον αὐτοῖς ἐξέφερε καρπόν, ὅτι μόνην θεῶν ἐτίμων καὶ ἐπιμελῶς αὐτὴν εἰργάζοντο. οὗτοι ἀνθρώπων οὐδενὶ συνῆλθον, οὔτε εἰς ἄστυ κατιόντες οὔτε πρὸς εἰλαπίνας καὶ θεῶν ἑορτάς, ἀλλ' εἰ μὲν Ἀθηνᾷ τις ἱερὰ ποιῶν ἐκάλεσε τὰς κόρας, ἀπέλεγεν ὁ ἀδελφὸς τὴν κλῆσιν· οὐ γὰρ ἀγαπᾷν ἔφη γλαυκὴν θεόν, ὅτι ταῖς αὐταῖς κόραις ὀφθαλμὸς ἐνῆν μέλας, ἐχθαίρειν δὲ παράπαν γλαῦκα τὴν ὄρνιν· εἰ δὲ καλοῖεν παρὰ τὴν Ἄρτεμιν, νυκτίφοιτον ἔλεγε μισεῖν θεόν, εἰ δὲ πρὸς Ἑρμοῦ σπονδάς, κλέπτην ἔλεγεν οὐ τιμᾷν θεόν. καὶ οἱ μὲν πλειστάκις ἐκερτόμουν. Ἑρμῆς δὲ καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις χολούμενοι νυκτὸς ἐπέστησαν αὐτῶν τοῖς οἴκοις, Ἀθηνᾶ μὲν καὶ Ἄρτεμις ἐοικυῖαι κόραις, Ἑρμῆς δὲ ποιμένος ἔχων στολὴν καὶ τὸν Εὔμηλον καὶ τὸν Ἄγρωνα προσαγορεύσας παρεκάλει παρατυχεῖν εἰς δαῖτα· διδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων Ἑρμῇ· Βύσσαν δὲ καὶ Μεροπίδα πρὸς τὰς ὁμήλικας ἔπειθεν ἐκπέμπειν εἰς τὸ τῆς Ἀθηνᾶς καὶ Ἀρτέμιδος ἄλσος. καὶ ταῦτα μὲν εἶπεν Ἑρμῆς· Μεροπὶς δ' ὡς ἤκουσεν, ἐξύβρισε πρὸς τὸ ὄνομα τῆς Ἀθηνᾶς, ἡ δὲ αὐτὴν ἐποίησεν ὀρνίθιον γλαῦκα· Βύσσα δὲ τῷ αὐτῷ ὀνόματι λέγεται καί ἐστι Λευκοθέας ὄρνις· Ἄγρων δ' ὡς ἐπύθετο, ἁρπάσας ὀβελὸν ἐξέδραμεν, Ἑρμῆς δ' αὐτὸν ἐποίησε χαραδριόν· Εὔμηλος δὲ τὸν Ἑρμῆν ἐνείκεσεν ὅτι μετεμόρφωσεν αὐτοῦ τὸν υἱόν, ὁ δὲ κἀκεῖνον ἐποίησε νυκτικόρακα κακάγγελον.*

XVI. *Οἰνόη.* (*Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.*) *Παρὰ τοῖς λεγομένοις ἀνδράσι Πυγμαίοις ἐγένετο παῖς ὄνομα Οἰνόη,*

1. ὀρνιθ. α P, vulg. ὀρνιθ. β'. ‖ 4. Μεροπίδων aut Μεροπίδα λεγομένην v. Berkel., Μερόπων v. Munck. ‖ 5. ὅτι τὴν Δήμητρα μόνην Berkel. ‖ ἠργάζοντο P. ‖ 7. ἐκάλεσεν P. ‖ 9. τ. αὐταῖς κόραις P, αὐταῖς χώραις κόραις vulg.: ταῖς αὐτῆς χώρας κόραις Berkel., αὐτοῦ χώρας κόραις Galeus, τὰς κόρας ὅτι αὐταῖς Munck., αὐτῆς κόραις Toussaint, ταῖς κόραις Jacobs. anim. in Eurip. p. 50. ‖ 10. καλοῖεν Bastius, καλῶιεν puncto addito super ω P: καλῶνται Berk., καλῷεν vel καλῴη Galeus, καλεῖεν Munck., καλοῖ ἄν Ruhnk. ‖ 14. οἰκίοις vel οἰκείοις Verheyk. ‖ 21. τὸ ὄνομα] τὰ ὄμματα Jacobs exerc. in scr. vett. 2. p. 102: cf. Lucas quaestt. lexil. p. 124. ‖

τὸ μὲν εἶδος οὐ μεμπτή, ἄχαρις δὲ τὸ ἦθος καὶ ὑπερήφανος. ταύτῃ φροντὶς οὐδεμία ἐγίνετο τῆς Ἀρτέμιδος οὐδὲ Ἥρας. γαμηθεῖσα δὲ Νικοδάμαντι τῶν πολιτῶν ἑνὶ μετρίῳ καὶ ἐπιεικεῖ ἔτεκε παῖδα Μόψον. καὶ αὐτῇ Πυγμαῖοι πάντες κατὰ φιλοφροσύνην πλεῖστα δῶρα πρὸς τὴν γένεσιν τοῦ παιδὸς ἀπήνεγκαν. Ἥρα δὲ μεμφθεῖσα τὴν Οἰνόην, ὅτι αὐτὴν οὐκ ἐτίμα, γέρανον αὐτὴν ἐποίησε καὶ τὸν αὐχένα μακρὸν εἵλκυσε καὶ ἀπέδειξεν ὑψιπετῆ ὄρνιθα, καὶ πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς Πυγμαίοις. Οἰνόη δὲ διὰ τὸν πόθον τοῦ παιδὸς Μόψου περιεπέτετο τὰ οἰκία καὶ οὐκ ἐξελίμπανε, Πυγμαῖοι δὲ καθοπλισάμενοι πάντες ἐδίωκον αὐτήν. καὶ ἐκ τούτου ἔτι καὶ νῦν Πυγμαίοις καὶ γεράνοις πόλεμος ἐνέστηκε.

XVII. *Λεύκιππος.* (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.) Γαλάτεια ἡ Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαίστῳ τῆς Κρήτης Λάμπρῳ τῷ Παυδίονος, ἀνδρὶ τὰ μὲν εἰς γένος εὖ ἔχοντι, βίου δὲ ἐνδεεῖ. οὗτος, ἐπειδὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄρρενα γενέσθαι αὐτῷ παῖδα, προηγόρευσε δὲ τῇ γυναικί, ἐὰν γεννήσῃ κόρην ἀφανίσαι. καὶ οὗτος μὲν ἀπιὼν ἐποίμαινε τὰ πρόβατα, τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο. καὶ κατοικτείρασα τὸ βρέφος καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλλαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον, ἄρρεν λέγουσα τεκεῖν, καὶ ἐξέτρεφεν ὡς παῖδα κοῦρον, ὀνομάσασα Λεύκιππον. ἐπεὶ δὲ ηὔξετο ἡ κόρη καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς Λητοῦς ἱερὸν καὶ πλεῖστα τὴν θεὸν ἱκέτευσεν, εἴ πως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι, καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος οὖσα θυγάτηρ βουλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης, Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρός, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐντυχὼν ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο * διὰ τὸ δράκοντα πολλάκις πάνακτα δὲ * καὶ Ὑπερ-

7. εἵλκυσε P, vulg. ἕλκυσε. ‖ 18. προηγόρευσε P, vulg. προηγόρευε. ‖ 22. ὀνειροκριτων Fonteinius, τ. μάντεων ὀνειροκριτῶν Jacobs. ‖ 24. κόρον Munck. ‖ 29. Κ. μὲν Ἐλάτου Ἄτρακος Heinsius, Κ. μὲν Ἐλάτου τοῦ Ἀρκάδος Verh. ‖ 33. διὰ τὸ δράκοντα πολλάκις πάνακτα δὲ καὶ ὑπ. P appicta ad mg. lineola: διὰ τὸ

μήστραν πιπρασκομένην ἐπὶ γυναικὶ μὲν ἄρασθαι τίμον, ἄνδρα δὲ γενομένην Αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί, μεταβαλεῖν δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λουομένην ἴδε τὴν Ἄρτεμιν. ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην
5 καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον. ταύτης ἔτι μέμνηνται τῆς μεταβολῆς Φαίστιοι καὶ θύουσι Φυτίῃ Λητοῖ, ἥτις ἔφυσε μήδεα τῇ κόρῃ, καὶ τὴν ἑορτὴν Ἐκδύσια καλοῦσιν, ἐπεὶ τὸν πέπλον ἡ παῖς ἐξέδυ. νόμιμον δ' ἐστὶν ἐν τοῖς γάμοις πρότερον πα-
10 ρακλίνασθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίππου.

XVIII. Ἥρωος. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.) Εὔμηλος ὁ παῖς ὁ Εὐγνώτου κατῴκησεν ἐν Θήβαις ταῖς Βοιωτίαις καὶ αὐτῷ παῖς ἐγένετο Βότρης ὄνομα. οὗτος ὁ Εὔμηλος ἐτίμα μεγαλομερῶς τὸν Ἀπόλλωνα. καί ποτε θύον-
15 τος αὐτοῦ παρὼν ὁ παῖς Βότρης ἐδαίσατο τὸν ἐγκέφαλον τοῦ ἀρνὸς πρὶν ἐπὶ τὸν βωμὸν καταθῦσαι· μαθὼν δὲ τὸ γεγονὸς Εὔμηλος προσέκρουσε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ, τὸν δαλὸν ἀφελὼν ἐκ τοῦ βωμοῦ, καὶ ὁ παῖς καταρρυέντος τοῦ αἵματος καταπεσὼν ἤσπαιρεν. ἡ δὲ μήτηρ ὡς
20 ἴδεν καὶ ὁ πατὴρ καὶ οἱ θεράπες, μέγιστον ἐποιήσαντο πένθος, Ἀπόλλων δὲ οἰκτείρας, ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποίησε τὸν παῖδα ἠέροπον, ὃς ἔτι νῦν τίκτει μὲν ὑπὸ γῆς, αἰεὶ δὲ μελετᾷ πέτεσθαι.

XIX. Φῶρες. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.) Ἐν
25 Κρήτῃ λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν, ἐν ᾧ μυθολογοῦσι τεκεῖν Ῥέαν τὸν Δία, καί ἐστιν ὅσιον οὐδένα παρελθεῖν οὔτε θεὸν οὔτε θνητόν. ἐν δὲ χρόνῳ ἀφωρισμένῳ ὁρᾶ-

τοὺς αὐτοὺς δράκοντας πάλιν πατάξαι, καὶ Y. Munck., διὰ τὸ δράκοντας βακτηρίᾳ πατάξαι, καὶ Y. Verheyk., διὰ τὸ δράκοντα ποδὶ λακτίσαι Jacobs in ephem. litt. Hal., πάλιν τῇ ῥάβδῳ αὐτοὺς πατάξας comm. in anth. gr. 1, 1. p. 324, διὰ τὸν δράκοντα πολλάκις παταχθέντα Bastius, διὰ τὸ τοὺς δράκοντας πάλιν αἰκίσαι Unger. Theb. parad. 1. p. 417, διὰ τὸ δράκοντα πολλάκις πατάξαι vulg.: ego codicis scripturam, a qua nimis istae omnes coniecturae recedere videbantur, intactam reliqui. ‖ 1. αἴρασθαι (h. e. ᾄρασθαι) τίμον (sic) P: erat qui vellet εὑρῆσαι τιμήν. ‖ 7. Φυτίῃ] Φυσιμήδῃ Valckenar. ‖ 12. τῆς Βοιωτίας Verheyk., ταῖς Βοιωτίαις Teucher. cf. Unger. l. l. p. 75. ‖ 17. προέκρουσε Xyl. ‖ 26. καὶ οὐκ ἔστιν Munck. ‖

ται καθ' ἕκαστον ἔτος πλεῖστον ἐκλάμπον ἐκ τοῦ σπηλαίου πῦρ. τοῦτο δὲ γίνεσθαι μυθολογοῦσιν, ὅτ' ἂν ἐκζέῃ τὸ τοῦ Διὸς ἐκ τῆς γενέσεως αἷμα. κατέχουσι δὲ τὸ ἄντρον ἱεραὶ μέλιτται, τροφοὶ τοῦ Διός. εἰς τοῦτο παρελθεῖν ἐθάρρησαν Λάϊος καὶ Κελεὸς καὶ Κέρβερος καὶ Αἰγωλιός, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ περιθέμενοι περὶ τὸ σῶμα πάντῃ χαλκὸν ἀρύσαντο τοῦ μέλιτος τῶν μελισσῶν, καὶ τὰ τοῦ Διὸς ὕδον σπάργανα καὶ αὐτῶν ὁ χαλκὸς ἐρράγη περὶ τὸ σῶμα. Ζεὺς δὲ βροντήσας ἀνέτεινε τὸν κεραυνόν, Μοῖραι δὲ καὶ Θέμις ἐκώλυσαν· οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα. καὶ ὁ Ζεὺς πάντας αὐτοὺς ἐποίησεν ὄρνιθας, καί ἐστιν ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν, λάϊοι καὶ κολοιοὶ καὶ κέρβεροι καὶ αἰγωλιοί· καί εἰσιν ἀγαθοὶ φανέντες καὶ ἐπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρνιθας, ὅτι τοῦ Διὸς ὕδον τὸ αἷμα.

XX. Κλεῖνις. (Ἱστορεῖ Βοῖος β' καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι.) Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος, ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους καὶ πρόβατα. τοῦτον ἐκτόπως ἐφίλησεν Ἀπόλλων καὶ Ἄρτεμις, καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Ὑπερβορέοις, καὶ ἴδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων. παραγενόμενος δὲ εἰς Βαβυλῶνα καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ θεῷ, καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν παρὰ τὸν βωμόν, Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύσαι· τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν Ὑπερβορέοις ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι. καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους, καὶ τὸν λόγον ὃν ἤκουσεν ἐξέφερε πρὸς τοὺς παῖδας. ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος καὶ Ἅρπασος καὶ θυγάτηρ Ἀρτεμίχη, παῖδες ἐκ μητρὸς Ἅρπης. Λύκιος μὲν οὖν καὶ

5. Κολοιὸς Meurs. Cret. p. 75, Κολιὸς Munck. ‖ 7. ἀρύσαντο P et Xyl., vulg. ἠρύσαντο. ‖ 12. κολιοὶ ex Arist. hist. an. 8, 3 Munck. ‖ 16. Ἀπόλλωνι P, vulg. Ἀπόλλων. ‖ παρὰ Bastius. ‖ 21. τοῦ] τὸν Munck. ‖ 25. παύσαιτο P et sic corr. Verheyk, vulg. παύσατο. ‖ 27. ἱερεύσαι corr. idem, fuerat ἱερεύσει. ‖ 28. ἀγομένην μόνην αὐτῷ Fonteinius, θυσίαν μόνον ἐν Ὑπ. Verh. ‖ 32. παῖδες] πάντες

Ἅρπασος ἀκούσαντες ἐκέλευον ἱερεύειν τοὺς ὄνους καὶ τέρπεσθαι τῇ ἑορτῇ, Ὀρτύγιος δὲ καὶ Ἀρτεμίχη πείθεσθαι τῷ Ἀπόλλωνι προσέτασσον, κἀπὶ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον. Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμόν. καὶ ὁ θεὸς ἐνέβαλε τοῖς ὄνοις λύσσαν, οἱ δὲ τούς τε παῖδας καὶ τοὺς θέραπας αὐτῶν καὶ τὸν Κλεῖνιν κατήσθιον. οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο. καὶ Ἅρπην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσειδῶν καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας τῷ αὐτῷ λεγομένους ὀνόματι, Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνασῶσαι τὸν Κλεῖνιν καὶ τὴν Ἀρτεμίχην καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν, Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν, καὶ πρόσθεν ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησε πάντας ὄρνιθας. καὶ ἐγένετο Κλεῖνις μὲν ὑψιαίετος (οὗτός ἐστι δεύτερος ὀρνίθων μετὰ τὸν αἰετόν, διαγνῶναι δ' οὐ χαλεπός· ὁ μὲν γάρ ἐστι νεβροφόνος ἐρεμνὸς μέγας τε καὶ ἄλκιμος, ὁ δ' ἀετὸς μελάντερος καὶ ἐλάσσων ἐκείνου), Λύκιος δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός, αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγατέρα γαμηθεῖσαν Ἀλκυονεῖ. Ἀρτεμίχη δ' ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις προσφιλὴς ὄρνις, Ὀρτύγιος δὲ αἰγιθαλλός, ὅτι τὸν πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων ἱερεύειν Ἀπόλλωνι.

XXI. Πολυφόντη. (Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.) Τερείνης τῆς Στρυμόνος καὶ Ἄρεως ἐγένετο θυγάτηρ Θρᾶσσα. ταύτην δ' ἔγημεν Ἱππόνους ὁ Τριβαλλοῦ παῖς, καὶ αὐτοῖς ἐγένετο θυγάτηρ ὄνομα Πολυφόντη. αὕτη τὰ μὲν ἔργα τῆς Ἀφροδίτης ἐξύβρισεν, ἐλθοῦσα δ' εἰς τὸ ὄρος Ἀρτέμιδος ἐγένετο συμπαίκτρια καὶ συνήθης. Ἀφροδίτη δέ, ὅτι αὐτῆς ἠτίμασε τὰ ἔργα, ἔρωτα ἐνέβαλεν ἄρκτου καὶ ἐξέμηνεν αὐτήν, ἡ δὲ κατὰ δαίμονα οἰστρήσασα ἐμίγνυτο τῷ ἄρκτῳ. καὶ αὐτὴν ἡ Ἄρτεμις ἰδοῦσα ἐκτόπως ἐμίσησεν καὶ πάντα εἰς

Fenteinius. ‖ 1. ὄνους, καὶ γὰρ μητέρα τέρπεσθαι idem. ‖ 22. αἰγίθαλος Munckerus: accentum h. l. nullum, in ultima supra ind. capp. habet P, vulg. αἰγίθαλλος. ‖ 30. συμπαίστρια Berkel. hic et c. 29 et 32. ‖ 32. τῷ] legebatur τῇ. ‖

αὐτὴν ἔτρεψε τὰ θηρία. Πολυφόντη δὲ δείσασα μὴ θῆρες αὐτὴν διεργάσωνται, φεύγουσα ἐξίκετο εἰς τὰ οἰκία τοῦ πατρὸς καὶ ἔτεκε δύο παῖδας, Ἄγριον καὶ Ὄρειον, μεγίστους καὶ δύναμιν ἔχοντας ἄπλετον. οὗτοι ἐτίμων οὔτε θεὸν οὔτε ἄνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας, καὶ εἴ τῳ ξένων ἐντύχοιεν, ἀπάγοντες εἰς τὰ οἰκεῖα κατήσθιον. Ζεὺς δὲ μισήσας αὐτοὺς ἀπέστειλεν Ἑρμῆν, ὅπως ἢν ἐθέλει δίκην αὐτοῖς ἐπιβάλῃ. καὶ ὁ μὲν Ἑρμῆς ἐβούλευσεν ἀποκόψαι τοὺς πόδας αὐτῶν καὶ τὰς χεῖρας, Ἄρης δ', ἐπεὶ τὸ γένος εἰς αὐτὸν ἀνέφερε Πολυφόντη, τούτου μὲν ἐξείλετο τοῦ μόρου τοὺς παῖδας, ἤλλαξε δὲ μετὰ Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας. καὶ ἐγένετο Πολυφόντη μὲν στρὶγξ φθεγγομένη νυκτὸς ἄτερ σίτου καὶ ποτοῦ, τὴν κεφαλὴν ἴσχουσα κάτω, τοὺς δὲ πόδας ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος, Ὄρειος δ' ἐγένετο λαγώς, ὄρνις ἐπ' οὐδενὶ φαινόμενος ἀγαθῷ, Ἄγριος δὲ μετέβαλεν εἰς γῦπα, πάντων ὀρνίθων ἔχθιστον θεοῖς τε καὶ ἀνθρώποις· καὶ διὰ παντὸς ἵμερον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου. τὴν δὲ θεράπαιναν αὐτῶν ἐποίησαν ἴπνην, ἡ δὲ μεταβάλλουσα τὴν φύσιν ηὔξατο θεοῖς μὴ κακὸς ὄρνις ἀνθρώποις γενέσθαι, καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' ἀνάγκας ἔδρασεν ἃ προσέτασσον οἱ δεσπόται· καί ἐστιν ἀγαθὸς οὗτος ὁ ὄρνις ἐπὶ θήραν ἰόντι καὶ δαῖτα.

XXII. Τέραμβος. (Ἱστορεῖ Νίκανδρος ἐν ἁ ἑτεροιουμένων.) Τέραμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηίδος ᾤκει ἐν τῇ γῇ τῇ Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος. ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα καὶ αὐτὰ ἐποίμαινεν αὐτός. νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι καὶ ἐπὶ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι, καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι, πλεῖστά τε καὶ κάλ-

5. τῳ ξένων P et Munck., τῷ ξένων vulg.: τῷ ξένῳ Berk. ‖ 6. οἰκεῖα P, legebatur οἰκία. ‖ 12. στῦξ P, στὺξ vulg.; στρῦξ Vossius, στρὶξ vel στρὶγξ Verheyk. ‖ 15. Ἄγριον Berkelius aliique. ‖ 19. ηὔξατο P: legebatur ηὔξετο. ‖ 24. Κέραμβος Berkelius. ‖

λιστα μέλη ποιῆσαι. τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Τεράμβου, Πᾶνα δὲ τοῦτο κατ' εὐμένειαν αὐτῷ παραγγεῖλαι καταλιπόντι τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπεῖναι μέλλειν. ὁ δὲ Τέραμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβὴς ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίνωσκεν, ἀπέρριψε δὲ λόγον ἄχαρίν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μέν εἰσιν οὐκ ἀπὸ Διός, ἀλλ' ἔτεκεν αὐτὰς ἡ δεῖνα τοῦ Σπερχειοῦ, Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐρρίζωσε καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν. τοιαῦτα μὲν ὁ Τέραμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς καὶ ἐπάγησαν αἱ χαράδραι καὶ πολλὴ κατέπεσε χιὼν καὶ τὰ ποίμνια τοῦ Τεράμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη. νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Τέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο ὑλοφάγος κεράμβυξ· φαίνεται δὲ ἐπὶ τῶν ξύλων καί ἐστιν ἀγκύλος ἐκ τῶν ὀδόντων καὶ συνεχῶς τὰ γένεια κινεῖ, μέλας, παραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγάλοις κανθάροις. οὗτος ξυλοφάγος βοῦς καλεῖται, παρὰ δὲ Θετταλοῖς κεράμβυξ. τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι καὶ τὴν κεφαλὴν ἀποτέμνοντες φέρουσιν, ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.

XXIII. Βάττος. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων ἁ καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος μεταμορφώσεων γ' καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν ά.) Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας καὶ τὴν

3. κατ' εὐμέλειαν Cuper. apoth. Hom. p. 37. ‖ 5. μέλλειν P, vulg. μέλειν: corr. et Dorvill. ad Char. p. 511. ‖ 7. ἐγίνωσκεν P, legebatur ἐγίγνωσκεν. ‖ 9. εἶσον] εἶχον Munck. ‖ ἡ Δεινὼ Berkel. ‖ 10. τοῦ] τῶν Munck. ‖ σπερχειοῦ P: Σπερχίον Munck. ‖ 18. ξυλοφάγος Xyl., συκοφάγος Berkel. hic et infra, qui et mox τῶν σύκων. ‖ 20. γένυας Munck. ‖ κινεῖ P, κινεῖν vulg.: κινῶν Verheyk. ‖ 27. cf. Marckscheffel Hes. fr. p. 345. ‖

γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο ἵναπερ 5 ἦσαν αἱ Ἀδμήτου βόες. καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην, αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν ὑλακὴν ἀπώλεσαν. εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκα- 10 στον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ, καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος, καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας, καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο 15 καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει, καὶ μισθὸν ᾔτησεν ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς 20 δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο, καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον, εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ 25 συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει, διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν 30 οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παρ' ὁδευόντων ἄχρι νῦν σκοπιὰ Βάττου.

3. ἀϊδόντα Xyl. ‖ 8. ὑλακὴν Jacobs exerc. in scr. vett. 2. p. 89, erat φυλακὴν. ‖ 12. Ἀχ. καὶ Φθ. Berkel. ‖ 17. ἐπάκρῳ v. d. in misc. obss. 2. p. 153. ‖ 19. οἰκείων P, legebatur οἰκίων. ‖ κλοπιμαίας P, κλοπημαίας vulg. ‖ 23. πρηῶνι P, πριῶνι vulg. ‖ 28. χλαῖναν Berkel., χλανίδα Munck. ‖ 29. ἐράπισεν P. ‖ 31. παροδευόντων vulg. ‖

XXIV. Ἀσκάλαβος. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Δημήτηρ ὅτε πλανῆτις ἐπῄει γῆν ἅπασαν κατὰ ζήτησιν τῆς θυγατρός, ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ. καὶ αὐὴν ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη καὶ διδοῖ ποτὸν
5 ὕδωρ, ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτό. καὶ ἡ Δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος τὸ ποτὸν ἀθροῦν. ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκάλαβος ἰδὼν ἐποιήσατο γέλωτα καὶ αὖτις ἐκέλευεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν ἢ πιθάκνην. Δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον
10 προσέχεεν. ὁ δὲ μεταλαβὼν ἐγένετο ποικίλος ἐκ τοῦ σώματος ἀσκάλαβος, καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων μεμίσηται. καί ἐστιν αὐτῷ δίαιτα παρ' ὀχετόν. ὁ δ' ἀποκτείνας κεχαρισμένος γίνεται Δήμητρι.

XXV. Μητιόχη καὶ Μενίππη. (Ἱστορεῖ Νίκανδρος
15 ἑτεροιουμένων δ' καὶ Κόρινναι ἑτεροίων ά.) Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη. αὗται, ὅτε Ὠρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο παρὰ τῇ μητρί· καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν, Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος. ἐπεὶ
20 δὲ Ἀονίαν ὅλην ἔλαβε λοιμὸς καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον· καὶ αὐτοῖς εἶπεν ὁ θεὸς ἱλάσσασθαι δύο τοὺς ἐριουνίους θεούς· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν μῆνιν, εἰ δύο δυσὶν ἑκοῦσαι παρθένοι θύματα γένοιντο. πρὸς δὲ δὴ τὸ μαντεῖον οὐδεμία
25 τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὠρίωνος. αἱ δ' ὡς ἐπύθοντο περὶ τὸν ἱστὸν ἔχουσαι, τὸν ὑπὲρ ἀστῶν θάνατον ἐδέξαντο πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον, τρὶς δὲ βοησάμεναι χθονίους δαίμονας, ὅτι αὐ-
30 τοῖς ἑκοῦσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι

3. αὐὴν Pierson veris. p. 37, αὐτὴν vulg., quod ipsum quoque retinendum censuit Bastius. ‖ 6. ἀθρόως Munck. ‖ 7. ἐποιήσατο P, ἐποίησε vulg. ‖ 8. ἐκέλευεν P, ἐκέλευσεν vulg. ‖ 10. μεταβαλὼν Lennep. ad Phal. p. 273. ‖ 20. ἀπέθνησκον et sic rursus cap. 33 et 41 P. ‖ 22. ἐριουνίους] χθονίους Berkel. ‖ θεοὺς P, vulg. om. ‖ 23. ἔχουσαι P. ‖ 27. περὶ Bastius, scribebatur παρὰ. ‖ ἔχουσαι P, legebatur ἑκοῦσαι. ‖ ἀστῶν Valckenarius, erat αὐτῶν, P αυτων (sic). ‖ 29. ἐπιβοησάμεναι Ruhnkenius. ‖

παρὰ τὴν κλεῖδα καὶ ἀνέρρηξαν τὴν σφαγήν. καὶ αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν, Φερσεφόνη δὲ καὶ Ἅιδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν, ἀντὶ δ' ἐκείνων ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες ἀνηνέχθησαν εἰς οὐρανόν, καὶ αὐτοὺς ὠνόμασαν ἄνθρωποι κομήτας. ἱδρύσαντο δὲ πάντες Ἄονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων· καὶ αὐταῖς καθ' ἕκαστον ἔτος κόροι τε καὶ κόραι μειλίγματα φέρουσιν. προσαγορεύουσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς κορωνίδας παρθένους.

XXVI. Ὕλας. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς ὑπ' αὐτῶν ἀποδειχθεὶς συνεπήγετο μεθ' αὐτοῦ καὶ Ὕλαν, παῖδα μὲν Κήυκος, νέον δὲ καὶ καλόν. ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ Πόντου καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργανθώνης καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐνταῦθα καταβαλόντες ἀγκύρας ἀνέπαυσαν τὴν ναῦν. καὶ Ἡρακλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον. ὁ δὲ παῖς Ὕλας ἔχων κρωσσὸν ἦλθε πρὸς τὸν Ἀσκάνιον ποταμὸν ὕδωρ ἀποίσων τοῖς ἀριστεῦσι· καὶ αὐτὸν ἰδοῦσαι νύμφαι, τοῦ ποταμοῦ τούτου θυγατέρες, ἠράσθησαν, ἀρυόμενον δὲ καταβάλλουσιν εἰς τὴν κρήνην. καὶ ὁ μὲν Ὕλας ἀφανὴς ἐγένετο, Ἡρακλῆς δ', ἐπεὶ αὐτῷ οὐκ ἐνόστει, καταλιπὼν τοὺς ἥρωας ἐξεραυνᾷ πανταχοῖ τὸν δρυμὸν καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν. νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα, μὴ αὐτὸν εὕροι κρυπτόμενον παρ' αὐταῖς, μετέβαλον τὸν Ὕλαν καὶ ἐποίησαν ἠχώ, καὶ πρὸς τὴν βοὴν πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ. καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο πλεῖστα ποιησάμενος ἐξευρεῖν τὸν Ὕλαν, παρεγένετο πρὸς τὴν ναῦν καὶ αὐτὸς μὲν ἔπλει μετὰ τῶν ἀριστέων, Πολύφημον δὲ καταλείπει ἐν τῷ χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ τὸν Ὕλαν. καὶ ὁ μὲν Πολύφημος ἔφθη τελευτήσας, Ὕλᾳ δὲ θύουσιν ἄχρι νῦν παρὰ τὴν κρήνην οἱ ἐπιχώριοι καὶ

1. ἀνέρρηξαν P, ἀνήρρηξαν vulg. ‖ 9. Αἰολεῖς] Ἀόνες Berkel. ‖ κορωνιάδας Galeus. ‖ 10. β' ex Schol. Apoll. 1, 1236 Munck. ‖ 13. κήυκος ἔτυπος (sic, sed lineolis super ι et post σ additis) νέον P: ἀτόπως in mg. Xyl., K. ἐκτόπως vel ὑπερφυῆς ν. Berk. K. νέον δὲ καὶ ἐκτόπως καλὸν Ruhnk., K. τεθηπὼς ν. Toup. em. in Suid. 4. p. 170. ‖ 17. κρωσσὸν P, χρώσσὸν vulg. ‖ 22. ἐξεραυνᾷ P. ‖ 23. f. αἱ νύμφαι. ‖

αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

XXVII. Ἰφιγένεια. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια, καὶ αὐτὴν ἐξέτρεφεν ἡ τῆς Ἑλένης ἀδελφὴ Κλυταιμνήστρα, πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γὰρ πυνθανομένη τῶν ἀδελφῶν ἔφη κόρη παρὰ Θησέως ἀπαλθεῖν. ἐπεὶ δὲ ἡ στρατεία ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προεσήμαινον οἱ μάντεις ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν. Ἀγαμέμνων δὲ διδοῖ σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν, πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ μὲν ἀριστεῖς οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις. Ἄρτεμις δὲ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόσχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον παρὰ Θόαντα τὸν Βορυσθένους παῖδα. καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομάδων ἐκάλεσε Ταύρους, ἐπεὶ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον, αὐτὴν δὲ ταυροπόλον· κατὰ δὲ χρόνον ἱκνούμενον ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην παρὰ τὸν Ἀχιλλέα καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενείας Ὀρσιλοχίαν. ἐγένετο δὲ Ἀχιλλεῖ σύνοικος.

XXVIII. Τυφῶν. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Τυφῶν ἐγένετο γῆς υἱὸς ἑξαίσιος δαίμων πρὸς ἰσχύν, κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπεφύκεσαν γὰρ κεφαλαὶ πλεῖσται καὶ χέρες καὶ πτέρυγες, ἐκ δὲ τῶν μηρῶν μέγιστοι δρακόντων σπεῖραι, φωνὰς δὲ παντοίας ἠφίει καὶ αὐτὸν οὐδὲν ὑπέμενεν εἰς ἀλκήν. οὗτος ἐπεθύμησε τοῦ Διὸς ἔχειν τὴν ἀρχήν, καὶ αὐτὸν ἐπερχόμενον οὐδεὶς ὑπέμεινε τῶν θεῶν,

7. πυνθανομένων Ruhnk. ‖ 9. προεσήμαινον P, προσεσήμαινον vulg.: προὐσήμαινον Koen. ad Greg. p. 116. ‖ 11. σφάγον P, σφαγὸν Roulez. ‖ 12. μὲν add. P, om. vulg. ‖ 18. αὐτὴν δ' ὀσταυροπόλον (sic) P: αὐτὴν δὲ ταυροπόλον Holsten. not. in Steph. Byz. p. 315, αὐτὴν δ. τ. Ouwens noct. Hag. p. 173, sic aut αὐτὴν δὲ ταυροπόλου ἱέρειαν κατέστησε Galeus, αὐτὴν δὲ ἀπέδειξεν ἱέρειαν Ἀρτέμιδος ταυροπόλου Munck. ‖ 19. ἱκούμενον P. ‖ 20. λεγ. νῆσον π. Munck. ‖ 21. ἀγήρω Berkel. ‖ 22. ὀρειλοχίαν adscripto ει super ει P, ὀρειλοχίαν vulg., cf. ind. capp. ‖ 26. χέρες P, legebatur χεῖρες. ‖

ἀλλὰ δείσαντες ἔφυγον πάντες εἰς τὴν Αἴγυπτον, Ἀθηνᾶ δὲ καὶ Ζεὺς ἐπελείφθησαν μόνοι. Τυφῶν δ' ἐκ ποδὸς ἐδίωκεν. οἱ δὲ προμηθείᾳ διώφυγον ἀλλάξαντες εἰς ζῶα τὰς ὄψεις· καὶ Ἀπόλλων μὲν ἐγένετο ἱέραξ, Ἑρμῆς δὲ ἴβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθύς, Ἄρτεμις δὲ αἴλουρος, τράχῳ δὲ εἰκάζεται Διόνυσος, ἔλλῳ δὲ Ἡρακλῆς, βοῒ δ' Ἥφαιστος, μυγαλῇ δὲ Λητώ, καὶ ὡς ἕκαστος ἔτυχε τῶν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν. ἔπειτα δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ, καιόμενος δὲ ὁ Τυφῶν ἔκρυψεν ἑαυτὸν καὶ ἠφάνισε τὴν φλόγα τῇ θαλάσσῃ. Ζεὺς δ' οὐκ ἀνήσειν, ἀλλ' ὃ μέγιστον ὄρος ἐπιβάλλει Τυφῶνι τὴν Αἴτνην καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ἐπὶ τῶν ἄκρων ἐφίστησιν· ὁ δ' ἐνερείσας τοὺς ἄκρωνας αὐταῦ τῷ τραχήλῳ διάπυρον ἐργάζεται μύδρον.

XXIX. Γαλινθιάς. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Προίτου θυγάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιάς. αὕτη παρθένος ἦν συμπαίκτρια καὶ ἑταιρὶς Ἀλκμήνης τῆς Ἠλεκτρύωνος. ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος ἤπειγε τοῦ Ἡρακλέους, Μοῖραι καὶ Εἰλείθυια πρὸς χάριν τῆς Ἥρας κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην. καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι τὰς ἑαυτῶν χεῖρας, Γαλινθιὰς δὲ δείσασα μὴ Ἀλκμήνην ἐκστήσωσι βαρυνομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς Μοίρας καὶ τὴν Εἰλείθυιαν ἐξήγγειλεν ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνῃ παῖς κόρος, αἱ δὲ ἐκείνων τιμαὶ καταλέλυνται. πρὸς δὴ τοῦτ' ἔκπληξις ἔλαβε τὰς Μοίρας καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας, Ἀλκμήνην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες, καὶ ἐγένετο Ἡρακλῆς. αἱ δὴ Μοῖραι πένθος ἐποιήσαντο καὶ τῆς Γαλινθιάδος ἀφείλοντο τὴν κορείαν, ὅτι θνητὴ τοὺς θεοὺς ἐξηπάτησε, καὶ αὐτὴν ἐποίησαν δολερὰν γαλῆν καὶ δίαιταν ἔδωκαν ἐν τῷ μυχῷ καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐνήν· θορίσκεται μὲν γὰρ διὰ τῶν ὠτῶν, τίκτει δ' ἀναφέρουσα τὸ κυούμενον ἐκ τοῦ τραχήλου. ταύτην Ἑκάτη πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ὤπτειρε καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς

3. ζῶια P. ‖ 4. ἱέρας (sic) P. ‖ 5. αἴλουρος P (cf. ind. capp.), corr. Bochart. ‖ 8. ἔπειτα Unger. Theb. parad. I. p. 438, erat ἐπεὶ. ‖ 10. δ' οὐκ ἀνήσειν ἀλλ' ὃ P, δὲ οὐκ ἀνήσει ἀλλὰ vulg. ‖ 18. ἐναίρισα P et ed. pr. ‖ 23. τιμαὶ] φαρμακεῖαι vel λύμαι Boettig. Illth. p. 34. ‖ 27. γαλινθιδος P. ‖ 28. τοὺς] τὰς Berkel. ‖ 30. θορνύεται Berk., θορεῖται Galeus, κυίσκεται Munck. ‖

διάκονον, Ἡρακλῆς δ' ἐπεὶ ηὐξήθη, τὴν χάριν ἀμνημόνευσε καὶ αὐτῆς ἐποίησεν ἀφίδρυμα παρὰ τὸν οἶκον καὶ ἱερὰ προσήνεγκεν. ταῦτα νῦν ἔτι τὰ ἱερὰ Θηβαῖοι φυλάττουσι καὶ πρὸ Ἡρακλέους ἑορτῆς θύουσι Γαληνθιάδι πρώτῃ.

5 XXX. Βυβλίς. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.) Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος. τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι βουλῇ Ἀπόλλωνος ἐφύλαττον καὶ ὤρεγον παρὰ μέρος γάλα, ἔπειτα 10 δὲ βουκόλοι περιτυχόντες ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις. ἐπεὶ δὲ ὁ παῖς ηὔξετο καὶ ἐγένετο καλὸς καὶ δραστήριος καὶ ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον βουλῇ Σαρπηδόνος εἰς Καρίαν ἀποδιδράσκει, καὶ πόλιν ἐνταυθοῖ κτίσας Μίλητον ἔγη- 15 μεν Εἰδοθέην τὴν Εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν Καρῶν. καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ, Καῦνος, ἀφ' οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν Καρίᾳ Καῦνος, καὶ Βυβλίς. ταύτης ἐγένοντο πλεῖστοι μνηστῆρες ἐπιχώριοι καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων. ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχύν, 20 αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου. καὶ τὸ πάθος ἄχρι μὲν ἐδύνατο κρύπτειν ἐλελήθει τοὺς γονεῖς, ἐπεὶ δὲ καθ' ἡμέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλεῖν ἐκ τῆς πέτρας ἑαυτήν. καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παριοῦσα ῥίπτειν ἑαυτὴν ἐπεχείρησε, νύμφαι δὲ κατέσχον οἰκ- 25 τείρασαι καὶ πολὺν ὕπνον ἐνέβαλον καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπων εἰς δαίμονα καὶ ὠνόμασαν Ἀμαδρυάδα νύμφην Βυβλίδα καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα. καλεῖται δὲ καὶ τὸ ῥέον ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις δάκρυον Βυβλίδος.

30 XXXI. Μεσσάπιοι. (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.) Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος καὶ Πευκέτιος. οὗτοι λαὸν ἀθροίσαντες ἀφί-

4. ἑορτῆς θύουσι Γαληνθιάδα Heringa obs. p. 17.: ἑορτῆς item Bastius, legebatur ἑορτῇ. ‖ 7. Μίνων vel Μίνωα Munck. ‖ 10. οἰκίοις Berkel. ‖ 12. ῥθόνον Verheyk. ‖ 16. καῦνος καὶ βυβλὶς ἀφ' P et vulg., corr. Hering. obs. p. 22 : Βιβλὶς legebatur, βυβλὶς hoc solo loco P, restitui Jacobs add. anim. in Ath. p. 56 et altero loco Berkel. ‖ 26. ἀνθρώπου Munck. ‖

κοντα τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν, ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας αὐτοὶ καθιδρύθησαν. ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔθνικον, Ἰλλυριοί, Μεσσάπιοι. ἔπειτα δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέρισαν τραχῇ καὶ ὠνόμασαν ὡς ἑκάστοις ἡγεμόνος εἶχε. Δαυνίους καὶ Πευκετίους καὶ Μεσσαπίους· τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον, τὸ δὲ παρὰ τὴν ἐντὸς τοῦ Τάραντος ἐγένετο Πευκετίων, ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπέπλεον Δαύνιοι, τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπύγων. καὶ ἐγένετο ταῦτα πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας. ἦν δὲ τοῖς τότε βίος ἀπὸ θρεμμάτων καὶ νομῆς. μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας φανῆναι νύμφας Ἐπιμηλίδας χορευούσας, τοὺς δὲ παῖδας τῶν Μεσσαπίων καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους εἰπεῖν ὅτι βέλτιον αὐτοὶ χορεύουσιν. οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας καὶ τὸ νεῖκος ἐπιπλέον ἐγένετο περὶ τῆς χορείας. οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἄμιλλα πρὸς δαίμονας ἠγνόουν, ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητάς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων ἄμουσος ἦν, ταῖς δὲ νύμφαις πᾶν ὅσον [ἢ πλεῖστον] ἐπέδωκεν εἰς κάλλος. καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· „ὦ κοῦροι, τὸ νεῖκος ᾔρασθε πρὸς Ἐπιμηλίδας νύμφας, οὐκοῦν, ὦ ἄφρονες, νικώμενοι δώσετε δίκην.“ καὶ οἱ παῖδες ἅνωθεν ἑστήκεσαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν ἐγένοντο δένδρη, καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων, ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.

XXXII. Δρυόπη. (Ἱστορεῖ Νίκανδρος ἐπεροιουμένων ά.) Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσεν

3. Ἰ. καὶ M. Berkel. ‖ 4. ἔπειτα Unger. Theb. parad. 1. p. 438, erat ἐπεὶ. ‖ 8. ᾤκισται Munck., delevit Cluver. Ital. ant. p. 1209. ‖ ἐκτὸς Berkel.: θάλασσαν post Τάραντος excidisse coni. Munck. ‖ 9. ἔπλεον sive ἔπλεον aut τὴν θάλασσαν ἐπέπλεον Berkel, τῇ θαλάσσῃ Munck ‖ 17. ἐπιπλέον P, legebatur ἐπὶ πλέον. ‖ 21. π. ὅ. ἢ πλ. Munck., π. ὅσον ἦν πλ. Bastius, π. ὅ. ἔπλισσον vel ἐπλίσσοντο Jacobs. ‖ 25. δίνδρη P, δίνδρα vulg. ‖ 27. ἀπὸ νυμφῶν Berkel. ‖ 30. ἐβασίλευσεν P, erat ἐβασίλευσε. ‖

ἐν τῇ Οἴτῃ καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός· ἐπεὶ δὲ αὐτὴν ἠγάπησαν ὑπερφυῶς Ἁμαδρυάδες νύμφαι καὶ ἐποιήσαντο συμπαίκτριαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεοὺς καὶ χορεύειν. ταύ-
5 την ἰδὼν Ἀπόλλων χορεύουσαν ἐπεθύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν πλεμβύς, ἐπεὶ δ' ἡ Δρυόπη γέλωτα μετὰ τῶν νυμφῶν καὶ παίγνιον ἐποιήσατο τὴν κλεμμὺν καὶ αὐτὴν ἐπέθετο εἰς τοὺς κόλπους, μεταβαλὼν ἀντὶ τῆς κλεμμύος ἐγένετο δράκων. καὶ αὐτὴν κατέλιπον αἱ νύμφαι πτοηθεῖ-
10 σαι· Ἀπόλλων δὲ Δρυόπῃ μίγνυται, ἡ δὲ ᾤχετο φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς καὶ οὐδὲν ἔφρασε πρὸς τοὺς γονεῖς. ἐπεὶ δ' ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον. οὗτος ἐπεὶ τάχιστα ἡνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν, καὶ ἔκτισε
15 παρὰ τὴν Οἴτην πόλιν ὁμώνυμον τῷ ὄρει καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευεν. ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι. καὶ εἰς τοῦτο παροῦσαν τὸ ἱερὸν Δρυόπην ἥρπασαν Ἁμαδρυάδες νύμφαι κατ' εὐμένειαν, καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην, ἀντὶ δ' ἐκείνης ἀίγειρον ἀνέφηναν ἐκ τῆς
20 γῆς καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέρρηξαν, Δρυόπη δὲ μετέβαλε καὶ ἀντὶ θνητῆς ἐγένετο νύμφη. Ἄμφισσος δὲ ἀντὶ τῆς πρὸς τὴν μητέρα χάριτος ἱερὸν ἱδρύσατο νυμφῶν καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμου, καὶ ἔτι νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον πα-
25 ρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλωσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

XXXIII. Ἀλκμήνη. (Ἱστορεῖ Φερεκύδης.) Μετὰ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν Εὐρυσθεὺς ἐξελάσας
30 αὐτοὺς τῆς πατρίδος αὐτὸς ἐβασίλευεν. οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως ᾤκησαν τὴν τετράπολιν τῆς Ἀττικῆς, Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς

6. πλεμύς P et in mg. χελώνη. ‖ 11. ἔφρασε P, ἔφασε vulg.: ἔφασκε Munck. ‖ 16. ἐβασίλευεν P, ἐβασίλευον vulg. ‖ 28. cf. Sturz. Pherec. fr. p. 184. ‖ 30. αὐτοὺς] τοὺς ἀπογόνους vel παῖδας αὐτοῦ vel τοὺς αὐτοῦ Munck., δοτοὺς Verheyk., τοὺς Ἡρακλείδας αὐτὸς Lennep. ad Phal. p. 279, αὐτοῦ τοὺς παῖδας αὐτὸς Sturzius atque Bastius. ‖

Ἀθήνας πόλεμον προείλεγε τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν. οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπολέγονται, Εὐρυσθεὺς δ' ἐνέβαλεν εἰς τὴν Ἀττικὴν καὶ παραταξάμενος αὐτὸς μὲν ἀποθνήσκει μαχόμενος, ἡ δὲ πληθὺς ἐτρέπη τῶν Ἀργείων· Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι καὶ οἱ σὺν αὐτοῖς ἀποθανόντος Εὐρυσθέως κατοικίζονται πάλιν ἐν Θήβαις. ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀποθνήσκει καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ παρὰ τὰς Ἠλέκτρας πύλας ὅθπερ καὶ Ἡρακλῆς ἐν τῇ ἀγορᾷ. Ζεὺς δὲ Ἑρμῆν πέμπει κελεύων Ἀλκμήνην ἐκκλέψαι καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους καὶ δοῦναι Ῥαδαμάνθυι γυναῖκα, Ἑρμῆς δὲ πεισθεὶς Ἀλκμήνην ἐκκλέπτει, λίθον δ' ἀνθ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν. οἱ δ' Ἡρακλεῖδαι ἐπεὶ τὴν λάρνακα φέροντες ἐβαρύνοντο, κατατίθενται, καὶ ἀποκαλύψαντες εὗρον ἀντὶ τῆς Ἀλκμήνης λίθον, καὶ αὐτὸν ἐξελόντες ἵστησαν ἐν τῷ ἄλσει ὅθεπέρ ἐστι τὸ ἡρῷον τὸ τῆς Ἀλκμήνης ἐν Θήβαις.

XXXIV. Σμύρνα. Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυίας μιᾶς τῶν νυμφῶν ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ Λιβάνῳ Σμύρνα. ταύτην διὰ κάλλος πλεῖστοι καὶ ἐκ πόλεων πλείστων ἐμνήστευον, ἡ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων καὶ ἀνάθεσιν τοῦ χρόνου· δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ἐπὶ τῷ πατρί. καὶ κατὰ μὲν ἀρχὰς δι' αἰδῶ κατέκρυπτε τὴν νόσον, ἐπεὶ δὲ τὸ πάθος αὐτὴν προῆγεν, ἐξεῖπε τὸν λόγον πρὸς Ἱπολύτην τὴν τροφόν· ἡ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παραλόγου πάθους ὑποσχομένη λόγον πρὸς τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων ποθεῖ παραγενέσθαι κρυφαῖος εἰς τὴν κοίτην. ὁ δὲ Θείας (οὐ γὰρ ἐγίνωσκεν οἷα ἐπ' αὐτῷ ἐμηχανᾶτο) κατήνεσε τὸν λόγον· καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοταῖος ἐπὶ τῆς στρωμνῆς

6. καὶ οὖν αὐτοῖς vulg., σὺν αὐτῷ Munck., καὶ οἱ σὺν αὐτοῖς vel αὐτῷ Abresch., et illud etiam Jacobs anim. in Athen. p. 22 reiecta quam ante in exerc. in scr. vett. 2. p. 187 proposuerat coniectura καὶ Ἀλκμήνη σὺν αὐτοῖς. ‖ 7. πόλιν vulg., πάλιν Abresch., Clavier ad Apollod. 2. p. 385, Bastius et Unger. Theb parad. 1. p. 150. ‖ 17. ἐν θηβ. (sic) P: cuius inter ductus erasos cum ν cognosci queat, ἐν Θήβηοιν Bastius. ‖ 18. Σμύρνα λδ'. ἀδέσποτος Xyl. ‖ 24. προῆγεν P, προυῆγεν vulg.: ἤπαγεν Buhak. ‖

ἐξαδέχετο τὴν κόρην, ἡ δὲ τροφὸς καταπρύψασα τῇ ἐσθῆτι τὴν Σμύρναν παρήγαγον. καὶ πλείονα χρόνον ἐλελήθει πρασσόμενον ἄχαρι καὶ ἄθεσμον ἔργον. καὶ ὡς ἐκύησε μὲν ἡ Σμύρνα, Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν ἥτις ἦν ἡ κύουσα, [καὶ] ὁ μὲν κατέπρυψε πῦρ εἰς τὸν οἶκον, Σμύρνα δ' ὡς ἐξίκετο πρὸς αὐτόν, ἐπάϊστος ἐγένετο προενεχθέντος ἐξαπίνης τοῦ πυρός, καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαστρός, αὐτὴ δ' ἀνασχοῦσα τὰς χεῖρας ηὔξατο μήτε παρὰ ζῶσι μήτ' ἐν νεκροῖς φανῆναι. καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον καὶ ἐκάλεσεν ὁμώνυμον αὐτῇ Σμύρναν· τοῦτο λέγεται κατ' ἔτος ἕκαστον δακρύειν τὸν ἀπὸ τοῦ ξύλου καρπόν. καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης διὰ ἔργον ἀθέμιστον ἑαυτὸν ἀνεῖλε, τὸ δὲ βρέφος Διὸς βουλῇ τρεφόμενον ὠνόμασαν Ἄδωνιν καὶ αὐτὸν Ἀφροδίτη πλεῖστον ἠγάπησε διὰ τὸ κάλλος.

XXXV. Βουκόλοι. (Ἱστορεῖ Μενεκράτης Ξάνθιος Λυκιακοῖς καὶ Νίκανδρος.) Λητὼ ἐπεὶ ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ, ἀφίκετο εἰς Λυκίαν ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ Ξάνθου, καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρῶτα Μελίτῃ κρήνῃ, καὶ προεθυμεῖτο πρὶν ἐπὶ τὸν Ξάνθον ἐλθεῖν ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι. ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττεται καταλιποῦσα τὴν Μελίτην ἡ Λητώ, λύκοι δὲ συναντόμενοι καὶ σήναντες ὑφηγήσαντο τῆς ὁδοῦ καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολούσασα τοὺς παῖδας τὸν μὲν Ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τριμιλίδα λεγομένην Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων. ἐπὶ δὲ τὴν κρήνην αὖτις ἐξίκετο δίκην ἐπιβαλοῦσα τοῖς ἀπελάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπελούοντο ἔτι παρὰ τὴν κρήνην τοὺς βοῦς, Λητὼ δὲ μεταβαλοῦσα πάντας ἐποίησε βατράχους, καὶ λίθῳ τραχεῖ τύπτουσα τὰ νῶτα

2. πρασσόμενος Munck. ‖ 3. καὶ ὡς] ἕως Jacobs. ‖ 5. καὶ in P puncto notatum. ‖ 6. προενεχθέντος P, πρόσενεχθέντος vulg. ‖ 8. erat αὕτη. ‖ 10. ἐκάλεσεν P: ἐκάλεν ed. pr., ἐκάλει Verheyk. ‖ 12. διὰ P, erat δι'. ‖ 25. συναντόμενοι P: συναντώμενοι Jensius lect. Lucian. 1, 7. ‖ 28. Τριμιλίδα ex Steph. Byz. Berkel. ‖

καὶ τοὺς ὤμους κατέβαλε πάντας εἰς τὴν κρήνην καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.

XXXVI. Πανδάρεος. Ἡνίκα Ῥέα φοβουμένη Κρόνον κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν Αἶξ νύμφη μαστὸν ὀρέγουσα. τὴν Αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσεος ἐφύλαττεν. ἐπεὶ δὲ Ζεὺς Τιτῆνας ἐξελάσας τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν Αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστιν ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ. τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας ᾤχετο φέρων εἰς Σίπυλον, καὶ αὐτὸν παρεδέξατο φυλάττειν παρὰ τοῦ Πανδαρέου Τάνταλος ὁ Διὸς καὶ Πλουτοῦς. ἐπεὶ δὲ μετὰ χρόνον Πανδάρεος ἐλθὼν εἰς Σίπυλον ἀπῄτει τὸν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν, Ζεὺς δὲ Πανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐποίησεν ὅθιπερ εἱστήκει πέτρον, Τάνταλον δὲ, ἐπεὶ τὸν ὅρκον ἐψεύσατο, κατέβαλε καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὸν Σίπυλον.

XXXVII. Δωριεῖς. Διομήδης μετὰ τὴν ἅλωσιν Ἰλίου παραγενόμενος εἰς Ἄργος Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν ἑαυτοῦ χάριν ἔργων Ἀφροδίτης, αὐτὸς δὲ εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο καὶ ἀνελὼν Ἄγριον καὶ τοὺς παῖδας Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀποδίδωσιν. αὖτις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον. ἐπεὶ δὲ παραγενόμενον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς ὁ τῶν Δαυνίων, ἐδεήθη τὸν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίους ἐπὶ μέρει γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτοῦ. καὶ Διομήδης ὑποδέχεται τὸν λόγον. ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τοὺς Μεσσαπίους καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμε τοῖς σὺν αὐτῷ, δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίου, Διομήδη καὶ Ἀμφίνομον. τελευτήσαντα δ' αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις ἐκτέρισαν οἱ Δωριεῖς ἐν τῇ νήσῳ καὶ ὠνόμασαν αὐτὴν Διο-

6. αἶξ hic et infra vulg. ‖ 7. Τιτῆνας P, Τιτᾶνας vulg. ‖ 17. καὶ ἐπηώρει αὐτῷ ὑπὲρ Koen. ad Greg. p. 40. ‖ 25. παραγενόμενον] rursus duo post hoc voc. folia ex P exciderunt. ‖

μήδειαν, αὐτοὶ δ' ἐγεώργουν ἣν ἐδάσαντο παρὰ τοῦ βασιλέως γῆν, καὶ αὐτοῖς ἐξέφερε πλεῖστον καρπὸν κατ' ἐμπειρίαν γεωργικῶν ἔργων. Δαυνίου δ' ἀποθανόντος ἐπεβούλευσαν Ἰλλυριοὶ βάρβαροι κατὰ φθόνον αὐτῶν τῆς γῆς καὶ ἀνεῖλον
5 ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας ἐπιφανέντες οἱ Ἰλλυριοὶ τοὺς Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων, αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας. καὶ ἔτι νῦν Ἑλληνικὴ μὲν ἐπὰν καθορμίσηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ ὄρνιθες, Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν καὶ ἀφανίζονται
10 πάντες ἐκ τῆς νήσου.

XXXVIII. *Αὔκος.* (Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α'.) Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως. τοῦτον ἐφίλησε περισσῶς Αἰακός, ὅτι καλὸς
15 κἀγαθὸς ἦν ἀνήρ. Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ κτείνουσι θανάτῳ κρυφαίῳ καὶ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλειπον. ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον, Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου καὶ ἱκετεύσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον·
20 καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ἐπὶ συὸς βολῇ κτείνει, καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον, οὗ ὑπὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ἔργον *** καταλείπεται μόνος ἐν τῷ Πηλίῳ. καὶ πλαζόμενος ἐντυγχάνει Χείρωνι τῷ Κενταύρῳ, ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον. καὶ
25 Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου. ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος, ἀλλὰ Πηλεὺς ἀπαγαγὼν ἀφίησι κατὰ χρησμὸν θεοῦ. καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει, καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν ἐγένετο πέτρος, καὶ
30 ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.

XXXIX. *Ἀρκεοφῶν.* (Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ β'.) Ἀρκεοφῶν ὁ Μιννυρίδου πόλεως μὲν ἦν Σαλαμῖνος τῆς ἐν Κύπρῳ, γονέων δὲ οὐκ ἐπιφανῶν (ἦσαν γὰρ ἐκ Φοινίκης),

5. καὶ ἐπιφανέντες ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας deletis οἱ—Δωριεῖς Fontelnius. ‖ 8. καθορμίζηται Dorvill. ad Char. p. 118. ‖ 19. αὐτοῦ Munckerus. ‖ 21. οὗ παρὰ γυναικὸς διαβληθεὶς πρὸς ἀφρ. ἐ. idem. ‖

χρήμασι δὲ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερήνεγκεν. οὗτος ἰδὼν τὴν θυγατέρα τὴν Νικοκρέοντος τοῦ Σαλαμινίων βασιλέως ἠράσθη. γένος δ' ἦν τοῦ Νικοκρέοντος ἀπὸ Τεύκρου τοῦ ξυνελόντος Ἴλιον Ἀγαμέμνονι, παρ' ὃ καὶ μᾶλλον ὁ Ἀρκεσφῶν ἐφίετο τοῦ γάμου τῆς παιδός, καὶ ὑπέσχετο πλεῖστα παρὰ τοὺς ἄλλους μνηστῆρας ἀποίσειν ἕδνα. Νικοκρέων δ' οὐχ ὑποδέχεται τὸν γάμον κατ' αἰσχύνην γένους τοῦ Ἀρκεσφῶντος, ὅτι αὐτῷ πατέρες ἦσαν Φοίνικες. Ἀρκεσφῶντι δ' ἀποτυγχανομένῳ πρὸς τὸν γάμον πολὺ χαλεπώτερος ἦν ὁ ἔρως, καὶ νυκτὸς ἐπὶ τὰ οἰκία τῆς Ἀρσινόης ἐφοίτα καὶ διενυκτέρευσε μετὰ τῶν ἡλικιωτῶν. ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ἔργον οὐδὲν ἐπυγχάνετο, πείθει τροφὸν ἑαυτοῦ καὶ πλεῖστα δῶρα πέμψας ἐπειράθη τῆς παιδός, εἴ πως αὐτῷ δύναιτο κρύφα μιχθῆναι τῶν γονέων. ἡ δὲ παῖς, ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσήνεγκε, κατεμήνυσε πρὸς τοὺς γονέας, οἱ δὲ γλῶσσαν ἄκραν καὶ ῥῖνα καὶ δακτύλους ἀποτεμόντες τῆς τροφοῦ καὶ λωβησάμενοι ἀνοίκτρως ἐξήλασαν ἐκ τῶν οἰκιῶν. καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεός. Ἀρκεσφῶν μὲν οὖν καθ' ὑπερβολὴν πάθους καὶ ὑποψίαν τὴν πρὸς τὸν γάμον ἑκὼν ἀποθνήσκει κατὰ τροφῆς ἔνδειαν, οἱ δὲ πολῖται τὸν θάνατον οἰκτείραντες ἐπένθησαν, ἡμέρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσήκοντες. καὶ οἱ μὲν ἔμελλον κηδεύσειν, Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν ἐκ τῶν οἴκων ἐκκύψασα τὸ σῶμα τὸ τοῦ Ἀρκεσφῶντος κατακαιόμενον ἰδεῖν. καὶ ἡ μὲν ἐθεᾶτο, μισήσασα δὲ τὸ ἦθος Ἀφροδίτη μετέβαλεν αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώπου λίθον καὶ τοὺς πόδας ἐρρίζωσεν ἐπὶ τὴν γῆν.

XL. Βριτόμαρτις. Κασσιεπείας τῆς Ἀραβίου καὶ Φοίνικος τοῦ Ἀγήνορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς ἐγέννησε Βριτόμαρτιν. αὕτη φυγοῦσα τὴν ὁμιλίαν τῶν ἀνθρώπων ἠγάπησεν ἀεὶ παρθένος εἶναι. καὶ παρεγένετο πρῶτα μὲν ἐπ' Ἄργος ἐκ Φοινίκης παρὰ τὰς Ἐρασίνου θυγατέρας Βύζην καὶ Μελίτην καὶ Μαίραν καὶ Ἀγχιρόην, ἔπειτα δ' ἐκ

12. ἑαυτοῦ] αὐτῆς Valckenar. ‖ πλεῖστα] hic rursus P incipit. ‖ 13. ἐπειράσθη Munck. ‖ αὐτῇ Pletsch ad Moer. p. 310. ‖ 17. ἀνοικτρῶς vulg. ‖ οἰκιῶν P et Xyl. ‖ 19. ὑπερόψιαν Munck., ἀποτυχίαν Jacobs add. animadv. in Athen. p. 81. ‖

τοῦ Ἄργους εἰς Κεφαλληνίαν ἀνέβη καὶ αὐτὴν ὠνόμασαν οἱ Κεφαλλῆνες Λαφρίαν, καὶ ἱερὸν ἤγαγον ὡς θεῷ. ἔπειτα ἔρχεται εἰς Κρήτην, καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐρασθεὶς ἐδίωκεν, ἡ δὲ κατέφυγε παρ' ἄνδρας ἁλιέας· οἱ δὲ αὐτὴν κατ-
5 έδυσαν εἰς τὰ δίκτυα καὶ ὠνόμασαν ἐκ τούτου Κρῆτες Δίκτυνναν καὶ ἱερὰ προσήνεγκαν. ἐκφυγοῦσα δὲ Μίνωα ἐξίκετο ἡ Βριτόμαρτις εἰς Αἴγιναν ἐν πλοίῳ σὺν ἀνδρὶ ἁλιεῖ Ἀνδρομήδει. καὶ ὁ μὲν αὐτῇ ἐνεχείρησεν ὀρεγόμενος μιχθῆναι, ἡ δὲ Βριτόμαρτις ἀποβᾶσα ἐκ τοῦ πλοίου κατέφυγεν εἰς ἄλσος
10 ὅθιπερ ἐστὶ νῦν αὐτῆς τὸ ἱερόν, κἀνταῦθα ἐγένετο ἀφανὴς καὶ ὠνόμασαν αὐτὴν Ἄφαιαν. ἐν δὲ τῷ ἱερῷ τῆς Ἀρτέμιδος τόν τε τόπον, ἐν ᾧ ἀφανὴς ἐγένετο ἡ Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται καὶ ὠνόμασαν Ἀφάην καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ.

15 XLI. Ἀλώπηξ. Κέφαλος ὁ Δηιόνος ἔγημεν ἐν Θορικῷ τῆς Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως. ἦν δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ ἀνδρεῖος· ἐρασθεῖσα δὲ διὰ τὸ κάλλος ἥρπασεν αὐτὸν Ἠὼς καὶ ἐποιήσατο σύνοικον. τότε δ' οὖν ὁ Κέφαλος ἐπειρᾶτο τῆς Πρόκριδος, εἰ συμμί-
20 νειν ἀδιάφθορος αὐτῷ ἔθελήσαι. καὶ αὐτὸς μὲν καθ' ἥντινα πρόφασιν ἐσκήψατο εἰς θήρας ἰέναι, Πρόκριδι δὲ εἰσαπέστελλεν ἄνδρα οἰκέτην ἀγνῶτα φέροντα χρυσὸν πολύν, καὶ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν ὅτι ἀνὴρ ξένος ἐρασθεὶς διδοῖ τοῦτο τὸ χρυσίον, εἰ αὐτῷ συγγένοιτο. ἡ
25 δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπολέγεται τὸν χρυσόν, ἐπεὶ δὲ διπλάσιον εἰσέπεμψεν, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον. ὁ δὲ Κέφαλος ὅτε αὐτὴν ἔγνω παρελθοῦσαν εἰς τὸν οἶκον καὶ κατακλινεῖσαν ὡς παρὰ τὸν ξένον, δᾷδα καιομένην παρήνεγκε καὶ κατεφώρασεν αὐτήν. Πρόκρις δὲ καταλιποῦσα
30 τὸν Κέφαλον ὑπ' αἰσχύνης ᾤχετο φεύγουσα παρὰ Μίνωα τὸν βασιλέα τῶν Κρητῶν. καταλαβοῦσα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας ὑπισχνεῖτο καὶ ἐδίδασκε τὸν τρόπον αὐτῷ, εἰ

2. ἱερον adpicta ad mg. lineola P: ἷερον Xyl., ἱρὸν Verh., ἱερὸν vett., sed ἱερεῖς ἤγαλλον Ruhnk. ‖ 11. αφαιαν (sic) P: cf. ind. capp. ‖ 12. τόν τε] τόνδε vel τὸν Munck., τόνδε Kochius: quid sit in P non traditur. ‖ 21. ἐσκέψατο Munck. ‖ εἰσαπέστελλεν Munck. ‖ 22. οἰκέτην adjecto ἡ super ε P, ex quo οἰκήτην coni. Bastius. ‖ 32. ὑπισχνεῖται διδάσκειν idem, ὑπισχνεῖτο τέκνα καὶ ἐδ.

γένοιντο παῖδες. ὁ γὰρ Μίνως οὔρεσκεν ὄφεις καὶ σκορπίους καὶ σπολοπένδρας, καὶ ἀπέθνησκον αἱ γυναῖκες ὅσαις ἐμέγνυτο. Πασιφάῃ δ' ἦν Ἡλίου θυγάτηρ ἀθάνατος. ἥ γ' οὖν Πρόκρις ἐπὶ τῇ γονῇ Μίνωος μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν, καὶ ὁ Μίνως τοὺς ὄφεις πρότερον ἐξέκριναν εἰς τὴν κύστιν, ἔπειτα δὲ παρὰ τὴν Πασιφάην εἰσιὼν ἐμίγνυτο. καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως διδοῖ τῇ Πρόκριδι τὸν ἄκοντα καὶ τὸν κύνα· τούτους δὲ οὐδὲν ἐξέφυγε θηρίων, ἀλλὰ πάντα ἐχειροῦντο. καὶ ἡ Πρόκρις δεξαμένη ἀφίκετο εἰς Θορικὸν τῆς Ἀττικῆς, ὅπου ὤκει ὁ Κέφαλος, καὶ σὺν αὐτῷ ἐκυνηγέτει ἐξαλλάξασα τὴν ἐσθῆτα καὶ τὴν κουρὰν τῆς κεφαλῆς εἰς ἄνδρα, καὶ οὐδεὶς αὐτὴν ἰδὼν ἐγνώρισεν. Κέφαλος δὲ ἰδὼν ὅτι αὐτῷ μὲν οὐδὲν ἐπετύγχανε τῶν πρὸς τὴν θήραν, ἅπαντα δὲ συνέφερε πρὸς τὴν Πρόκριν, ἐπεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν. καὶ προσυπέσχετο δώσειν, εἰ αὐτῇ τῆς ὥρας ἐθελήσαι τῆς ἑαυτοῦ χαρίσασθαι. ὁ δὲ Κέφαλος παρέχεται τὸν λόγον, καὶ οτε κατεκλίνησαν, ἐξέφηνεν ἑαυτὴν ἡ Πρόκρις καὶ ὠνείδισε τὸν Κέφαλον, ᾗ αὐτὸς πολὺ αἴσχιον ἐξαμάρτοι. καὶ τὸν μὲν κύνα καὶ τὸν ἄκοντα λαμβάνει Κέφαλος· Ἀμφιτρύων δὲ χρήζων τοῦ κυνὸς ἐξίκετο παρὰ τὸν Κέφαλον, εἴ γε ἐθελήσειεν ἅμα αὐτῷ ἐπὶ τὴν ἀλώπεκα βῆναι σὺν τῷ κυνί, καὶ ὑπέσχετο τῆς λείας Ἀμφιτρύων ἀποίσειν τῷ Κεφάλῳ τὴν μοῖραν ἣν ἂν ἐκ τῶν Τηλεβόων λάβῃ. ἐφάνη γὰρ ἐν χρόνῳ τούτῳ Καδμείοις ἀλώπηξ, χρῆμά τι ἐξηλλαγμένον· αὕτη συνεχῶς ἐκ τοῦ Τευμησσοῦ κατιοῦσα πολλάκις τοὺς Καδμείους ἡρπάζετο· καὶ αὐτῇ προὐτίθεσαν παιδίον διὰ τριακοστῆς ἡμέρας, ἡ δὲ κατήσθιε λαμβάνουσα. καὶ ἐπειδὴ Ἀμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ἐπὶ Τηλεβόας αὐτῷ συστρατεῦσαι καὶ οἴδ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα

Jacobs. ‖ εἰ γένοιντο παῖδες. ὁ γὰρ μίνως οὔρεσκεν P in mg. adscripta habet: inseruit post σκολοπένδρας Xyl. et sic vulg., Bastius recte post αὐτῷ, et sic iam Salmasius, nisi quod corr. τρόπον ᾧ γένοιντο παῖδες αὐτῷ, Verh. ὃν τρόπον αὐτῷ γένοιντο παῖδες, Jacobs τὸν τρόπον αὐτῷ ᾗ γ. π. ‖ 1. οὔρησεν Munck. ‖ 4. γ. ξὺν τοῦ Μίνωος Berk. vit. in ed. 1, ex quo fecit Munckerus γ. τοῦ Μίνωος χρῆμα μ. τ. ‖ 16. καὶ Πρόκρις ὑπέσχετο Schaefer. ad Long. p. 388. ‖ 17. παραδέχεται Munck. ‖ 19. ἧς Verheyk. ‖

σύνεξέλοι, συντίθεται Ἀμφιτρύων ἐπὶ τούτοις πρὸς τοὺς Καδμείους. καὶ ἐλθὼν πρὸς τὸν Κέφαλον ἔλεγε τὴν συνθήκην καὶ ἔπειθε βῆναι εἰς ἄσσον τῷ κυνί, ὁ δὲ Κέφαλος ἀποδέχεται καὶ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα. ἦν δὲ θεμιτὸν οὔτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος διώκοντος οὔτε τὸν κύνα ἐκφυγεῖν διωκόμενον οὐδέν. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἰδὼν ἐποίησεν ἀμφοτέρους λίθους.

3. εἰς *Τευμησσὸν* vel εἰς *Θήβας σὺν τῷ κυνί* Munck., ἐπ' *ἴσους* σ. τ. κ. Valcken., εἰς *ἆθλον* σ. τ. κ. Ruhnk., εἰς *ἄλσος* vel εἰς *θήραν* vel ἐπ' *αὐτὴν* Verheyk, verbum εἰσάσσω (εἰσαΐσσω) latere visum est Bastio. ‖ 4. *ἦν*] οὐκ *ἦν* Verh. ‖ τῇ *ἀλώπεκι* P, corr. Xyl. ‖ 5. legebatur οὐδὲ.

[ΕΡΑΤΟΣΘΕΝΟΥΣ]

ΚΑΤΑΣΤΕΡΙΣΜΟΙ

I. Ἄρκτος ἡ μεγάλη. Ταύτην Ἡσίοδός φησι Λυκάονος θυγατέρα ἐν Ἀρκαδίᾳ οἰκεῖν, ἑλέσθαι δὲ μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τόῖς ὄρεσι ποιεῖσθαι, φθαρεῖσάν τε ὑπὸ Διὸς ἐμμεῖναι λανθάνουσαν τὴν θεόν· φώραθῆναι δὲ ὕστερον ἐπίτοκον ἤδη οὖσαν, ὀφθεῖσαν ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν θεὸν ἀποθηριῶσαι αὐτήν, καὶ οὕτως τεκεῖν ἄρκτον γενομένην τὸν κληθέντα Ἀρκάδα. οὖσαν δ' ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι μετὰ τοῦ βρέφους τῷ Λυκάονι. μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ τοῦ Διὸς ἄβατον ἱερὸν ἀγνοήσασαν τὸν νόμον· ὑπὸ δὲ τοῦ ἰδίου υἱοῦ διωκο-

Tit. ἀστροθεσίαι ζωδίων V. ‖ 1. inscr. ἄρκτου μεγάλης V, ἄρκτος μεγάλη M: cf. Arat. phaen. 26. Hygin. poet. astr. 2, 1. 3, 1. Schol. Germ. 24. ‖ cf. Hes. fr. ed. Marekscheffel p. 353 sq. ‖ initio cap. Καλλιστὼ ex Hyg. et Germ. supplevit Matthiae. ‖ 2. θυγ. εἶναι καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι ex Schol. Arati Schaubach. ‖ 4. Διὸς ἐν Μαινάλῳ μεῖναι Rahnkenius. ‖ 5. ἐπὶ τόκον OV: ἐπίτοκον Koppiers, vulg. ἐπὶ τόκου. ‖ 7. τεκεῖν post γενομένην transponi volvit Schaubach. ‖ 8. ὑπὸ αἰπόλων τινῶν] a quibusdam Aetolorum Hyginus. cf. id. 2, 4. ‖ 11. ἱερὸν delevit Koppiers: εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον Schol. Arati. ‖ ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην, ὑπὸ δὲ τῶν Ἀρκάδων ἀναιρεῖσθαι Koppiers: ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην. τῶν Ἀρκάδων δὲ αὐτὴν ἀναιρεῖν μελλόντων Schol. Arati: ibi dicitur inscia legis in Jovis Lycaei templum se coniecisse, quam confestim filius est secutus; itaque cum eos Arcades insecuti interficere conarentur Hyginus, post tempus in Lycaei Jovis templum confugientem, cum eam Arcas filius sequeretur, quo eam nefas erat intrare, ab Arcadibus utrique interfecti sunt Schol. Germ. ‖

μένην καὶ τῶν Ἀρκάδων καὶ ἀναιρεῖσθαι μέλλουσαν διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν· Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ συμβεβηκὸς αὐτῇ σύμπτωμα. — Ἔχει δὲ ἀστέρας
5 ἐπὶ τῆς κεφαλῆς ζ' ἀμαυρούς, ἐφ' ἑκατέρων ὠτίων β', ἐπ' ὠμοπλατῶν λαμπρὸν α', ἐπὶ τοῦ στήθους β', ἐπὶ τῆς ῥάχεως λαμπρὸν α', ἐπὶ σκέλεσιν [ἐμπροσθίοις β'] ὀπισθίοις β', ἐπ' ἄκρῳ τῷ ποδὶ β', ἐπὶ τῆς κέρκου γ'· τοὺς πάντας κδ'.

Η. Ἄρκτος ἡ μικρά. Αὕτη ἐστὶν ἡ μικρὰ καλουμένη·
10 προσηγορεύθη δὲ ὑπὸ τῶν πλείστων Φοινίκη. ἐτιμήθη δὲ ὑπὸ τῆς Ἀρτέμιδος· γνοῦσα δὲ ὅτι ὁ Ζεὺς αὐτὴν ἔφθειρεν, ἠγρίωσεν αὐτήν· ὕστερον δὲ σεσωσμένῃ λέγεται δόξαν αὐτῇ περιθεῖναι, ἀντιθεῖσαν ἕτερον εἴδωλον ἐν τοῖς ἄστροις, ὥστε διασὰς ἔχειν τιμάς. Ἀγλαοσθένης δὲ ἐν τοῖς Ναξικοῖς φησι
15 τροφὸν γενέσθαι τοῦ Διὸς Κυνόσουραν, εἶναι δὲ μίαν τῶν Ἰδαίων νυμφῶν, ἀφ' ἧς ἐν μὲν τῇ πόλει τῇ καλουμένῃ Ἰστοῖς [τοὔνομα τοῦτο ἦν], ἣν οἱ περὶ Νικόστρατον ἔκτισαν, καὶ τὸν ἐν αὐτῇ δὲ λιμένα καὶ τὸν ἐπ' αὐτῇ τόπον Κυνόσουραν κληθῆναι. Ἄρατος δὲ αὐτὴν καλεῖ Ἑλίκην, ἐκ Κρήτης οὖ-
20 σαν· γενέσθαι δὲ Διὸς τροφόν, καὶ διὰ τοῦτο ἐν οὐρανοῖς

2. διὰ τὸ συγγεγενῆσθαι αὐτῇ Heynius. ‖ αὐτῆς omisso altero αὐτὴν Schol. Arati. ‖ 5. ἀφ' S. ‖ ἐκ τῶν νώτων (scr. τῶν ὠτίων) Schol. Arati. ‖ ἐπ' h. l. et in sqq. eandem praepositionem in astrorum situ indicando saepe numero om. OVS, quod semel notavisse satis habeo. ‖ 7. ἐμπροσθίοις β' add. Fellus: ἐπὶ τοῖς ἔμπροσθεν ποσὶ β' Schol. Arati. ‖ 8. κδ'] XXI Hyginus. ‖ 9. inscr. ἄρκτου μικρᾶς V, ἄρκτος μικρά M: cf. Arat. phaen. 26. Hygin. poet. astr. 2, 2. 3, 1. Schol. Germ. 24. ‖ καλουμένη Κυνόσουρα διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, πρ. ex Schol. Ar. 36 Schaubachius, α. ἑ. ἡ Κυνόσουρα καλ. Heynius. ‖ 10. καὶ τιμήθη δὲ V. ‖ 11. γνοῦσα γὰρ ἡ θεὰ ὅτι vel γνοῦδα δὲ αὕτη ὅτι Heynius. ‖ 12. σεσωφρονισμένῃ Bernhardy Erat. p. 118. ‖ 13. ἀνατιθεῖσα Heynius. ‖ 14. Ἀγασθένης OV: *Agathosthenes in Asiaticis carminibus* Schol. Germ., *Aglaosthenes qui Naxica conscripsit* Hyginus. ‖ 16. Ἴστρῳ Schaubach: *Hystoe* Schol. Germ. *Heslicea* Hygin., sed apud hunc quoque libri *Histoe*, i. e. Ἰστοί. ‖ 17. τοὔνομα—ἦν susp. Heynio. ‖ 18. δὲ delevit idem qui et λόφον p. τόπον: *et portum qui ibi est et agri maiorem partem* Hyginus. ‖ 19. Ἄρ. δὲ αὐτὴν λέγει καὶ Ἑλίκην ἐκ Κρήτης οἴσαν γενέσθαι Διὸς τροφόν Arnald. lectt. gr. 2, 1. p. 137, Ἄρ. δέ φησαν αὐτ. καὶ Ἑ. ἐκ Κρ. οὖσ. γ. Δ. τροφούς Schaubach: *Aratus Cynosuram et Helicem Cretenses Jovis nutrices fuisse dicit, ob quod sunt caelesti donatae honore* Schol. Germ. ‖ 20. οὐρανῷ Heynius. ‖

τιμῆς ἀξιωθῆναι. — Ἔχει δὲ ἀστέρας ἐπὶ μὲν ἑκάστης γωνίας τοῦ πλινθίου λαμπρὸν α', ἐπὶ δὲ τῆς κέρκου λαμπροὺς γ'· τοὺς πάντας ζ'. ὑπὸ δὲ τὸν ἕτερον τῶν ἡγουμένων κατώτερός ἐστιν ἄλλος ἀστήρ, ὃς καλεῖται Πόλος, περὶ ὃν δοκεῖ ὅλος ὁ πόλος στρέφεσθαι. 5

III. Δράκων. Οὗτός ἐστιν ὁ μέγας τε καὶ δι' ἀμφοτέρων τῶν Ἄρκτων κείμενος. λέγεται δὲ εἶναι ὁ τὰ χρύσεα μῆλα φυλάσσων, ὑπὸ δὲ Ἡρακλέους ἀναιρεθείς· ᾧ καὶ ἐν τοῖς ἄστροις τάξις ἐδόθη δι' Ἥραν, ἣ κατέστησεν αὐτὸν ἐπὶ Ἑσπέρας φύλακα τῶν μήλων. Φερεκύδης γάρ φησιν, ὅτε 10 ἐγαμεῖτο ἡ Ἥρα ὑπὸ Διός, φερόντων αὐτῇ τῶν θεῶν δῶρα τὴν Γῆν ἐλθεῖν φέρουσαν τὰ χρύσεα μῆλα· ἰδοῦσαν δὲ τὴν Ἥραν θαυμάσαι, καὶ εἰπεῖν καταφυτεῦσαι εἰς τὸν τῶν θεῶν κῆπον, ὃς ἦν παρὰ τῷ Ἄτλαντι. ὑπὸ δὲ τῶν ἐκείνου παρθένων ἀεὶ ὑφαιρουμένων τῶν μήλων κατέστησε φύλακα τὸν 15 Ὄφιν ὑπερμεγέθη ὄντα. μέγιστον δὲ ἔχει σημεῖον· ἐπίκειται δὲ αὐτῷ Ἡρακλέους εἴδωλον, ὑπόμνημα τοῦ ἀγῶνος Διὸς θέντος ἐναργέστατον τῇ σχηματοποιίᾳ. — Ἔχει δὲ ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς λαμπροὺς γ', ἐπὶ δὲ τοῦ σώματος ἕως τῆς κέρκου ιβ' παραπλησίους ἀλλήλοις, διεστῶτας δὲ διὰ τῶν 20 Ἄρκτων· [τοὺς πάντας ιε'.]

IV. Ὁ ἐν γόνασιν. Οὗτος, φασίν, Ἡρακλῆς ἐστιν ὁ ἐπὶ τοῦ Ὄφεως βεβηκώς. ἐναργῶς δὲ ἕστηκε τό τε ῥόπαλον ἀνατετακὼς καὶ τὴν λεοντῆν περιειλημμένος. λέγεται δὲ,

1. ἑκατέρας S. ‖ 2. τῆς S, τοῦ V et ut videtur O, nam sic Fellus. ‖ 3. ὑπὸ—ἡγουμένων delenda aut scribendum ὑπὸ δ. τ. ἑ. τ. ἡ. ἐν τοῖς προτέροις τῆς οὐρᾶς censuit Petavius uranol. var. diss. 3, 4. ‖ κατώτερος om. S. ‖ 4. ὃν] οὗ Fellus. ‖ 5. ὅλος add. VS: δ. τὸ ὅλον στρ. Koppiers, f. ὅλος ὁ κύκλος vel κόσμος: *altera quae vocatur Polus, in quo a quibusdam putatur totus orbis circumverti* Schol. Germ. ‖ 6. inscr. διράκοντος V: cf. Arat. phaen. 46. Hygin. poet. astr. 2, 3. 3, 2. Schol. Germ. 48. ‖ 7. λέγεται—ἀναιρεθείς post μήλων transposuit Schaubach. ‖ 9. ἐπὶ τῆς ἑσπ. V. ‖ 10. Ἑσπερίδας Bernhardy Erat. p. 122. ‖ cf. Sturz Pherec. fr. p. 133. ‖ 15. καταστῆσαι Koppiers. ‖ 16. μέγιστον—σημεῖον susp. Schaubachio: sed *hoc etiam signi erit, quod in sideribus supra eum Draconem Herculis simulacrum ostenditur, ut Eratosthenes demonstrat* Hyginus. ‖ 19. γ'] ε' Schaubach: *in capite splendidas tres* Schol. Germ. ‖ 20. διεστὼς VS, et sic Fellus. ‖ 21. τοὺς π. ιε' add. Fellus. ‖ 22. inscr. τοῦ ἐν γόνασιν V, ὁ ἐν γόνασι M, vulg. ὁ Ἐγγόνασιν: cf. Arat. phaen. 65. Hygin. poet. astr. 2, 6. 3, 5. Schol. Germ. 65. ‖ 24. τῇ ἀριστερᾷ post ἀνατετακὼς addi volunt Schaubach. ‖ προβεβλημένος Kop-

ὅτε ἐπὶ τὰ χρύσεα μῆλα ἐπορεύθη, τὸν Ὄφιν, τὸν τεταγμένον φύλακα, ἀνελεῖν· ἦν δὲ ὑπὸ Ἥρας δι' αὐτὸ τοῦτο τεταγμένος, ὅπως ἀνταγωνίζηται τῷ Ἡρακλεῖ· ὅθεν ἐπιτελεσθέντος τοῦ ἔργου μετὰ κινδύνου ἄξιον ὁ Ζεὺς κρίνας τὸν ἆθλον μνήμης ἐν τοῖς ἄστροις ἔθηκε τὸ εἴδωλον. ἔστι δὲ ὁ μὲν Ὄφις μετέωρον ἔχων τὴν κεφαλήν, ὁ δ' ἐπιβεβηκὼς αὐτῷ τεθεικὼς τὸ ἓν γόνυ, τῷ δ' ἑτέρῳ ποδὶ ἐπὶ τὴν κεφαλὴν ἐπιβαίνων, τὴν δὲ δεξιὰν χεῖρα ἐκτείνων, ἐν ᾗ τὸ ῥόπαλον, ὡς παίσων, τῇ δ' εὐωνύμῳ χειρὶ τὴν λεοντῆν περιβεβλημένος. — Ἔχει δ' ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α', βραχίονος δεξιοῦ λαμπρὸν α', ἐφ' ἑκατέρων ὤμων λαμπρὸν α', ἐπ' ἄκρας χειρὸς α', ἐφ' ἑκατέρας λαγόνος α', λαμπρότερον δὲ τὸν ἐπὶ τῆς ἀριστερᾶς, ἐπὶ δεξιοῦ μηροῦ β', γόνατος α', καμπῆς α', κνήμης β', ποδὸς α', ὑπὲρ τὴν δεξιὰν χεῖρα α', ὃς καλεῖται Ῥόπαλον, ἐπὶ τῆς λεοντῆς δ'· τοὺς πάντας ιθ'.

V. Στέφανος. Οὗτος λέγεται ὁ τῆς Ἀριάδνης· Διόνυσος δὲ αὐτὸν εἰς τὰ ἄστρα ἔθηκεν, ὅτε τοὺς γάμους οἱ θεοὶ ἐν τῇ καλουμένῃ Δίᾳ ἐποίησαν, ᾧ πρώτῳ ἡ νύμφη ἐστεφανώσατο παρὰ Ὡρῶν λαβοῦσα καὶ Ἀφροδίτης. Ἡφαίστου δὲ ἔργον εἶναί φασιν ἐκ χρυσοῦ πυρώδους καὶ λίθων Ἰνδικῶν. ἱστορεῖται δὲ καὶ διὰ τούτου τὸν Θησέα σεσῶσθαι ἐκ τοῦ λαβυρίνθου, φέγγος ποιοῦντος· φασὶ καὶ τὸν πλόκαμον ταύτης εἶναι τὸν φαινόμενον ἐπὶ τῆς κέρκου τοῦ Λέοντος. — Ἔχει δὲ ἀστέρας ὁ Στέφανος ἐννέα κύκλῳ κειμένους, ὧν εἰσι λαμπροὶ οἱ κατὰ τὴν κεφαλὴν τοῦ Ὄφεως τοῦ διὰ τῶν Ἄρκτων.

VI. Ὀφιοῦχος. Οὗτός ἐστιν ὁ ἐπὶ Σκορπίου ἑστηκώς, ἔχων ἐν ἀμφοτέραις χερσὶ τὸν Ὄφιν. λέγεται δὲ εἶναι Ἀσκληπιός, ὃν Ζεὺς χαριζόμενος Ἀπόλλωνι εἰς τὰ ἄστρα ἀνήγαγεν.

piers. ‖ 12. τῆς ἀριστερᾶς post ἄκρας supplevit Schaubach. ‖ 13. δεξιοῦ] ἀριστεροῦ idem, qui et λαμπρότερον—ἀριστερᾶς post β' demum inseri voluit. ‖ 15. ιθ'] XXIV Schol. Germ. ‖ 16. inscr. στεφάνου V: cf. Arat. phaen. 71. Hygin. poet. astr. 2, 5. 3, 4. Schol. Germ. 70. ‖ 17. αὐτὸν V, ut et corr. Koppiers: αὐτὴν Fellus. ‖ 18. ἴδῃ O, ἴδῃ V, *Dia* Hyginus. ‖ 27. inscr. ὀφιούχου V: cf. Arat. phaen. 75. Hygin. poet. astr. 2, 14. 3, 13. Schol. Germ. 72. ‖ ὁ ἐπὶ om. M. ‖ 29. ἄστρα] ὅπλα O. ‖ ἀνήγαγεν V, vulg. ἀνήγαγε. ‖

τοῦτον τέχνῃ ἰατρικῇ χρώμενον, ὡς καὶ τοὺς ἤδη τεθνηκότας ἐγείρειν (ἐν οἷς καὶ Ἱππόλυτον ἔσχατον τὸν Θησέως), καὶ τῶν θεῶν δυσχερῶς τοῦτο φερόντων, εἰ αἱ τιμαὶ καταλυθήσονται αὐτῶν, τηλικαῦτα ἔργα Ἀσκληπιοῦ ἐπιτελοῦντος, λέγεται τὸν Δία ὀργισθέντα κεραυνοβολῆσαι τὴν οἰκίαν αὐτοῦ, εἶτα διὰ τὸν Ἀπόλλωνα τοῦτον εἰς τὰ ἄστρα ἀναγαγεῖν. ἔχει δὲ ἐπιφάνειαν ἱκανὴν ἐπὶ τοῦ μεγίστου ἄστρου, λέγω δὴ τοῦ Σκορπίου, εὐσήμῳ τῷ τύπῳ φαινόμενος. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α΄, ἐφ' ἑκατέρων ὤμων λαμπρὸν α΄, ἐπὶ τῆς δεξιᾶς χειρὸς γ΄, ἐπὶ τῆς ἀριστερᾶς δ΄, ἐφ' ἑκατέρων ἰσχίων α΄, ἐφ' ἑκατέρων γονάτων α΄, τὸν ἐπὶ τοῦ δεξιοῦ [ποδὸς] λαμπρὸν α΄, τοῦ δὲ Ὄφεως ἐπ' ἄκρας κεφαλῆς β΄· τοὺς πάντας ιζ΄.

VII. Σκορπίος. Οὗτος διὰ τὸ μέγεθος εἰς δύο δωδεκατημόρια διαιρεῖται· καὶ τὸ μὲν ἐπέχουσιν αἱ χηλαί, θάτερον δὲ τὸ σῶμα καὶ τὸ κέντρον. τοῦτον, φασίν, ἐποίησεν Ἄρτεμις ἀναδοθῆναι τῆς Κολώνης τῆς Χίου νήσου, καὶ τὸν Ὠρίωνα πλῆξαι, καὶ οὕτως ἀποθανεῖν, ἐπειδὴ ἐν κυνηγεσίῳ ἀκόσμως αὐτὴν ἐβιάσατο· ὃν Ζεὺς ἐν τοῖς λαμπροῖς ἔθηκε τῶν ἀστέρων, ἵν' εἴδωσιν οἱ ἐπιγινόμενοι ἄνθρωποι τὴν ἰσχύν τε αὐτοῦ καὶ τὴν δύναμιν. — Ἔχει δὲ ἀστέρας ἐφ' ἑκατέρας χηλῆς β΄, ὧν εἰσιν οἱ μὲν πρῶτοι μεγάλοι, οἱ δὲ δεύτεροι ἀμαυροί, ἐπὶ δὲ τοῦ μετώπου λαμπροὺς γ΄, ἐπὶ τῆς κοιλίας β΄, ἐπὶ τῆς κέρκου ε΄, ἐπὶ τοῦ κέντρου δ΄· προηγεῖται μὲν ἐν αὐ-

1. οὕτω—χρώμενον Koppiers, τούτου—χρωμένου Heynius. ‖ 2. ἀγείρειν V. ‖ τὸν] vulg. τοῦ, corr. Heynius, qui et ἔσχατον ante Ἱππόλυτον transposuit. ‖ 7. ἄστρου ὧν λέγων δὴ τοῦ V. ‖ 9. τῶν ante ὤμων add. VS. ‖ 11. τὸν delevit Schaubach. ‖ ποδὸς add. Fellus. ‖ 13. ις΄ OV: extrema Schaubachius ex Hyg. et Germ. sic voluit restitui: ἐπὶ τῆς καμπῆς τῆς κεφαλῆς δ΄, ἐπὶ τῆς χειρὸς τοῦ Ὀφιούχου β΄, ἐπὶ τῆς πρώτης καμπῆς ε΄, ἐπὶ τῆς δευτέρας δ΄, ἐπὶ τῆς τρίτης ἕως τῆς κέρκου ς΄· τοὺς πάντας κα΄. ‖ 14. inscr. σκορπίου V: cf. Arat. phaen. 85. Hygin. poet. astr. 2, 26. 3, 25. Schol. Germ. 80. ‖ 17. ἐκ τῆς Κ. Schaubach: in Κολώνης f. latet Μελαίνης, cf. Strab. 14. p. 645: sed Schol. Germ. *in monte Chelippio* et mox *Celsionio*, quod potest ex *Pelinaeo* corruptum esse. ‖ 18. ἀποκτεῖναι vel ἀποκτείνειν Schaubach. ‖ 20. ἰσχύν] f. φύσιν: *ut eius naturam futuri homines intelligerent* Schol. Germ. ‖ 23. λαμπροὶ VS. ‖ 24. δ΄] β΄ VS. ‖ ἐν αὐτοῖς VS, αὐτοὺς vulg.: αὐτῶν vel αὐτὸς Heynius. ‖

τοῖς πάντων φαιδρότερος ὢν ὁ ἐπὶ τῆς βορείας χηλῆς λαμπρὸς ἀστήρ· [τοὺς πάντας ιθ'.]

VIII. Ἀρκτοφύλαξ. Περὶ τούτου λέγεται ὅτι Ἀρκάς ἐστιν ἐκ Καλλιστοῦς καὶ Διὸς γεγονώς, ὃν κατακόψας Λυκάων ἐξένισε τὸν Δία παραθεὶς ἐπὶ τράπεζαν· ὅθεν ἐκείνην μὲν ἀνατρέπει (ἀφ' οὗ ἡ Τραπεζοῦς καλεῖται πόλις), τὴν δὲ οἰκίαν αὐτοῦ κεραυνοῖ τῆς ὠμότητος αὐτὸν μυσαχθείς· τὸν δὲ Ἀρκάδα πάλιν συμπλάσας ἔθηκεν ἄρτιον καὶ ἐν τοῖς ἄστροις ἀνήγαγεν. — Ἔχει δὲ ἀστέρας ἐπὶ μὲν τῆς δεξιᾶς χειρὸς β', οἳ οὐδύνουσιν, ἐπὶ δὲ τῆς κεφαλῆς λαμπρὸν α', ἐφ' ἑκατέρων τῶν ὤμων λαμπρὸν α', ἐπὶ τῶν μαστῶν ἑκατέρων α', λαμπρὸν τὸν ἐπὶ τοῦ δεξιοῦ, καὶ ὑπ' αὐτὸν α' ἀμαυρόν, καὶ ἐπὶ τοῦ ἀγκῶνος λαμπρὸν α', ἀνὰ μέσον τῶν γονάτων α' λαμπρότατον, ὃς δὴ Ἀρκτοῦρος καλεῖται, ἐφ' ἑκατέρῳ ποδὶ λαμπρὸν α'· [τοὺς πάντας ιδ'.]

IX. Παρθένος. Ταύτην Ἡσίοδος ἐν Θεογονίᾳ εἴρηκε θυγατέρα Διὸς καὶ Θέμιδος, καλεῖσθαι δὲ αὐτὴν Δίκην· λέγει δὲ καὶ Ἄρατος παρὰ τούτου λαβὼν τὴν ἱστορίαν, ὡς οὖσα πρότερον ἀθάνατος καὶ ἐπὶ τῆς γῆς σὺν τοῖς ἀνθρώποις ἦν, καὶ ὅτι Δίκην αὐτὴν ἐκάλουν· μεταστάντων δὲ αὐτῶν καὶ μηκέτι τὸ δίκαιον συντηρούντων οὐκέτι σὺν αὐτοῖς ἦν, ἀλλ' εἰς τὰ ὄρη ὑπεχώρει· εἶτα στάσεων καὶ πολέμων αὐτοῖς ὄντων διὰ τὴν παντελῆ αὐτῶν ἀδικίαν ἀπομισήσασαν εἰς τὸν οὐρανὸν ἀνελθεῖν. λέγονται δὲ καὶ ἕτεροι λόγοι περὶ αὐτῆς πλεῖστοι· οἱ μὲν γὰρ αὐτήν φασιν εἶναι Δήμητραν διὰ τὸ ἔχειν στάχυν, οἱ δὲ Ἶσιν, οἱ δὲ Ἀταργάτιν, οἱ δὲ Τύ-

1. βορείου S: ὁ—ἀστὴρ delenda aut in ὁ ἐπὶ τοῦ θώρακος mutanda censuit Schaubach. ‖ 2. τοὺς π. ιθ' add. Fellus. ‖ 3. inscr. ἀρκτοφύλακος V: cf. Arat. phaen. 91. Hygin. poet. astr. 2, 4. 3, 3. Schol. Germ. 89. ‖ 4. ἐκ om. V. ‖ 5. ὅθεν] ὁ δὲ Schaubach. ‖ 9. δεξιᾶς] ἀριστερᾶς ex Hyg. idem. ‖ 12. καὶ alterum om. S. ‖ 13. δεξιοῦ post ἀγκῶνος add. Galeus. ‖ α' λαμπρὸν V. ‖ 15. τοὺς π. ιδ' add. Fellus. ‖ 16. inscr. [παρθένου V,] παρθένος ἀρκτική M: cf. Arat. phaen. 96. Hygin. poet. astr. 2, 25. 3, 24. Schol. Germ. 95. Eudoc. p. 328. ‖ Hes. th. 901: ἐν θεογονίᾳ susp. Schaubachio. ‖ 21. αὐτῶν καὶ τῶν ἐπιγινομένων μηκέτι idem. ‖ 26. οἱ δὲ Ἶσιν susp. Schaubachio. ‖ ἀταργάντην OV, corr. Galeus: cf. Strab. 16. p. 748 et 785. Plin. h. n. 5, 23: deinde οἱ δὲ Ἠριγόνην excidisse ex Hyg. et. Schol. Germ. collegit Schaubach. ‖

χην, διὸ καὶ ἀκέφαλον αὐτὴν σχηματίζουσιν. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς α΄ ἀμαυρόν, ἐφ' ἑκατέρῳ ὤμῳ α΄, ἐπὶ πτέρυγι ἑκατέρᾳ β΄ (ὁ δ' ἐν τῇ δεξιᾷ πτέρυγι τοῦ τε ὤμου καὶ τοῦ ἄκρου τῆς πτέρυγος Προτρυγητὴρ καλεῖται), ἐπ' ἀγκῶνος ἑκατέρου α΄, ἐπὶ χειρὸς ἄκρας ἑκατέρας α΄ (ὁ δ' ἐπὶ τῆς εὐωνύμου λαμπρὸς καλεῖται Στάχυς), ἐπὶ τῆς πέζης τοῦ χιτῶνος ἀμαυροὺς ς΄, ἐφ' ἑκατέρου ποδὸς α΄· τοὺς πάντας ιθ΄.

X. Δίδυμοι. Οὗτοι λέγονται Διόσκουροι εἶναι. ἐν δὲ τῇ Λακωνικῇ τραφέντες ἐπιφάνειαν ἔσχον, φιλαδελφίᾳ δὲ ὑπερήνεγκαν πάντας· οὔτε γὰρ περὶ ἀρχῆς οὔτε περὶ ἄλλου τινὸς ἤρισαν· μνήμην δὲ αὐτῶν Ζεὺς θέσθαι βουλόμενος τῆς κοινότητος, Διδύμους ὀνομάσας εἰς τὸ αὐτὸ ἀμφοτέρους ἔστησεν ἐν τοῖς ἄστροις. — Ἔχουσι δὲ ἀστέρας, ὁ μὲν ἐποχούμενος τοῦ Καρκίνου ἐπὶ τῆς κεφαλῆς α΄ λαμπρόν, [ἐπ' ὤμου ἑκατέρου λαμπρὸν α΄, ἐπὶ δεξιοῦ ἀγκῶνος α΄, ἐπὶ δεξιᾶς χειρὸς α΄,] ἐφ' ἑκατέρῳ γόνατι α΄, ὁ δ' ἐχόμενος ἔχει ἐπὶ τῆς κεφαλῆς α΄ λαμπρόν, ἐπ' ἀριστερῷ ὤμῳ λαμπρὸν α΄, ἐπὶ μαστῷ ἑκατέρῳ α΄, ἐπὶ ἀριστεροῦ ἀγκῶνος α΄, ἐπ' ἄκρας χειρὸς α΄, ἐπὶ ἀριστερῷ γόνατι α΄, ἐπὶ ἑκατέρῳ ποδὶ α΄, ὑπὸ τὸν ἀριστερὸν πόδα α΄, ὃς καλεῖται Πρόπους· [τοὺς πάντας ιζ΄.]

XI. Καρκῖνος, Ὄνοι καὶ Φάτνη. Οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος, Ἡρακλεῖ τῶν ἄλ-

1. διὸ—σχηματίζουσιν post ἀμαυρόν transponi voluit idem. ‖ 2. δ' ἀμαυρούς OS, β' ἀμαυρούς V., corr. Fellus. ‖ ἐφ'—β'] ἑκατέρω πτέρυγι ἑκατέρω V: vulg. ἐν p. ἐφ' et ἐπὶ ‖ 3. τοῦ τε ὤμου susp. censori ed. Schaub. in ephem. litt. Jen. 1796. n. 236, qui et ἐπὶ p. καὶ voluit. ‖ 7. ἀμαυρὸν α΄ ἑκατέρου VS. ‖ οἱ πάντες κ΄ VS, XVIII Hyginus, sed libri XIX. ‖ 9. inscr. διδύμων V: cf. Arat. phaen. 147. Hygin. poet. astr. 2, 22. 3, 21. Schol. Germ. 146. ‖ 15. α΄ λαμπρόν om. VS. ‖ ἐπ'—χειρὸς α΄ ex Schol. Germ. add. Fellus. ‖ 17. ἐφ' ἑκατέρῳ ποδὶ α΄ post γόνατι α΄ suppl. Schaubach. ‖ 18. ἀριστερῷ] δεξιῷ idem. ‖ 19. μασθῷ V. ‖ ἀριστεροῦ] δεξιοῦ Schaubach. ‖ 20. ἐπ' ἀριστερᾶς post χειρὸς add. idem. ‖ ἐπὶ ἑκατέρῳ—πόδα α΄ om. V. ‖ 21. τρίπους M. ‖ τοὺς π. ιζ΄ (ις΄ Schaub.) add. Fellus: XV Hyginus, XIX Schol. Germ. ‖ 23. inscr. καρκίνου V, καρκῖνος M: cf. Arat. phaen. 147. Hygin. poet. astr. 2, 23. 3, 22. Schol. Germ. 146. Phavor. s. v. καρκῖνος et ὄνος. Eudoc. p. 316. ‖ 24. τῶν ἄλλων σ.] τοῦ Ἰολάου συμμαχοῦντος Galeus, τῶν περὶ Ἰόλαον συμμαχούντων Koppiers. ‖

λων συμμαχούντων ὅτε τὴν ὕδραν ἀνῄρει, ἐκ τῆς λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Πανύασις ἐν Ἡρακλείᾳ· θυμωθεὶς δ' ὁ Ἡρακλῆς δοκεῖ τῷ ποδὶ συνθλάσαι αὐτόν. ὅθεν μεγάλης τιμῆς τετύχηκε καταριθμού-
5 μενος ἐν τοῖς ιβ' ζωδίοις. καλοῦνται δέ τινες αὐτῶν ἀστέρες Ὄνοι, οὓς Διόνυσος ἀνήγαγεν εἰς τὰ ἄστρα. ἔστι δὲ αὐτοῖς καὶ Φάτνη παράσημον. ἡ δὲ τούτων ἱστορία αὕτη. ὅτε ἐπὶ Γίγαντας ἐστρατεύοντο οἱ θεοί, λέγεται Διόνυσον καὶ Ἥφαιστον καὶ Σατύρους ἐπὶ ὄνων πορεύεσθαι. οὔπω
10 δὲ ὁρωμένων αὐτοῖς τῶν Γιγάντων πλησίον ὄντες ὠγκήθησαν οἱ ὄνοι, οἱ δὲ Γίγαντες ἀκούσαντες τῆς φωνῆς ἔφυγον. διὸ ἐτιμήθησαν ἐν τῷ Καρκίνῳ εἶναι ἐπὶ δυσμάς. — Ἔχει δὲ ὁ Καρκῖνος ἐπὶ τοῦ ὀστράκου ἀστέρας λαμπροὺς β'· οὗτοί εἰσιν οἱ Ὄνοι· τὸ δὲ νεφέλιόν ἐστιν ἡ ἐν αὐτῷ ὁρωμένη Φάτνη,
15 παρ' ᾗ δοκοῦσιν ἑστάναι. ἔχει δὲ ἐπὶ τοῖς δεξιοῖς ποσὶν ἐφ' ἑκατέρῳ α' λαμπρόν, ἐπὶ δὲ τοῖς ἀριστεροῖς, τοῦ πρώτου β' λαμπρούς, καὶ ἐπὶ τοῦ δευτέρου καὶ ἐπὶ τοῦ τρίτου, ὁμοίως ἐπ' ἄκρας αὐτοῦ τετάρτου· ἐπὶ τοῦ στόματος καὶ ἐπὶ τῆς χηλῆς τῆς δεξιᾶς γ', ὁμοίως μεγάλους ἐπὶ τῆς ἀριστερᾶς χη-
20 λῆς [β']· οἱ πάντες ιζ'.

XII. Λέων. Οὗτός ἐστι μὲν τῶν ἐπιφανῶν ἄστρων, δοκεῖ δ' ὑπὸ Διὸς τιμηθῆναι τοῦτο τὸ ζῴδιον διὰ τὸ τῶν τετραπόδων ἡγεῖσθαι. τινὲς δέ φασιν ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι· φιλοδοξῶν γὰρ μόνον
25 τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξεν. λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος ὁ Ῥόδιος, ὅτι καὶ τὴν δορὰν αὐ-

3. θυμωθεὶς] *miratus* Schol. Germ., scr. *iratus*. ‖ 4. ὅθεν] ὁ δὲ Heynius. ‖ 5. καλοῦνται—αὕτη om. M. ‖ αὐτοῦ Koppiers. ‖ 7. ὄνων καὶ φάτνης tanquam inscr. post αὕτη add. VM. ‖ 12. ἐπὶ δυσμάς susp. censori Schaub. Jenensi. ‖ 13. β'] ιβ' VS. ‖ 14. ἐν αὐτῷ ὁρώμενόν ἐστιν ἡ λεγομένη φ. Heynius. ‖ 15. ἔχει δὲ om. VS. ‖ 17. λαμπροὶ V. ‖ δευτέρου — τρίτου Fellus: δεξιοῦ καὶ τοῦ τροπικοῦ OVS. ‖ 18. ἐπ'] ἐπὶ V. ‖ αὐτοῦ] f. αὖ τοῦ. ‖ 20. β' ex Hyg. add. Fellus. ‖ ιη' VS, XVI Schol. Germ. ‖ 21. inscr. λέοντος V: cf. Arat. phaen. 148. Hygin. poet. astr. 2, 24. 3, 23. Schol. Germ. 148. Phavorin. s. v. λέων. Eudoc. p. 276. ‖ ἄστρων Koppiers et sic S, ἀστέρων M et vulg. ‖ 23. πρῶτον V. ‖ 24. εἰς τὸ μνημονευθῆναι ante ὅτι transposuit Schaubach, item Heynius, cui tamen nonnulla omissa videntur. ‖ 25. συμπλακὶς V. ‖ 26. πίνδαρος OV, *Pisandrus* Hyginus, *Periandrus* Schol. Germ. ‖

τοῦ ἔσχεν ὡς ἔνδοξον ἔργον πεποιηκώς. οὗτός ἐστιν ὁ ἐν τῇ Νεμέᾳ ὑπ' αὐτοῦ φονευθείς. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς γ', ἐπὶ τοῦ στήθους β', ἐπὶ τοῦ δεξιοῦ ποδὸς λαμπρὸν α', ἐπὶ μέσης [κοιλίας] α', ὑπὸ τὴν κοιλίαν α', ἐπὶ τοῦ ἰσχίου α', ἐπὶ τοῦ ὀπισθίου γόνατος α', ἐπὶ ποδὸς ἄκρου λαμπρὸν α', ἐπὶ τοῦ τραχήλου β', ἐπὶ τῆς ῥάχεως γ', ἐπὶ μέσης τῆς κέρκου α', ἐπ' ἄκρας λαμπρὸν α', ἐπὶ τῆς κοιλίας α'· [τοὺς πάντας ιθ'.] ὁρῶνται δὲ καὶ ὑπὲρ αὐτὸν ἐν τριγώνῳ κατὰ τὴν κέρκον ἀμαυροὶ ἑπτά, οἳ καλοῦνται Πλόκαμοι Βερενίκης Εὐεργέτιδος.

XIII. Ἡνίοχος. Τοῦτον λέγουσιν ὅτι ὁ Ζεὺς ἰδὼν πρῶτον ἐν ἀνθρώποις ἅρμα ζεύξαντα ἵππων (ὅς ἐστιν Ἐριχθόνιος ἐξ Ἡφαίστου καὶ Γῆς γενόμενος) καὶ θαυμάσας ὅτι τῇ τοῦ Ἡλίου ἀντίμιμον ἐποιήσατο διφρείαν ὑποζεύξας ἵππους λευκούς ***. πρῶτόν τε Ἀθηνᾷ πομπὴν ἤγαγεν ἐν ἀκροπόλει καὶ ἐποιήσατο πρὸς τούτοις ἐπιφανῆ τὴν θυσίαν αὐτῆς σεμνύνων. λέγει δὲ καὶ Εὐριπίδης περὶ τῆς γενέσεως αὐτοῦ τὸν τρόπον τοῦτον. Ἥφαιστον ἐρασθέντα Ἀθηνᾶς βούλεσθαι αὐτῇ μιγῆναι· τῆς δὲ ἀποστρεφομένης καὶ τὴν παρθενίαν μᾶλλον αἱρουμένης ἔν τινι τόπῳ τῆς Ἀττικῆς κρύπτεσθαι, ὃν λέγουσι καὶ ἀπ' ἐκείνου προσαγορευθῆναι Ἥφαιστον· ὃς δόξας αὐτὴν κρατήσειν καὶ ἐπιθέμενος, πλη-

1. ἔχειν V. ‖ ἔργον, quod ex Phav. et Eud. add. Heynius, habet V: ἔνδοξόν τι Koppiers. ‖ 2. ἐπὶ μὲν τ. S. ‖ 3. λαμπρὸν α' post β' ex sqq. huc trahi voluit Schaubach. ‖ 4. κοιλίας add. Fellus, ἐπὶ μέσου τοῦ ποδός maluit Schaubach. ‖ 5. γάγατος V. ‖ 6. μέσου VS. ‖ 7. λαμπρὸν om. S. ‖ τοὺς π. ιθ' hic adieci ex Schol. Germ., sub fin. cap. demum Fellus. ‖ 8. καὶ add. S. ‖ 9. πλόκαμος Valckenar. ad Callim. eleg. p. 35. ‖ 11. inscr. ἡνιόχου V, αἶξ καὶ ἔριφοι add. Matthiae: cf. Arat. phaen. 156. Hygin. poet. astr. 2, 13. 3, 12. Schol. Germ. 156. ‖ τοῦτον — θαυμάσας] revocavi librorum scripturam (nisi quod τούτῳ M, θαυμάσαι O), quam Fellus et reliqui editores sic mutaverant: οὗτός ἐστιν Ἐριχθόνιος ἐξ Ἡφαίστου καὶ Γῆς γενόμενος. τοῦτον λέγουσιν ὅτι ὁ Ζεὺς εἶδεν πρῶτον ἐν ἀνθρώποις ἅρμα ζεύξαντα ἵππων (hoc susp. Heynio) θαυμάσαι: deinde post λευκούς quaedam excidisse, velut ἀνήγαγεν εἰς τὰ ἄστρα, docet Schol. Germ. *quem Jupiter miratus astris receptum memoriae tradidit.* ‖ 16. καὶ — τούτοις aut τὴν θυσίαν deleri voluit Heynius. ‖ αὐτὴν Heynius. ‖ 17. σεμνύων V. ‖ 22. ἥφαιστον OV: Ἡφαίστου Schaubach, Ἡφαίστιον Heynius, Ἡφαιστεῖον Matthiae, *Hephaestius* Hyginus: intelligendus videtur locus ubi situs erat pagus Ἡφαιστιάδαι. ‖ αὐτῆς Schaubach. ‖

γεὶς ὑπ' αὐτῆς τῷ δόρατι ἀφῆκε τὴν ἐπιθυμίαν, φερομένης εἰς τὴν γῆν τῆς σπορᾶς· ἐξ ἧς γεγενῆσθαι λέγουσι παῖδα, ὃς ἐκ τούτου Ἐριχθόνιος ἐκλήθη, καὶ αὐξηθεὶς τοῦθ' εὗρε καὶ ἐθαυμάσθη ἀγωνιστὴς γενόμενος. ἤγαγε δὲ ἐπιμελῶς
5 τὰ Παναθήναια, καὶ ἅμα ἡνίοχον ἔχων παραβάτην ἀσπίδιον ἔχοντα καὶ τριλοφίαν ἐπὶ τῆς κεφαλῆς. ἀπ' ἐκείνου δὲ κατὰ μίμησιν ὁ καλούμενος ἀποβάτης. ἐσχημάτισται δ' ἐν τούτῳ ἡ Αἶξ καὶ οἱ Ἔριφοι. Μουσαῖος γάρ φησι, Δία γεννώμενον ἐγχειρισθῆναι ὑπὸ Ῥέας Θέμιδι, Θέμιν δὲ Ἀμαλθείᾳ δοῦναι
10 τὸ βρέφος, τὴν δὲ ἔχουσαν αἶγα ὑποθεῖναι, τὴν δ' ἐκθρέψαι Δία· τὴν δὲ αἶγα εἶναι Ἡλίου θυγατέρα, φοβερὰν οὕτως ὥστε τοὺς κατὰ Κρόνον θεοὺς βδελυττομένους τὴν μορφὴν τῆς παιδὸς ἀξιῶσαι Γῆν κρύψαι αὐτὴν ἔν τινι τῶν κατὰ Κρήτην ἄντρων. καὶ ἀποκρυψαμένην ἐπιμέλειαν αὐτῆς τῇ
15 Ἀμαλθείᾳ ἐγχειρίσαι, τὴν δὲ τῷ ἐκείνης γάλακτι τὸν Δία ἐκθρέψαι· ἐλθόντος δὲ τοῦ παιδὸς εἰς ἡλικίαν καὶ μέλλοντος Γίγασι πολεμεῖν, οὐκ ἔχοντος δὲ ὅπλα, θεσπισθῆναι αὐτῷ τῆς Αἰγὸς τῇ δορᾷ ὅπλῳ χρήσασθαι διά τε τὸ ἄτρωτον αὐτῆς καὶ φοβερὸν καὶ διὰ τὸ εἰς μέσην τὴν ῥάχιν Γοργόνος
20 πρόσωπον ἔχειν. ποιήσαντος δὲ ταῦτα τοῦ Διὸς καὶ τῇ τέχνῃ φανέντος διπλασίονος, τὰ ὀστᾶ δὲ τῆς Αἰγὸς καλύψαντος ἄλλῃ δορᾷ καὶ ἔμψυχον αὐτὴν καὶ ἀθάνατον κατασκευάσαντος, αὐτὴν μέν φασιν ἄστρον οὐράνιον κατασκευάσαι. τινὲς δέ φασι Μυρτίλον ὀνόματι τὸν ἡνίοχον εἶναι, τὸν ἐκ Ἑρμοῦ
25 γεγονότα. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς α' καὶ ἐφ' ἑκατέρων τῶν ὤμων α', ὧν τὸν μὲν ἐπὶ τοῦ ἀριστεροῦ λαμπρόν, ὃς καλεῖται Αἶξ, ἐφ' ἑκατέρου ἀγκῶνος α', [ἐπὶ δεξιᾶς χειρὸς α',] ἐπ' ἀριστερᾶς χειρὸς β', οἳ δὴ καλοῦνται Ἔριφοι· τοὺς πάντας η',

2. γεγεννῆσθαι V. ‖ 5. ἡνίοχον delevit Heynius. ‖ 7. μίμησιν V. ‖ 11. τὴν] τινὲς et deinde Αἶγα Valck. ad Ammon. p. 230. ‖ ἄλλοι λέγουσιν post αἶγα suppl. Heynius. ‖ 13. παιδὸς] αἰγὸς Koppiers, ἐκείνου ante παιδὸς add. Schaubach. ‖ 22. κατασκευάζοντος V: κατασκευάσαντος — οὐράνιον delevit Schaub., αὐτὴν μὲν ἄστρον οὐράνιον καταστῆσαι καὶ αἶγα καλέσαι maluit Heynius. ‖ 24. Οἰνομάου excidisse credidit Schaubach. ‖ 25. ἐπὶ μὲν τῆς S. ‖ καὶ add. VS. ‖ 27. ἐπὶ — α' add. Fellus. ‖ 28. δὴ VS, vulg. δὲ. ‖ 29. η'] X Schol. Germ. ‖

XIV. *Ταῦρος. Οὗτος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ· χάριν δὲ τούτου ἐν τοῖς ἐπιφανεστάτοις ἐστὶν ὑπὸ Διὸς τιμηθείς. ἕτεροι δέ φασι βοῦν εἶναι τῆς Ἰοῦς μίμημα· χάριν δὲ ἐκείνης ὑπὸ Διὸς ἐτιμήθη τὸ ἄστρον. τοῦ δὲ Ταύρου τὸ μέτωπον σὺν τῷ προσώπῳ αἱ Ὑάδες καλούμεναι περιέχουσιν. πρὸς δὲ τῇ ἀποτομῇ τῆς ῥάχεως ἡ Πλειάς ἐστιν ἀστέρας ἔχουσα ἑπτά, διὸ καὶ ἑπτάστερος καλεῖται. οὐχ ὁρῶνται δὲ εἰ μὴ ἕξ, ὁ δὲ ἕβδομος ἀμαυρός ἐστι σφόδρα. — Ἔχει δ' ὁ Ταῦρος ἀστέρας ζ'· ὃς δὴ ὑπεναντία ἕρπει καθ' ἑαυτὸν ἔχων τὴν κεφαλήν· ἐφ' ἑκατέρων δὲ τῶν κεράτων ἐπὶ τῆς ἐκφύσεως α', ὧν λαμπρότερος ὁ ἐπὶ τῆς ἀριστερᾶς· ἐφ' ἑκατέρων τῶν ὀφθαλμῶν α', ἐπὶ τοῦ μυκτῆρος α', ἐφ' ἑκατέρων τῶν ὤμων α'· οὗτοι Ὑάδες λέγονται· ἐπὶ δὲ τοῦ ἀριστεροῦ γόνατος τοῦ ἐμπροσθίου α', ἐπὶ τῶν χηλῶν α', ἐπὶ τοῦ δεξιοῦ γόνατος α', ἐπὶ τοῦ τραχήλου β', ἐπὶ τῆς ῥάχεως γ', τὸν ἔσχατον λαμπρόν, ὑπὸ τὴν κοιλίαν α', ἐπὶ τοῦ στήθους λαμπρὸν α'· τοὺς πάντας ιη'·*

XV. *Κηφεύς. Οὗτος ἐν τάξει τέτακται τέταρτος· ὁ δ' ἀρκτικὸς κύκλος αὐτὸν ἀπολαμβάνει ἀπὸ ποδῶν ἕως στήθους,*

1. inscr. *ταύρου* V: cf. Arat. phaen. 167. Hygin. poet. astr. 2, 21. 3, 20. Schol. Germ. 173. Phavor. s. v. *ταῦρος*. Eudoc. p. 407. ‖ 6. *τιμηθῆναι* Heynius, qui et *τὸ ἄστρον* delevit, pro quo *τὸ ζῶον* Schaubach: post haec ex Schol. Germ. *οἱ δὲ τοῦτον οὗ Πασιφάη ἠράσθη* addi voluit idem et mox quae leguntur ap. Phav. et Eudoc.: *Ὑάδες ἐπὶ τῶν τοῦ ταύρου κεῖνται κεράτων, ἢ διὰ τὸν ἀδελφὸν Ὕαντα οὕτω κληθεῖσαι ἢ διότι* [add. *τῷ* v] *στοιχείῳ παρεμφερεῖς εἰσιν ἢ ὅτι ὑετοῦ ἐπισημασίας δηλοῦσιν. τινὲς δὲ Δωδωνίδας νύμφας αὐτάς φασι, Διονύσου τροφούς, αἷς ἡ Ἰνὼ διὰ τὸν τῆς Ἥρας φόβον παρακατέθετο τὸν Διόνυσον, ὅτε Λυκοῦργος αὐτὰς ἐδίωξε συμπεριούσας ἐκείνῳ καὶ κατανεμούσας τὴν ἄμπελον. τεθέασι δέ τινες αὐταῖς ὀνόματα Ἀμβροσίαν καὶ Εὐδώρην καὶ Αἰσύλην καὶ τοιαῦτά τινα. οἱ δέ φασι καὶ ὅτι Ὑάδες Βάκχαι, τιθῆναι τοῦ Διονύσου, καὶ τὸν Διόνυσον Ὑίν φασιν ἀπὸ τούτων τινές.* ‖ 10. *ἐστιν* V. ‖ post *σφόδρα* inseri *τὸ δὲ αἴτιον — σχήματος* ex cap. 23 voluit duce Hyg. p. a. 21 Lennep. ad Coluth. p. 48. ‖ *δ' ὁ* VS, *δὲ* vulg.: *σφόδρα. ὁ δὲ ταῦρος ὑπ.* reliquis omissis censor Schaub. Jenensis. ‖ 11. *ὃς δὴ* VS, *ὃς δὲ* vulg: *ὁ δὲ* Heynius. ‖ *ὑπ' ἐναντία* S. ‖ *ζ' ἐπὶ τῆς κεφαλῆς (ὁ δὲ ὑπ. — κεφαλὴν) ἐφ' ἑκ. τῶν κ.* Schaubach. ‖ 12. *α'*] *β'* idem. ‖ 14. *ἐφ' — ὤμων α'* delevit idem, *ὑφ' ἑκατέρων ὀμμάτων α'* censor Jen. ‖ 15. post *λέγονται* S add. *πρὸς — ἔχουσα ζ'*, quae vulg. leguntur supra v. 7. ‖ 16. *τοῦ* alterum add. VS. ‖ 19. inscr. *κηφέως* V: cf. Arat. phaen. 179. Hygin. poet. astr. 2, 9. 3, 8.

τὸ δὲ ἱππεῖον εἰς τὸ ἀνὰ μέσον πίπτει αἰτοῦ τοῦ τε ἀρκτικοῦ καὶ θερινοῦ τροπικοῦ· ἦν δέ, ὡς Εὐριπίδης φησίν, Αἰθίοπων βασιλεύς, Ἀνδρομέδας δὲ πατήρ· τὴν δ' αἰτοῦ θυγατέρα δοκεῖ παραθεῖναι τῷ κήτει βορὰν, ἣν Περσεὺς ὁ Διὸς δε-
5 σωσε, δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ. -- Ἔχει δ' ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπροὺς β', ἐφ' ἑκατέρων ὤμων α', καὶ ἐπὶ χειρῶν ἑκατέρων α', ἐπ' ἀγκώνων ἑκατέρων α', ἐπὶ ζώνης γ' λοξοὺς ἀμαυρούς, ἐπὶ κοιλίας μέσης λαμπρὸν α', ἐπὶ δεξιᾶς λαγόνος α', ἐπὶ γόνατος α', ἐπὶ πο-
10 δὸς ἄκρου α'· [τοὺς πάντας ιε'.]

XVI. Κασσιέπεια. Ταύτην ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀνδρομέδᾳ ἐρίσασαν περὶ κάλλους ταῖς Νηρηίσιν εἰσελθεῖν εἰς τὸ σύμπτωμα, καὶ Ποσειδῶνα διαφθεῖραι τὴν χώραν κῆτος ἐπιπέμψαντα, δι' ἣν [αἰτίαν] πρό-
15 κειται τῷ κήτει ἡ θυγάτηρ οἰκείως. ἐσχημάτισται δὲ ἐγγὺς ἐπὶ δίφρου καθημένη. — Ἔχει δ' ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α', ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος ἀμαυρὸν α', ἐπὶ τῆς χειρὸς α', ἐπὶ γόνατος α', ἐπὶ ποδὸς ἄκρου α', ἐπὶ στήθους α' ἀμαυρόν, ἐπ' ἀριστεροῦ μηροῦ λαμπρὸν α', ἐπὶ γόνατος
20 α' λαμπρόν, ἐπὶ τοῦ πλινθίου α', ἐπὶ τῆς τοῦ δίφρου οὗ κάθηται ἑκάστης γωνίας α'· [τοὺς πάντας ιγ'.]

XVII. Ἀνδρομέδα. Αὕτη κεῖται ἐν τοῖς ἄστροις διὰ τὴν Ἀθηνᾶν, τῶν Περσέως ἄθλων ὑπόμνημα, διατεταμένη τὰς χεῖρας, ὡς καὶ προετέθη τῷ κήτει· ἀνθ' ὧν σωθεῖσα
25 ὑπὸ τοῦ Περσέως οὐχ εἵλετο τῷ πατρὶ συμμένειν, οὐδὲ τῇ μητρί, ἀλλ' αὐθαίρετος εἰς τὸ Ἄργος ἀπῆλθε μετ' ἐκείνου,

Schol. Germ. 183. Phavor. s. v. Κηφεύς. Eudoc. p. 260. ‖ τίεται M. ‖ 1. τοῦ — τροπικοῦ delevit Schaubach. ‖ 4. προθεῖναι Koppiers. ‖ 10. τοὺς π. ιε' add. Fellus: XIX Hyginus et Schol. Germ. ‖ 11. inscr. κασσιεπείας V: cf. Arat. phaen. 188. Hygin. poet. astr. 2, 10. 3, 9. Schol. Germ. 191. Phavor. s. v. Κασσιέπεια. ‖ καὶ Εὐριπίδης post Σοφοκλῆς excidisse censuit Schaubach.: cf. Hygin. et c. 15. 17. ‖ τῆς om. M. ‖ 14. αἰτίαν add. Fellus. ‖ 15. οἰκείως delendum censuit Schaubach, idem aut οἰκτρῶς scribendum Heynius: f. ἡ Κηφέως. ‖ 20. ἐπὶ τ. πλ. α' susp. Schaubachio. ‖ τῆς om. Fellus. ‖ 21. τοὺς π. ιγ' add. Fellus. ‖ 22. inscr. ἀνδρομέδας V: cf. Arat. phaen. 197. Hygin. poet. astr. 2, 11. 3, 10. Schol. Germ. 199. Phavor. s. v. Ἀνδρομέδα. ‖ 23. ὑπόδειγμα Schol. Arati. ‖ 24. προσετέθη OV: corr. Koppiers, qui et ὡς καὶ deleri voluit. ‖

εὐγενές τι φρονήσασα. λέγει δὲ καὶ Εὐριπίδης σαφῶς ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α′, ἐφ' ἑκατέρου ὤμου α′, ἐπὶ δεξιοῦ ποδὸς β′, ἐπ' ἀριστεροῦ α′, ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α′, ἐπ' ἄκρας τῆς χειρὸς λαμπρὸν α′, ἐπὶ τῆς ζώνης γ′, ὑπὸ τὴν ζώνην δ′, 5 ἐφ' ἑκατέρου γόνατος λαμπρὸν α′, ἐπὶ τοῦ δεξιοῦ ποδὸς α′, ἐπὶ τοῦ ἀριστεροῦ β′· [τοὺς πάντας κ′.]

XVIII. Ἵππος. Τούτου μόνον τὰ ἔμπροσθεν φαίνεται ἕως ὀμφαλοῦ. Ἄρατος μὲν οὖν φησι τὸν ἐπὶ τοῦ Ἑλικῶνος εἶναι ποιήσαντα κρήνην τῇ ὁπλῇ, ἀφ' οὗ καλεῖσθαι Ἵππου 10 κρήνην· ἄλλοι δὲ τὸν Πήγασον εἶναί φασι τὸν εἰς τὰ ἄστρα ἀναπτάντα ὕστερον τῆς Βελλεροφόντου πτώσεως· διὰ δὲ τὸ μὴ ἔχειν πτέρυγας ἀπίθανον δοκεῖ τισι ποιεῖν τὸν λόγον. Εὐριπίδης δέ φησι Μελανίππην εἶναι τὴν τοῦ Χείρωνος θυγατέρα, ὑπ' Αἰόλου δὲ ἀπατηθεῖσαν φθαρῆναι καὶ διὰ τὸν 15 ὄγκον τῆς γαστρὸς φυγεῖν εἰς τὰ ὄρη, κἀκεῖ ὠδινούσης αὐτῆς τὸν πατέρα ἐλθεῖν κατὰ ζήτησιν, τὴν δ' εὔξασθαι καταλαμβανομένην πρὸς τὸ μὴ γνωσθῆναι μεταμορφωθῆναι καὶ γενέσθαι ἵππον. διὰ γοῦν τὴν εὐσέβειαν αὐτῆς τε καὶ τοῦ πατρὸς ὑπ' Ἀρτέμιδος εἰς τὰ ἄστρα τεθῆναι, ὅθεν τῷ 20 Κενταύρῳ οὐχ ὁρατή ἐστι· Χείρων γὰρ λέγεται εἶναι ἐκεῖνος. τὰ δὲ ὀπίσθια μέρη αὐτῆς ἀφανῆ ἐστι πρὸς τὸ μὴ γινώσκεσθαι θήλειαν οὖσαν. — Ἔχει δὲ ἀστέρας ἐπὶ τοῦ προσώπου β′ ἀμαυρούς, ἐπὶ τῆς κεφαλῆς α′, ἐπὶ τῆς σιαγόνος α′, ἐφ' ἑκατέρῳ ὠτίῳ ἀμαυρὸν α′, ἐπὶ τῷ τραχήλῳ δ′, ὧν τὸν πρὸς 25 τῇ κεφαλῇ λαμπρότερον, ἐπὶ τοῦ ὤμου α′, ἐπὶ στήθους α′, ἐπὶ ῥάχεως α′, ἐπ' ὀμφαλοῦ ἔσχατον λαμπρὸν α′, ἐπ' ἐμ-

5. ἐπὶ τοῦ ἀριστεροῦ ἀγκῶνος α′, ἐπὶ τοῦ δεξιοῦ λαμπρὸν α′ post λαμπρὸν α′ add. VS. ‖ ὑπὸ τὴν ζώνην (*sub zona* Schol. Germ.) et mox ἐπὶ τοῦ δεξιοῦ—β′ susp. Schaubachio. ‖ 6. λαμπρὸν aut eliciendum aut in ἀμαυρὸν mutandum censuit censor Jen. ‖ 7. τοὺς π. κ′ add. Fellus: XXI Schol. Germ. ‖ 8. inscr. ἵππου V: cf. Arat. phaen. 205. Hygin. poet. astr. 2, 18. 3, 17. Schol. Germ. 206. ‖ μόνου OVM: μόνον Arnald. lectt. gr. 2, 2. p. 144, μόνα Fellus, αὐτὰ Kopplers: cf. Schaef. melet. p. 93. ‖ 11. ἄλλοι—πτώσεως susp. Heynio: *nonnulli vero Pegasum putant, qui ad astra pro Bellerophontis interitu volaverit* Schol. Germ. ‖ 12. βελλοερεφόντου V. ‖ 14. φησιν ἐν Μελανίππῃ Ἵππην εἶναι ex Hygino Valcken. ad Eur. Phoen. p. 185: cf. Dind. poet. scen. fr. p. 99. ‖ θυγατέραν V. ‖ 22. ἐστιν V. ‖ 23. τοῦ προσώπου] τῆς ῥάχεως VS. ‖ α′ λαμπρὸν VS. ‖

προσθίων γονάτων β', ἐφ' ἑκατέρας ὁπλῆς α'· [τοὺς πάντας ιη'.]

XIX. Κριός. Οὗτος ὁ Φρίξον διακομίσας καὶ Ἕλλην· ἄφθιτος δὲ ὢν ἐδόθη αὐτοῖς ὑπὸ Νεφέλης τῆς μητρός· εἶχε δὲ χρυσῆν δοράν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασιν. διακομίζων δ' αὐτοὺς κατὰ τὸ στενώτατον τοῦ πελάγους τοῦ ἀπ' ἐκείνης κληθέντος Ἑλλησπόντου ἔριψεν αὐτὴν καὶ τὸ κέρας ἀπολέσας (Ποσειδῶν δὲ σώσας τὴν Ἕλλην καὶ μιχθεὶς ἐγέννησεν ἐξ αὐτῆς παῖδα ὀνόματι Παίωνα), τὸν δὲ Φρίξον εἰς τὸν Εὔξεινον πόντον σωθέντα πρὸς Αἰήτην διεκόμισεν, ᾧ καὶ ἐκδὺς ἔδωκε τὴν χρυσῆν δοράν, ὅπως μνημόσυνον ἔχῃ· αὐτὸς δὲ εἰς τὰ ἄστρα ἀπῆλθεν, ὅθεν ἀμαυρότερον φαίνεται. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς α', ἐπὶ τῶν μυκτήρων γ', ἐπὶ τοῦ τραχήλου β', ἐπ' ἄκρου ἐμπροσθίου ποδὸς λαμπρὸν α', ἐπὶ ῥάχεως δ', ἐπὶ κέρκου α', ὑπὸ τὴν κοιλίαν γ', ἐπὶ τοῦ ἰσχίου α', ἐπ' ἄκρου [ἑκατέρου] ὀπισθίου ποδὸς α'· τοὺς πάντας ιη'.

XX. Δελτωτόν. Τοῦτό ἐστιν ὑπὲρ μὲν τὴν κεφαλὴν τοῦ Κριοῦ κείμενον· λέγεται δὲ ἐκεῖνον ἀμαυρότερον εἶναι, εὔσημον δὲ τὸ γράμμα ἐπ' αὐτοῦ κεῖσθαι ἀπὸ Διὸς τὸ πρῶτον στοιχεῖον Ἑρμοῦ θέντος, ὃς τὸν διάκοσμον τῶν ἄστρων ἐποιήσατο. φασὶ δέ τινες καὶ τὴν γῆς Αἰγύπτου θέσιν ἐκ τοῦ ἐν τοῖς ἄστροις εἶναι τριγώνου, καὶ τὸν Νεῖλον τοιαύτην περιοχὴν ποιήσασθαι τῆς χώρας, ἅμα τὴν ἀσφάλειαν αὐτῇ

1. τοὺς π. ιη' add. Fellus: XVII Hyginus. ‖ 3. inscr. κρίου V: cf. Arat. phaen. 225. Hygin. poet. astr. 2, 20. 3, 19. Schol. Germ. 223. ‖ 4. ἐδέθη V. ‖ 5. cf. Marckscheffel Hes. fr. p. 355. Sturz. Pherec. fr. p. 159. ‖ 7. καὶ—ἀπολέσας susp. Schaubachio, καὶ—Παίωνα Heynio. ‖ 9. Παίονα Koppiers. ‖ 11. ἐκδὺς V, vulg. ἐν Διός, quod deleverunt Heynius et Schaubach. ‖ 12. ἀμαυρότερος Heynius. ‖ 16. ἑκατέρου add. Fellus, qui et ιη' dedit ex Schol. Germ. pro ιζ', quod habent OVS. ‖ 18. inscr. δελτωτοῦ V: cf. Arat. phaen. 233. Hygin. poet. astr. 2, 19. 3, 18. Schol. Germ. 233. ‖ 19. ἐκεῖνον Arnaldus, vulg. ἐκείνου. ‖ 20. ἐπ' αὐτοῦ delevit Heynius. ‖ τὸ πρῶτον στοιχεῖον] πρῶτον libri: τὸ πρῶτον Heynius, τοῦ πρώτου στοιχείου τὸ ὄνομα Arnaldus, τοῦ πρώτου τοῦ ὀνόματος ex Schol. Arati Schaubach.: τὸ et στοιχεῖον add. ex emend. Bernhard. Erat. p. 111. ‖ 21. Ἑρμοῦ θέντος Hyg. et Scholl. Arnaldus allique: libri ἑρμηνευθέντος. ‖ ὅς] ὅτε Koppiers. ‖ 22. καὶ] κατὰ Heynius, idem et mox τοῦτο — τρίγωνον p. ἐκ τοῦ—τριγώνου Matthiae. ‖

ποριζόμενον, εἰς δὲ τὸν σπόρον εὐμαρεστέραν ποιούμενον καὶ εἰς τὴν τῶν καρπῶν ἀνακομιδὴν εὐχέρειαν ** ὁρῶν ἐσόμενα. — Ἔχει δ' ἀστέρας γ' ἐφ' ἑκάστῃ τῶν γωνιῶν λαμπρούς.

XXI. Ἰχθύες. Οὗτοί εἰσι τοῦ μεγάλου Ἰχθύος ἔκγονοι, περὶ οὗ τὴν ἱστορίαν ἀποδώσομεν σαφέστερον, ὅταν ἐπ' αὐτῷ ἔλθωμεν. τούτων δὲ ἑκάτερος κεῖται ἐν ἑκατέρῳ μέρει διαλλάσσων· ὁ μὲν γὰρ βόρειος, ὁ δὲ νότιος καλεῖται. ἔχουσι δὲ σύνδεσμον ἕως τοῦ ἐμπροσθίου ποδὸς τοῦ Κριοῦ. — Ἔχουσι δὲ ἀστέρας ὁ μὲν βόρειος ιβ', ὁ δὲ νότιος ιε'· τὸ δὲ λῖνον αὐτῶν ᾧ συνέχονται ἔχει ἀστέρας ἐπὶ τοῦ βορείου γ', ἐπὶ τοῦ νοτίου γ', πρὸς ἀνατολὰς γ', ἐπὶ τοῦ συνδέσμου γ'· οἱ πάντες τῶν δύο ἰχθύων καὶ τοῦ συνδέσμου ἀστέρες λθ'.

XXII. Περσεύς. Περὶ τούτου ἱστορεῖται ὅτι ἐν τοῖς ἄστροις ἐτέθη διὰ τὴν δόξαν· τῇ γὰρ Δανάῃ ὡς χρυσὸς μιγεὶς ὁ Ζεὺς ἐγέννησεν αὐτόν· ὑπὸ δὲ τοῦ Πολυδέκτου ἐπέμφθη εἰς Γοργόνας, τήν τε κυνῆν ἔλαβε παρ' Ἑρμοῦ καὶ τὰ πέδιλα, ἐν οἷς διὰ τοῦ ἀέρος ἐποιεῖτο τὴν πορείαν· δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησίν, ὁ τῶν τραγῳδιῶν ποιητής. Φορκίδας Γραίας εἶχον προφύλακας αἱ Γοργόνες· αὗται δὲ ἕνα εἶχον ὀφθαλμὸν καὶ τοῦτον ἀλλήλαις ἐδίδοσαν κατὰ φυλακήν· τηρήσας δ' ὁ Περσεὺς ἐν τῇ παραδόσει, λαβὼν ἔρριψεν αὐ-

2. εὐχέρειαν — ἐσόμενα] sic cum signo lacunae O, uno tenore V: εὐχερεστέραν ἐσομένην Koppiers, εὐχέρειαν παρεχόμενον Bernhardy Erat. p. 125, εὐχέρειαν ὡρῶν ἐσόμενον vulg. ‖ 3. ἑκάστης S. ‖ γ' omisso λαμπρούς post γωνιῶν habet S. ‖ λαμπρὸν α' Koppiers. ‖ 4. inscr. ἰχθύων V: cf. Arat. phaen. 240. Hygin. poet. astr. 2, 30. 3, 29. Schol. Germ. 240. ‖ ἔγγονοι VM. ‖ 7. μ. διαι διαλάσσων V. ‖ καλεῖται Fellus: κεῖται OV. ‖ 8. ἕως V, ut et ex Schol. Arati Heynius (usque ad priores pedes aristis Schol. Germ.), vulg. ἐκ. ‖ ἔχουσι V, vulg. ἔχει. ‖ 9. καὶ ἐπὶ τοῦ μνείου β' post ιβ' add. OVS, delevit Fellus. ‖ 12. λθ'] μγ' VS, XLI Hyginus. ‖ 13. inscr. περσέως V: cf. Arat. phaen. 239. Hygin. poet. astr. 2, 12. 3, 11. Schol. Germ. 247. Phavor. s. v. Περσεύς. ‖ ἱστόρηται M. ‖ 15. πολυδεύκου OV: idem vitium extat adhuc in Schol. Arati. ‖ πεμφθεὶς Heynius. ‖ 19. scribebatur Φορκύσι et mox Φορκύδας: cf. Dind. poet. scen. fr. p. 19. ‖ τραγῳδιῶν V: τραγῳδῶν Fellus: ὁ — ποιητὴς susp. Schaubachio, sed Aeschylus tragoediarum scriptor Hyginus. ‖ φόρκυσιν ... ἅς O, φόρκυσιν (sed o puncto notatum) ἅς V: Φορκίδαι Γραίας Fellus, Φορκίδας Γραίας Galeus: ἅς solum probavit Heynius. ‖ 20. γοργόνες V. ‖

τὸν εἰς τὴν Τριτωνίδα λίμνην, καὶ οὕτως ἐλθὼν ἐπὶ τὰς Γοργόνας ὑπνωκυίας ἀφείλετο τῆς Μεδούσης τὴν κεφαλήν, ἣν ἡ Ἀθηνᾶ περὶ τὰ στήθη ἔθηκεν αὐτῆς· τῷ δὲ Περσεῖ τὴν περὶ τὰ ἄστρα θέσιν ἐποίησεν, ὅθεν ἔχων θεωρεῖται καὶ τὴν Γοργόνος κεφαλήν. — Ἔχει δ' ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς α', ἐφ' ἑκατέρῳ ὤμῳ λαμπρὸν α', ἐπ' ἄκρας τῆς δεξιᾶς χειρὸς λαμπρὸν α', ἐπ' ἀγκῶνος α', ἐπ' ἄκρας χειρὸς ἀριστερᾶς α', ἐν ᾗ τὴν κεφάλην δοκεῖ τῆς Γοργόνος ἔχειν· [ἐπὶ τῆς κοιλίας α',] ἐπὶ δεξιοῦ μηροῦ λαμπρὸν α', ἐπὶ γόνατος [ἑκατέρου] α', ἐπ' ἀντικνημίου [ἑκατέρου] α', [ποδὸς α' ἀμαυρόν,] περὶ τοὺς Γοργόνος πλοκάμους γ'· ἡ δὲ κεφαλὴ καὶ ἡ ἅρπη ἄναστρος ὁρᾶται, διὰ δὲ νεφελώδους συστροφῆς δοκεῖ [τισιν] ὁρᾶσθαι· [τοὺς πάντας ιε'.]

XXIII. Πλειάς. Ἐπὶ τῆς ἀποτομῆς τοῦ Ταύρου τῆς καλουμένης ῥάχεως Πλειάς ἐστιν, συνηγμένης δ' αὐτῆς εἰς ἀστέρας ἑπτὰ λέγουσιν εἶναι τῶν Ἄτλαντος θυγατέρων, διὸ καὶ Ἑπτάστερον καλεῖται. οὐχ ὁρῶνται δὲ αἱ ἑπτά, ἀλλ' αἱ ἕξ, τὸ δὲ αἴτιον οὕτω πως λέγεται. τὰς μὲν γὰρ ἕξ φασι θεοῖς μιγῆναι, τὴν δὲ μίαν θνητῷ· τρεῖς μὲν οὖν μιγῆναι Διί, Ἡλέκτραν, ἐξ ἧς Δάρδανος, Μαῖαν, ἐξ ἧς Ἑρμῆς, Ταϋγέτην, ἐξ ἧς Λακεδαίμων· Ποσειδῶνι δὲ δύο μιγῆναι, Ἀλκυόνην, ἐξ ἧς Ὑριεύς, Κελαινώ, ἐξ ἧς Λύκος· Στερόπη δὲ λέγεται Ἄρεϊ μιγῆναι, ἐξ ἧς Οἰνόμαος ἐγένετο, Μερόπη δὲ Σισύφῳ θνητῷ, διὸ παναφανής ἐστι. μεγίστην δ' ἔχουσι δόξαν ἐν τοῖς ἀνθρώποις ἐπισημαίνουσαι καθ' ὥραν. θέσιν δ' ἔχουσιν εὖ μάλα κείμεναι κατὰ τὸν Ἵππαρχον τριγωνοειδοῦς σχήματος.

4. περὶ] εἰς Heynius. ‖ 9. quae hinc uncis inclusa sunt ex Schol. Germ. add. Fellus. ‖ 11. ἡ δὲ—ὁρᾶται Fellus: ἡ δὲ κεφαλὴ ἡ (om. ἡ VS), ἡ δ' (ἡδ' V, ἡ καὶ S) ἅρπη ἔχουσα ε' ἄναστρος OVS. ‖ 13. ιε'] XIX Hyginus, XVIII Schol. Germ. ‖ 14. inscr. πλειάδων V: cf. Arat. phaen. 254. Hygin. poet. astr. 2, 21. 3, 20. Schol. Germ. 254. Eudoc. p. 339. ‖ τοῦ ταύρου delevit Lennep ad Coluth. p. 48. ‖ 15. συνηγμένη Heynius. ‖ δ' V, δε' vulg.: δ' αὐτῆς tollendum et δὲ αὐτὴν post λέγουσι ponendum censuit Heynius. ‖ 17. τὸ δὲ αἴτιον—σχήματος cap. 14 inseruit Lennep. ‖ 18. ἕξ om. V. ‖ 22. Ὑριεύς] Herus Schol. Germ. ‖ Λύκος Heynius obss. ad Apoll. p. 683, vulg. Λεῦκος. ‖ Asterope Schol. Germ. ‖ 25. δὲ V: θέσιν—σχήματος post Fellum susp. Schaubachio. ‖

XXIV. *Λύρα. Αὕτη ἐννάτη κεῖται ἐν τοῖς ἄστροις. ἔστι δὲ Μουσῶν, κατεσκευάσθη δὲ τὸ μὲν πρῶτον ὑπὸ Ἑρμοῦ ἐκ τῆς χελώνης καὶ τῶν Ἀπόλλωνος βοῶν, ἔσχε δὲ χορδὰς ἑπτὰ ἀπὸ τῶν Ἀτλαντηρίδων. μετέλαβε δὲ αὐτὴν Ἀπόλλων καὶ συναρμοσάμενος ᾠδὴν Ὀρφεῖ ἔδωκεν, ὃς Καλλιόπης* 5 *υἱὸς ὢν, μιᾶς τῶν Μουσῶν, ἐποίησε τὰς χορδὰς ἐννέα ἀπὸ τοῦ τῶν Μουσῶν ἀριθμοῦ, καὶ προήγαγεν ἐπιπλέον, ἐν τοῖς ἀνθρώποις δοξαζόμενος οὕτως ὥστε καὶ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοιαύτην, ὅτι καὶ τὰς πέτρας καὶ τὰ θηρία ἐκήλει διὰ τῆς ᾠδῆς. ὃς τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον* 10 *μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον προσέμενε τὰς ἀνατολάς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον· ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιη-* 15 *τής, αἵτινες αὐτὸν διέσπασαν καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον· αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις. τὴν δὲ λύραν οὐκ ἔχουσαι ὅτῳ δώσειεν τὸν Δία ἠξίωσαν καταστερίζειν, ὅπως ἐκείνου τε καὶ αὐτῶν μνημόσυνον τεθῇ ἐν τοῖς ἄστροις· τοῦ δὲ ἐπινεύσαν-* 20 *τος οὕτως ἐτέθη, ἐπισημασίαν δ' ἔχει ἐπὶ τῷ ἐκείνου συμπτώματι δυομένη καθ' ὥραν. — Ἔχει δ' ἀστέρας ἐπὶ τῶν κτενῶν ἑκατέρων α΄, ἐφ' ἑκάστου πήχεως α΄, ἐπ' ἀκρότητι ὁμοίως α΄, ἐφ' ἑκατέρων ὤμων α΄, ἐπὶ ζυγοῦ α΄, ἐπὶ τοῦ πυθμένος α΄ λευκὸν καὶ λαμπρόν· τοὺς πάντας θ΄.* 25

1. inscr. λύρας V: cf. Arat. phaen. 268. Hygin. poet. astr. 2, 7. 3; 6. Schol. Germ. 269. Phavor. s. v. λύρα. Eudoc. p. 280. ‖ ἐνάτη V, elecit Schaubach. ‖ 3. καὶ—βοῶν corruptum esse censuit Heyn. ad Apoll. p. 689. ‖ 4. ἀτλαντηρίδων O (certe Fellus), ἀτλαντηρίονδων lineolâ transversa per ον ducta V: fuitus est Bernhardy Erat. p. 119, Ἀτλαντίδων v. Ἀτλαντιάδων Munck. ad Hyg. p. 372 et Valck. ad Schol. Eur. Phoen. p. 628. ‖ μετέβαλε V (sic et Phav. et Eud.), κατέβαλε vulg.: κατέλαβε Heyn. ad Apoll. l. l., μετέλαβε Unger Theb. parad. 1. p. 353. ‖ 5. ᾠδὴν delevit Heynius. ‖ 6. ὧν] ὦ V: ἦν et deinde ἐποίησε δὲ Schaubach. ‖ 8. αὐτοὺς post ἔχειν add. Heynius. ‖ 9. ἐκήλει Koppiers, vulg. ἐκάλει. ‖ 10. ὃς] οὗτος vel ὁ δὲ Heynius. ‖ 12. malim δὲ, nisi καὶ excidit cum part. ἰών, quod etiam Heynius desideravit. ‖ 15. cf. Dind. poet. scen. fr. p. 4. ‖ 22. δυομένη καθ' ὥραν ante ἐπὶ transposuit Heynius. ‖ 23. ἑκάστης Fellus. ‖ ἀκρωτῆρι VS. ‖ 24. ἐπὶ ζυγοῦ α΄ post λαμπρὸν habet S. ‖ 25. τοὺς π. θ΄] θ΄ v. 22. post ἀστέρας S. ‖

XXV. *Κύκνος.* Οὗτός ἐστιν [ὄρνις] ὁ καλούμενος μέγας, ὃν Κύκνῳ εἰκάζουσιν. λέγεται δὲ τὸν Δία ὁμοιωθέντα τῷ ζώῳ τούτῳ Νεμέσεως ἐρασθῆναι, ἐπεὶ αὐτὴ πᾶσαν ἤμειβε μορφήν, ἵνα τὴν παρθενίαν φυλάξῃ· καὶ τότε Κύκνος γέγο-
5 νεν· οὕτω καὶ αὐτὸν ὁμοιωθέντα τῷ ὀρνέῳ καταπτῆναι εἰς Ῥαμνοῦντα τῆς Ἀττικῆς, κἀκεῖ τὴν Νέμεσιν φθεῖραι, τὴν δὲ τεκεῖν ᾠόν, ἐξ οὗ ἐκκολαφθῆναι καὶ γενέσθαι τὴν Ἑλένην, ὥς φησι Κρατῖνος ὁ ποιητής· καὶ διὰ τὸ μὴ μεταμορφωθῆναι αὐτόν, ἀλλ' οὕτως ἀναπτῆναι εἰς τὸν οὐρανόν, καὶ
10 τὸν τύπον τοῦ Κύκνου ἔθηκεν ἐν τοῖς ἄστροις. ἔστι δὲ ἱπτάμενος, οἷος τότε ἦν. — Ἔχει δ' ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς λαμπρὸν α', ἐπὶ τοῦ τραχήλου λαμπρὸν α', ἐπὶ τῆς δεξιᾶς πτέρυγος ε', ἐπὶ τοῦ σώματος δ', ἐπὶ τοῦ ὀρθοπυγίου α', ὅς ἐστι μέγιστος· [τοὺς πάντας ιβ'.]

15 XXVI. *Ὑδροχόος.* Οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· Ὑδροχόος· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ. λέγουσι δέ τινες αὐτὸν εἶναι τὸν Γανυμήδην, ἱκανὸν ὑπολαμβάνοντες σημεῖον εἶναι τὸ ἐσχηματίσθαι τὸ εἴδωλον οὕτως ὥσπερ ἂν οἰνοχόον χέειν. ἐπάγον-
20 ται δὲ καὶ τὸν ποιητὴν μάρτυρα διὰ τὸ λέγειν αὐτόν, ὡς ἀνεκομίσθη οὕτως πρὸς τὸν Δία κάλλει ὑπερενέγκας, ἵνα οἰνοχοῇ, ἄξιον κρίνειν αὐτὸν τῶν θεῶν, καὶ ὅτι τέτευχεν ἀθανασίας τοῖς ἀνθρώποις ἀγνώστου οὔσης. ἡ δὲ γινομένη ἔκχυσις

1. inscr. κύκνου V: cf. Arat. phaen. 271. Hygin. poet. astr. 2, 8. 3, 7. Schol. Germ. 273. ‖ οὗτον V. ‖ ὄρνις ex Arato add. Fellus (cf. Hygin.), ὁ καλ. ὄρνις μέγας Heynius. ‖ 2. ὁμοιωθέντα — τούτῳ et mox ἐπεὶ — καὶ αὐτὸν praeter καὶ delevit Heynius, solum πᾶσαν susp. Schaubachio. ‖ 8. κράτης OV (*Crates* Schol. Germ., sed item *Cratinus* cod. Berol.): Κρατῖνος Koppiers et Valck. ad Eur. Phoen. p. 166. cf. Meinekii fragm. com. gr. 2, 1. p. 81. ‖ καὶ — αὐτὸν delenda et mox τεθῆναι p. ἔθηκεν scribendum censuit Schaubach. ‖ 9. καὶ delevit Heynius. ‖ 13. ἐπὶ τῆς ἀριστερᾶς post πτέρυγος ex Hyg. et Schol. Germ. inseruit Schaubach. ‖ δ'] α' idem. ‖ 14. μέγας S. ‖ τοὺς π. ιβ' add. Fellus: XIII Hyginus, XIV Schol. Germ. ‖ 15. inscr. ὑδροχόου V: cf. Arat. phaen. 283. Hygin. poet. astr. 2, 29. 3, 28. Schol. Germ. 283. ‖ 19. οἰνοχόην Heynius. ‖ 20. Hom. Iliad. 20, 233. ‖ 21. οὕτως delevit Heynius, post κάλλει posuit Schaubach. ‖ 22. κρίνειν OV: κρίναντα Fellus: καὶ, ἵνα οἰνοχοῇ, ἄξιον κρίνειν αὐτὸν τὸν θεόν Heynius, τῶν θεῶν ἄξιον κρινάντων αὐτὸν ἵνα οἰνοχοῇ Schaubach. ‖ ἀθανασίαν τ. ἀ. ἄγνωστον οὖσαν V. ‖

εἰκάζεται τῷ νέκταρι, ὃ καὶ ὑπὸ τῶν θεῶν πίνεται, εἰς μαρτύριον [ὥς τινες λέγουσι] τῆς εἰρημένης πόσεως τῶν θεῶν ὑπολαμβάνοντες τοῦτο εἶναι. — Ἔχει δ' ἀστέρας ἐπὶ τῆς κεφαλῆς ἀμαυροὺς β', ἐφ' ἑκατέρων ὤμων α' ἀμφοτέρους μεγάλους, ἐφ' ἑκατέρῳ ἀγκῶνι α', ἐπ' ἄκρας χειρὸς δεξιᾶς λαμπρὸν α', ἐφ' ἑκατέρου μαστοῦ α', ὑπὸ τοὺς μαστοὺς ἑκατέρωθεν α', ἐπ' ἀριστεροῦ ἰσχίου α', ἐφ' ἑκατέρου γόνατος α', ἐπὶ δεξιᾶς κνήμης α', ἐφ' ἑκατέρῳ ποδὶ α', [τοὺς πάντας ιζ'·] ἡ δὲ ἔκχυσις τοῦ ὕδατός ἐστιν ἐξ ἀριστερῶν, ἔχουσα ἀστέρας β', οἵ εἰσι λαμπροί, [λοιποὶ δὲ ἀμαυροί.]

XXVII. Αἰγόκερως. Οὗτός ἐστι τῷ εἴδει ὅμοιος τῷ Αἰγίπανι, ἐξ ἐκείνου δὲ γέγονεν· ἔχει δὲ θηρίου τὰ κάτω μέρη καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐτιμήθη δὲ διὰ τὸ σύντροφον εἶναι τῷ Διί, καθάπερ Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησιν, ὅτι ἐν τῇ Ἴδῃ συνῆν αὐτῷ, ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν. οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ᾧ τοὺς συμμάχους καθώπλισε, διὰ τὸ τοῦ ἤχου Πανικὸν καλούμενον, ὃ οἱ Τιτᾶνες ἔφευγον. παραλαβὼν δὲ [ὁ Ζεὺς] τὴν ἀρχὴν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκε καὶ τὴν Αἶγα τὴν μητέρα· διὰ δὲ τὸν κόχλον ἐν τῇ θαλάσσῃ παράσημον ἔχει ἰχθύος. — Ἔχει δ' ἀστέρας ἐφ' ἑκατέρου κέρατος α' λαμπρόν, ἐπὶ τῆς κεφαλῆς β', ἐπὶ τραχήλου γ', ἐπὶ στήθους β', ἐπ' ἐμπροσθίου

1. εἰς—εἶναι susp. Heynio, saltem sic voluit, ὥς τινες λέγουσιν εἰς μαρτύριον τῆς. ‖ 2. ὥς τ. λέγουσι om. V ac videtur a Fello illatum. ‖ 5. ἑκακατέρωναγκωνι V. ‖ 8. ἐφ'] legebatur ἐν. ‖ τοὺς π. ιζ' add. Fellus: XIV Hyginus, XIII Schol. Germ. ‖ 9. ἐστι S. ‖ ἀριστερῶν] δεξιῶν Schaubach. ‖ 10. β' OV, [λ']β' Fellus: debebat saltem λ', ὧν β' εἰσι: XXXI Schol. Germ. ‖ λ. δ. ἀ. ex Schol. Germ. add. Fellus. ‖ 11. inscr. om. V, Αἰγόκερως S et ex Arato, Theone et Phavorino Schaubach, Αἰγίκερως Heynius, Πάν OM et vulg.: cf. Arat. phaen. 284. Hygin. poet. astr. 2, 28. 3, 27. Schol. Germ. 285. ‖ 12. αἰγὶ πανί OVM: πανὶ Phavor., τῇ αἰγί Theo. ‖ ἐξ—γέγονεν delevit Schaubach. ‖ θηρίου OVS: ἰχθύος Fellus, et sic Theo, *piscis* Hyg. et Schol. Germ. ‖ 13. μέρατα V. ‖ 15. φησι V. ‖ ἐν τῇ Ἴδῃ delevit Heynius. ‖ 16. κόλχον V: κόχλακα Theo. ‖ 17. διὰ — ἔφευγον] διὰ δὲ τὸ τ. ἡ. Π. κ. οἱ Τ. ἔφευγον Koppiers, καὶ τὸ τοῦ ἡ. Π. κ. δι' ὃ οἱ Τ. ἐφ. Heynius. ‖ 18. ὁ Ζεὺς add. Fellus. ‖ 19. καὶ—μητέρα delevit Heynius. ‖ 20. κόλχον V. ‖ εὑρεῖν post θαλάσσῃ et οὐρὰν post ἰχθύος excidisse ex Schol. Arati 282 intellexit Heynius, item Bernhardy Erat. p. 126, nisi quod διὰ δὲ τὸ τὸν κ. εὑρεῖν ἐν τ. θ. π. οὐρὰν ἐ. ἰ. ‖ 21. δὲ S. ‖

ποδὸς α΄, ἐπὶ ῥάχεως ζ΄, ἐπὶ γαστρὸς ε΄, ἐπ᾽ οὐρᾶς β΄ λαμπρούς· τοὺς πάντας κδ΄.

XXVIII. Τοξότης. Οὗτός ἐστιν ὁ Τοξότης, ὃν οἱ πλεῖστοι λέγουσι Κένταυρον εἶναι, ἕτεροι δ᾽ οὔ φασι διὰ τὸ μὴ τετρασκελῆ αὐτὸν ὁρᾶσθαι, ἀλλ᾽ ἑστηκότα καὶ τοξεύοντα· Κενταύρων δὲ οὐδεὶς τόξῳ κέχρηται. οὗτος δ᾽ ἀνὴρ ὢν σκέλη ἔχει ἵππου καὶ κέρκον καθάπερ οἱ Σάτυροι· διόπερ αὐτοῖς ἀπίθανον ἐδόκει εἶναι, ἀλλὰ μᾶλλον Κρότον τὸν Εὐφήμης τῆς τῶν Μουσῶν τροφοῦ υἱόν· οἰκεῖν δ᾽ αὐτὸν καὶ διαιτᾶσθαι ἐν τῷ Ἑλικῶνι· ὃν καὶ αἱ Μοῦσαι τὴν τοξείαν εὑράμενον τὴν τροφὴν ἀπὸ τῶν ἀγρίων ἔχειν ἐποίησαν, καθάπερ φησὶ Σωσίθεος. συμμίσγοντα δὲ ταῖς Μούσαις καὶ ἀκούοντα αὐτῶν ἐπισημασίαις ἐπαινέσαι κρότον ποιοῦντα· τὸ γὰρ τῆς φωνῆς ἀσαφὲς ἦν ὑπὸ ἑνὸς Κρότου σημαινόμενον· ὅθεν ὁρῶντες τοῦτον καὶ οἱ ἄλλοι ἔπραττον τὸ αὐτό· διόπερ αἱ Μοῦσαι δόξης τυχοῦσαι τῇ τούτου βουλήσει ἠξίωσαν τὸν Διὰ ἐπιφανῆ αὐτὸν ποιῆσαι ὅσιον ὄντα, καὶ οὕτως ἐν τοῖς ἄστροις ἐτέθη τῇ τῶν χειρῶν χρήσει τὴν τοξείαν προσλαβὼν σύσσημον. ἐν δὲ τοῖς ἀνθρώποις ἔμεινεν ἡ ἐκείνου πρᾶξις· ὅθεν ἐστὶ καὶ πλοῖον αὐτοῖ μαρτύριον, ὅτι πᾶσίν ἐστι σαφής, οὐ μόνον τοῖς ἐν χέρσῳ, ἀλλὰ καὶ τοῖς ἐν πελάγει. διόπερ οἱ γράφοντες αὐτὸν Κένταυρον διαμαρτάνουσιν. — Ἔχει δ᾽ ἀστέρας ἐπὶ τῆς κεφαλῆς β΄, ἐπὶ τοῦ τόξου β΄, ἐπὶ τῆς ἀκίδος β΄, ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α΄, ἐπ᾽ ἄκρας χειρὸς α΄, ἐπὶ τῆς κοιλίας λαμπρὸν α΄, ἐπὶ ῥάχεως β΄, ἐπὶ κέρκου α΄, ἐπ᾽ ἐμπροσθίου γόνατος α΄, ἐφ᾽ ὁπλῆς α΄· τοὺς πάντας ιδ΄· τοὺς δὲ λοιποὺς ζ΄ ἀστέρας ὑπὸ τὸ σκέλος. ὅμοιοι δέ εἰσι τῶν ὀπισθίων μὴ δεικνυμένων ὅλων φανερῶν.

2. κβ΄ VS, XX Hyginus, XXVI Schol. Germ. ‖ 3. inscr. τοξότου V: cf. Arat. phaen. 306. Hygin. poet. astr. 2, 27. 3, 26. Schol. Germ. 305. ‖ 7. σατυρικοί V. ‖ 9. τῆς add. V, nisi quod εὐφημηστὴν τῶν. ‖ 13. ἐπισημασίαις ἐπαινέσαι Wessel. ad Diod. p. 254, vulg. ἐπὶ σημασίας ἐπαινεῖσθαι: plausu cantus eorum distinguebat Schol. Germ. ‖ 14. τὸ—σημαινόμενον susp. Heynio, qui et Κρότου dedit pro vulg. κρότου. ‖ 16. δόξης χάριν εὐχοῦσαι V: δόξης—βουλήσει susp. Schaubachio. ‖ 18. τῆς τ. χ. χρήσεως Heynius. ‖ 20. ὅθεν] ὁ V. ‖ πλοῖον OV: πλεῖον Heynius. ‖ ὅτι—πελάγει delevit Schaubach. ‖ 24. ἀλκίδος VS. ‖ 27. ιδ΄] κ΄ VS, XV Hyginus et Schol. Germ. ‖

XXIX. Τόξον. Τοῦτο τὸ βέλος ἐστὶ τοξικόν, ὅ φασιν εἶναι Ἀπόλλωνος, ὅτε δὴ τοὺς Κύκλωπας τῷ Διὶ κεραυνὸν ἐργασαμένους ἀπέκτεινε δι' Ἀσκληπιόν. ἔκρυψε δὲ αὐτὸ ἐν Ὑπερβορείοις, οὗ καὶ ὁ ναὸς ὁ πτέρινος. λέγεται δὲ πρότερον ἀπενηνέχθαι, ὅτε τοῦ φόνου αὐτὸν ὁ Ζεὺς ἀπέλυσε καὶ ἐπαύσατο τῆς παρὰ Ἀδμήτῳ λατρείας, περὶ ἧς λέγει Εὐριπίδης ἐν τῇ Ἀλκήστιδι. δοκεῖ δὲ τότε ἀνακομισθῆναι ὁ οἰστὸς μετὰ τῆς καρποφόρου Δήμητρος διὰ τοῦ ἀέρος· ἦν δὲ ὑπερμεγέθης, ὡς Ἡρακλείδης ὁ Ποντικός φησιν ἐν τῷ περὶ δικαιοσύνης: ὅθεν εἰς τὰ ἄστρα τέθεικε τὸ βέλος ὁ Ἀπόλλων εἰς ὑπόμνημα τῆς ἑαυτοῦ μάχης καταστερίσας. — Ἔχει δ' ἀστέρας ἐπὶ τοῦ ἄκρου α', κατὰ τὸ μέσον ἀμαυρὸν α', ἐπὶ τοῦ χηλώματος β', εὐσημότατος δέ ἐστιν ὁ εἷς· οἱ πάντες δ'.

XXX. Ἀετός. Οὗτός ἐστιν ὁ Γανυμήδην ἀνακομίσας εἰς οὐρανὸν τῷ Διί, ὅπως ἔχῃ οἰνοχόον. ἔστι δὲ ἐν τοῖς ἄστροις, διόσον καὶ πρότερον, ὅτε οἱ θεοὶ τὰ πτηνὰ διεμερίζοντο, τοῦτον ἔλαχεν ὁ Ζεύς. μόνον δὲ τῶν ζώων ἀνθήλιον ἵπταται ταῖς ἀκτῖσιν οὐ ταπεινούμενον· ἔχει δὲ τὴν ἡγεμονίαν ἁπάντων. ἐσχημάτισται δὲ διαπεπταμένος τὰς πτέρυγας ὡς ἂν καθιπτάμενος. Ἀγλαοσθένης δέ φησιν ἐν τοῖς Ναξιακοῖς, γενόμενον τὸν Δία ἐν Κρήτῃ καὶ κατὰ κράτος ζητούμενον ἐκεῖθεν ἐκκλαπῆναι καὶ ἀχθῆναι εἰς Νάξον, ἐκτραφέντα δὲ καὶ γενόμενον ἐν ἡλικίᾳ τὴν τῶν θεῶν βασιλείαν κατασχεῖν· ἐξορμῶντος δὲ ἐκ τῆς Νάξου ἐπὶ τοὺς Τιτᾶνας καὶ ἀετὸν αὐτῷ φανῆναι συνιόντα, τὸν δὲ οἰωνισάμενον ἱερὸν αὐτὸν ποιήσασθαι κατηστερισμένον, καὶ διὰ τοῦτο

1. inscr. οἴστου V(S): cf. Arat. phaen. 311. Hygin. poet. astr. 2, 15. 3, 14. Schol. Germ. 314. ‖ 2. Ἀπόλλωνα Fellus. ‖ ὅτε] ᾧ τε Heynius. ‖ 4. πρότερον] ὕστερον idem. ‖ 8. ἀρέος V. ‖ 9. φησι V. ‖ 11. καταστερίσας V, erat καταστερίσαι. ‖ 12. δ' post ἀστέρας omisso οἱ πάντες δ' S. ‖ α' om. S. ‖ α' ἀμαυρόν VS. ‖ 13. δ' ἐστὶ ὁ α' S. ‖ 14. inscr. αἰετοῦ V: cf. Arat. phaen. 313. Hygin. poet. astr. 2, 16. 3, 15. Schol. Germ. 315. ‖ 16. διόσον] διόπερ Schaubachius, malim Διὸς ὤν. ‖ 17. ζωοανθήλιον V. ‖ 19. ἀνάπεπταμένος Koppiers. ‖ 20. Ἐρατοσθένης OV, corr. ex Hyg. et Schol. Germ. Fellus. ‖ φησι V. ‖ Ναξικοῖς Matthiae. ‖ 21. ζητούμενον] αὐξάμενον Koppiers. ‖ 22. ζ. δὶς ἐκκλαπέντα ἐκ. ἐκκλ. V. ‖ 25. καὶ delendum aut ἱερεύσαντος ex Hygino (sacrificanti ei aquilam auspicatam) addendum censuit Heynius. ‖ ἀἰετὸν V. ‖

τῆς ἐν οὐρανῷ τιμῆς ἀξιωθῆναι. — Ἔχει δὲ ἀστέρας δ', ὧν ὁ μέσος ἐστὶ λαμπρός.

XXXI. Δελφίν. Οὗτος ἐν τοῖς ἄστροις λέγεται τεθῆναι δι' αἰτίαν τοιαύτην. τοῦ Ποσειδῶνος βουλομένου τὴν Ἀμφιτρίτην λαβεῖν εἰς γυναῖκα εὐλαβηθεῖσα ἐκείνη ἔφυγε πρὸς τὸν Ἄτλαντα, διατηρῆσαι τὴν παρθενίαν σπεύδουσα. ὡς δὲ καὶ αἱ πλεῖσται Νηρηίδες ἐκρύπτοντο κεκρυμμένης ἐκείνης, πολλοὺς ὁ Ποσειδῶν ἐξέπεμψε μαστῆρας, ἐν οἷς καὶ τὸν Δελφῖνα· πλανώμενος δὲ κατὰ τὰς νήσους τοῦ Ἄτλαντος, περιπεσὼν αὐτῇ προσαγγέλλει καὶ ἄγει πρὸς Ποσειδῶνα, ὁ δὲ γήμας αὐτὴν μεγίστας τιμὰς ἐν τῇ θαλάσσῃ αὐτῷ ὥρισεν, ἱερὸν αὐτὸν ὀνομάσας εἶναι, καὶ εἰς τὰ ἄστρα αὐτοῦ σύστημα ἔθηκεν. ὅσοι δ' ἂν αὐτῷ τῷ Ποσειδῶνι χαρίσασθαι θέλωσιν, ἐν τῇ χειρὶ ποιοῦσιν ἔχοντα τὸν Δελφῖνα, τῆς εὐεργεσίας μεγίστην δόξαν αὐτῷ ἀπονέμοντες. λέγει δὲ περὶ αὐτοῦ καὶ Ἀρτεμίδωρος ἐν ταῖς ἐλεγείαις, ταῖς περὶ Ἔρωτος αὐτῷ πεποιημέναις βίβλοις. — Ἔχει δ' ἀστέρας ἐπὶ τοῦ στόματος α', ἐπὶ τῆς λοφίας β', ἐπὶ τῶν πρὸς τῇ κοιλίᾳ πτερύγων γ', νωτιαῖον α', ἐπ' οὐρᾶς β'· τοὺς πάντας θ'. λέγεται δὲ καὶ φιλόμουσον εἶναι τὸ ζῶον, διὰ τὸ ἀπὸ τῶν Μουσῶν τὸν ἀριθμὸν ἔχειν τῶν ἀστέρων.

XXXII. Ὠρίων. Τοῦτον Ἡσίοδός φησιν Εὐρυάλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δοθῆναι δὲ αὐτῷ δωρεὰν ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι καθάπερ ἐπὶ τῆς γῆς. ἐλθόντα δὲ αὐτὸν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, γνόντα δὲ τὸν Οἰνοπίωνα καὶ χαλεπῶς ἐνεγκόντα τὴν ὕβριν ἐκτυφλῶσαι αὐτὸν καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν. ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμίξαι· ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ Κηδαλίωνα τὸν

3. inscr. δελφῖνος V: cf. Arat. phaen. 316. Hygin. poet. astr. 2, 17. 3, 16. Schol. Germ. 320. ‖ 7. ὡς] Σαὼ ex Hes. theog. 243 Koppiers. ‖ αἱ πλεῖσται delevit Heynius. ‖ ἐκρύπτων τὸ κεκρ. V. ‖ 8. μαστῆρας Koppiers (cf. Koen. ad Greg. p. 94), vulg. μνηστῆρας. ‖ 10. παραγγέλλει Heynius. ‖ 16. ταῖς — βίβλοις susp. eidem. ‖ 19. νῶται V, νῶτου S. ‖ θ'] X Hyginus. ‖ 22. inscr. ὠρίωνος V: cf. Arat. phaen. 322. Hygin. poet. astr. 2, 34. 3, 33. Schol. Germ. 327. ‖ cf. Marckscheffel Hes. fr. p. 357 sq. ‖ φησι V. ‖ 23. Μινύου Mueller. Orchom. p. 100, 3. ‖ 28. ἀλητεύοντα vulg., corr. Heynius. ‖ 29. Κηδαλίωνα ex Schol. Nic. ther. 15 et Hygino Koppiers et Heynius ad Apoll. 1. 4, 3, Κυδαλίωνα Schol. Arati, vulg. Ἡνδα-

αὐτοῦ οἰκεῖον οἰκέτην, ὅπως ὁδηγῇ καὶ ἡγῆται αὐτοῦ· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε σημαίνοντα τὰς ὁδούς. ἐλθὼν δ' ἐπὶ τὰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας δοκεῖ ὑγιασθῆναι, καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθεῖν πάλιν τιμωρίαν αὐτῷ ἐπιθήσων· ὁ δὲ ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τὴν ἐκείνου ζήτησιν ἀπῆλθεν εἰς Κρήτην καὶ περὶ τὰς θήρας διῆγε κυνηγετῶν τῆς Ἀρτέμιδος παρούσης καὶ τῆς Λητοῦς, καὶ δοκεῖ ἀπειλήσασθαι ὡς πᾶν θηρίον ἀνελεῖν τῶν ἐπὶ τῆς γῆς γιγνομένων· θυμωθεῖσα δὲ αὐτῷ Γῆ ἀνῆκε σκορπίον εὐμεγέθη, ὑφ' οὗ τῷ κέντρῳ πληγεὶς ἀπώλετο· ὅθεν διὰ τὴν αὐτοῦ ἀνδρίαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεὺς ὑπὸ Ἀρτέμιδος καὶ Λητοῦς ἀξιωθείς, ὁμοίως καὶ τὸ θηρίον τοῦ εἶναι μνημόσυνον καὶ τῆς πράξεως. ἄλλοι δέ φασιν αὐξηθέντα τοῦτον ἐρασθῆναι τῆς Ἀρτέμιδος, τὴν δὲ τὸν σκορπίον ἀνενεγκεῖν κατ' αὐτοῦ, ὑφ' οὗ κρουσθέντα ἀποθανεῖν, τοὺς δὲ θεοὺς ἐλεήσαντας αὐτὸν ἐν οὐρανῷ καταστερίσαι καὶ τὸ θηρίον εἰς μνημόσυνον τῆς πράξεως. — Ἔχει δ' ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς γ' ἀμαυρούς, ἐφ' ἑκατέρῳ ὤμῳ λαμπρὸν α', ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος α', ἐπ' ἄκρας χειρὸς α', ἐπὶ τῆς ζώνης γ', ἐπὶ τοῦ ἐγχειριδίου γ' ἀμαυρούς, ἐφ' ἑκατέρῳ γόνατι λαμπρὸν α', ἐφ' ἑκατέρῳ ποδὶ ὁμοίως λαμπρὸν α'· [τοὺς πάντας ιζ'.]

XXXIII. Κύων. Περὶ τούτου ἱστορεῖται ὅτι ἐστὶν ὁ δοθεὶς Εὐρώπῃ φύλαξ μετὰ τοῦ ἄκοντος· ἀμφότερα δὲ ταῦτα Μίνως ἔλαβεν. καὶ ὕστερον ὑπὸ Πρόκριδος ὑγιασθεὶς ἐκ νόσου ἐδωρήσατο αὐτῇ, μετὰ δὲ χρόνον Κέφαλος ἀμφοτέρων αὐτῶν ἐκράτησε διὰ τὸ εἶναι Πρόκριδος ἄνδρα. ἦλθε δὲ εἰς τὰς Θήβας ἐπὶ τὴν ἀλώπεκα ἄγων αὐτήν, εἰς ἣν λόγιον ἦν ὑπὸ μηδενὸς ἀπολέσθαι. οὐκ ἔχων οὖν ὅ τι ποιῆσαι ὁ Ζεὺς τὴν μὲν ἀπελίθωσε, τὸν δὲ εἰς τὰ ἄστρα ἀνήγαγεν ἄξιον κρίνας. ἕτεροι δέ φασιν αὐτὸν εἶναι κύνα Ὠρίωνος καὶ περὶ

λίωνα. ‖ 1. οἰκεῖον delevit Heynius. ‖ 9. τῆς om. V. ‖ 12. καὶ Λητοῦς] κληθους V. ‖ 13. τοῦ] αὐτοῦ Schaubach. ‖ καὶ delevit Heynius. ‖ 16. αὐτόν τε ἐν idem. ‖ 19. ἀμαυροὺς β' post χειρὸς α' add. VS. ‖ 20. τοῦ om. S. ‖ 21. τοὺς π. ιζ' add. Fellus. ‖ 23. Inscr. κυνός V: cf. Arat. phaen. 326. Hygin. poet. astr. 2, 35. 3, 34. Schol. Germ. 332. ‖ 24. δράκοντος vulg. (*cum dracone* Schol. Germ.), corr. Koppiers. ‖ 27. ἀνὴρ V. ‖ 30. ἄξιον κρίνας susp. Schaubachio. ‖

τὰς θήρας γενομένῳ συνέπεσθαι, καθάπερ καὶ τοῖς κυνηγετοῦσι πᾶσι τὸ ζῶον συναμύνασθαι δοκεῖ τὰ θηρία· ἀναχθῆναι δὲ αὐτὸν εἰς τὰ ἄστρα κατὰ τὴν τοῦ Ὠρίωνος ἀναγωγήν, καὶ τούτου εἰκότως γεγονότος διὰ τὸ μηδὲν ἀπολείπειν τῶν
5 συμβεβηκότων Ὠρίωνι. — Ἔχει δ' ἀστέρας ἐπὶ μὲν τῆς κεφαλῆς [α', ὃς Ἴσις λέγεται], ἐπὶ τῆς γλώττης α', ὃν καὶ Σείριον καλοῦσιν (μέγας δ' ἐστὶ καὶ λαμπρός· τοὺς δὲ τοιούτους ἀστέρας οἱ ἀστρολόγοι Σειρίους καλοῦσι διὰ τὴν τῆς φλογὸς κίνησιν), ἐφ' ἑκατέρῳ ὤμῳ α' ἀμαυρόν, ἐπὶ στήθους β', [ἐπὶ
10 τῆς ῥάχεως β',] ἐπ' ἐμπροσθίου ποδὸς γ', ἐπὶ κοιλίας β', ἐπὶ τοῦ ἀριστεροῦ ἰσχίου α', ἐπ' ἄκρῳ ποδὶ α', ἐπὶ δεξιοῦ ποδὸς α', ἐπὶ κέρκου δ'· τοὺς πάντας [κ'].

XXXIV. Λαγωός. Οὗτός ἐστιν ὁ ἐν τῇ καλουμένῃ κυνηγίᾳ εὑρεθείς· διὰ δὲ τὴν ταχύτητα τοῦ ζώου ὁ Ἑρμῆς
15 δοκεῖ θεῖναι αὐτὸν ἐν τοῖς ἄστροις. μόνον δὲ τῶν τετραπόδων δοκεῖ κύειν πλείονα, ὧν τὰ μὲν κύει, τὰ δ' ἔχει ἐν τῇ κοιλίᾳ, καθάπερ Ἀριστοτέλης ὁ φιλόσοφος λέγει ἐν τῇ περὶ τῶν ζώων πραγματείᾳ. — Ἔχει δ' ἀστέρας ἐφ' ἑκατέρων ὠτίων α', ἐπὶ τοῦ σώματος γ', ὧν ὁ ἐπὶ τῆς ῥάχεως λαμπρός,
20 ἐφ' ἑκατέρων ὀπισθίων ποδῶν α'· [τοὺς πάντας ζ'.]

XXXV. Ἀργώ. Αὕτη διὰ τὴν Ἀθηνᾶν ἐν τοῖς ἄστροις ἐτάχθη (πρώτη γὰρ αὕτη ναῦς κατεσκευάσθη καὶ ἀρχῆθεν ἐτεκτονήθη, φωνήεσσα δὲ γενομένη πρώτη τὸ πέλαγος διεῖλεν ἄβατον ὄν), ἵν' ᾖ τοῖς ἐπιγινομένοις παράδειγμα σαφέστα-
25 τον. εἰς δὲ τὰ ἄστρα ὑπετέθη τὸ εἴδωλον οὐχ ὅλον αὐτῆς,

5. post Ὠρ. inseri idem voluit quae ex Eratosthene refert Schol. Hom. Iliad. 22, 29. cf. Bernhardy Eratosth. p. 151. ‖ 6. α'—λέγεται ex Hyg. et Schol. Germ. add. Fellus: κεφαλῆς ἢ γλώττης VS. ‖ 10. τῆς ῥ. β' add. Fellus. ‖ 12. δ'] α' Schaubach. ‖ κ' add. Fellus: in VS est ιγ'. ‖ 13. inscr. λαγωοῦ V: cf. Arat. phaen. 338. Hygin. poet. astr. 2, 33. 3, 32. Schol. Germ. 340. ‖ ὁ add. M. ‖ 14. κυνηγίᾳ εὖ τεθείς—ζώου καὶ τὴν πολυγονίαν (idem post ταχύτητα ex Schol. Arati add. Schaubach)—μόνον γὰρ τῶν — μὲν τίκτει Valcken. ad Herod. 3, 108. ‖ 17. Arist. hist. an. 6. 28, 3. d. gen. an. 4, 5. ‖ 19. γ'] α' VS. ‖ 20. τοὺς π. ζ' add. Fellus, VI Hyginus. ‖ 21. inscr. ἀργοῦς V: cf. Arat. phaen. 342. Hygin. poet. astr. 2, 37. 3, 36. Schol. Germ. 343. ‖ 22. ἐτάχθη VM, legebatur εἰσήχθη. ‖ parenthesis signa adposui, ne quis ἵν' — σαφ. post ἐτάχθη transponenda crederet cum Bernhard. Erat. p. 117. ‖ γὰρ αὕτη] παρ' αὐτῆς idem. p. 121. ‖ καὶ ἀρχῆθεν ἐτεκτονήθη susp. Schaubachio. ‖ 24. σαφέστατον V, legebatur σαφέστερον. ‖

οἱ δ' οἴακές εἰσιν ἕως τοῦ ἱστοῦ σὺν τοῖς πηδαλίοις, ὅπως ὁρῶντες οἱ τῇ ναυτιλίᾳ χρώμενοι θαρρῶσιν ἐπὶ τῇ ἐργασίᾳ, αὐτῆς τε ἡ δόξα ἀγήρατος διαμείνῃ οὔσης ἐν τοῖς θεοῖς. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς πρύμνης δ', ἐφ' ἑνὶ πηδαλίῳ ε' καὶ ἐπὶ τῷ ἑτέρῳ δ', ἐπὶ στυλίδος ἄκρας γ', ἐπὶ καταστρώματι 5 ε', ὑπὸ τρόπιν ς' παραπλησίους ἀλλήλοις· [τοὺς πάντας κζ'.]

XXXVI. Κῆτος. Τοῦτό ἐστιν ὃ Ποσειδῶν ἔπεμψε Κηφεῖ διὰ τὸ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους ταῖς Νηρηίσιν. Περσεὺς δ' αὐτὸ ἀνεῖλε, καὶ διὰ τοῦτο εἰς τὰ ἄστρα ἐτέθη ὑπόμνημα τῆς πράξεως αὐτοῦ. ἱστορεῖ δὲ ταῦτα Σο- 10 φοκλῆς ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν τῇ Ἀνδρομέδᾳ. — Ἔχει δ' ἀστέρας ἐπὶ τοῦ οὐραίου β' ἀμαυρούς, ἀπὸ δὲ τῆς οὐρᾶς τοῦ κυρτώματος ἕως τοῦ κενεῶνος ε', ὑπὸ τὴν κοιλίαν ς'· τοὺς πάντας ιγ'.

XXXVII. Ἠριδανός. Οὗτος ἐκ τοῦ ποδὸς τοῦ Ὠρίω- 15 νος τοῦ ἀριστεροῦ τὴν ἀρχὴν ἔχει· καλεῖται δὲ κατὰ μὲν τὸν Ἄρατον Ἠριδανός, οὐδεμίαν δὲ ἀπόδειξιν περὶ αὐτοῦ φέρει· ἕτεροι δέ φασι δικαιότατον αὐτὸν εἶναι Νεῖλον· μόνος γὰρ οὗτος ἀπὸ μεσημβρίας τὰς ἀρχὰς ἔχει. πολλοῖς δὲ ἄστροις διακεκόσμηται. ὑπόκειται δὲ αὐτῷ καὶ ὁ καλούμενος ἀστὴρ 20 Κάνωβος, ὃς ἐγγίζει τῷ πηδαλίῳ τῆς Ἀργοῦς· τούτου δὲ οὐδὲν ἄστρον κατώτερον φαίνεται, διὸ καὶ Περίγειος καλεῖται. — Ἔχει δ' ἀστέρας ἐπὶ τῆς κεφαλῆς α', ἐπὶ τῇ πρώτῃ καμπῇ γ', ἐπὶ τῇ δευτέρᾳ γ', ἐπὶ τῆς τρίτης ἕως τῶν ἐσχάτων ζ', ἃ φασιν εἶναι τὰ στόματα τοῦ Νείλου· τοὺς πάντας ιδ'. 25

XXXVIII. Ἰχθύς. Οὗτός ἐστιν ὁ μέγας καλούμενος Ἰχθύς, ὃν καὶ πιεῖν λέγουσι τὸ ὕδωρ τῆς τοῦ Ὑδροχόου ἐκ-

5. στυλίδος S, στολίδος OV: στηλίδος Schaubach. ‖ 6. τρόπιν S, erat τροπῶν. ‖ τοὺς π. κζ' add. Fellus, XXIII Hyginus, XXVI Schol. Germ. ‖ 7. inscr. κήτους V, om. M: cf. Arat. phaen. 353. Hygin. poet. astr. 2, 31. Schol. Germ. 355. ‖ 8. νηρηίσιν V, vulg. Νηρηίοι. ‖ 9. αὐτὸν pr. m. V. ‖ 13. ἕως VS (usque ad Hyg. 3, 30 et Schol. Germ.), legebatur ὑπό. ‖ 14. ιγ'] XIV Schol. Germ. ‖ 15. inscr. ποταμοῦ V(S): cf. Arat. phaen. 359. Hygin. poet. astr. 2, 32. 3, 31. Schol. Germ. 366. ‖ 18. ἕτεροι—Νεῖλον lacunosa esse censuit Heynius. ‖ 21. τῶν πηδαλίων V. ‖ 22. καλεῖται Fellus: φαίνεται OV. ‖ 23. ἔχει om. V, qui et δὲ. ‖ τῆς πρώτης καμπῆς S. ‖ 24. ἃ VS, legebatur οὗς. ‖ 25. ιδ'] XIII Hyginus, XVII Schol. Germ. ‖ 26. inscr. ἰχθύς etiam V: cf. Arat. phaen. 386. Hygin. poet. astr. 2, 41. 3, 40. Schol. Germ. 378. ‖ 27. καὶ πιεῖν] κώπτειν Koppiers et Valcken. ad Herod. 2, 93. ‖

χύσεως. ἱστορεῖται δὲ περὶ τούτου, ὥς φησι Κτησίας, εἶναι πρότερον ἐν λίμνῃ τινὶ κατὰ τὴν Βαμβύκην· ἐμπεσούσης δὲ τῆς Δερκητοῦς νυκτὸς [σῶσαι αὐτήν], ἣν οἱ περὶ τοὺς τόπους οἰκοῦντες Συρίαν θεὸν ὠνόμασαν. τούτου καὶ τοὺς δύο φασὶν Ἰχθύας ἐκγόνους εἶναι, οὓς πάντας ἐτίμησαν καὶ ἐν τοῖς ἄστροις ἔθηκαν. — Ἔχει δ' ἀστέρας ιβ', ὧν τοὺς ἐπὶ τοῦ ῥύγχους λαμπροὺς γ'.

XXXIX. Θυτήριον. Τοῦτό ἐστιν ἐν ᾧ πρῶτον οἱ θεοὶ τὴν συνωμοσίαν ἔθεντο, ὅτε ἐπὶ Κρόνον ὁ Ζεὺς ἐστράτευσεν. ἐπιτυχόντες δὲ τῆς πράξεως ἔθηκαν καὶ αὐτὸ ἐν τῷ οὐρανῷ εἰς μνημόσυνον· ὃ καὶ εἰς τὰ συμπόσια οἱ ἄνθρωποι φέρουσι καὶ θύουσιν οἱ κοινωνεῖν ἀλλήλοις προαιρούμενοι καὶ ὀμνύειν, καὶ τῇ χειρὶ ἐφάπτονται τῇ δεξιᾷ, μαρτύριον εὐγνωμοσύνης τοῦτο ἡγούμενοι. — Ἔχει δὲ ἀστέρας ἐπὶ τῆς ἐσχαρίδος β', ἐπὶ τῆς βάσεως β'· τοὺς πάντας δ'.

XL. Χείρων. Οὗτος δοκεῖ Χείρων εἶναι ὁ ἐν τῷ Πηλίῳ οἰκήσας, δικαιοσύνῃ τε ὑπερενέγκας πάντας ἀνθρώπους καὶ παιδεύσας Ἀσκληπιόν τε καὶ Ἀχιλλέα· ἐφ' ὃν Ἡρακλῆς δοκεῖ ἐλθεῖν δι' ἔρωτα, ᾧ καὶ συνεῖναι ἐν τῷ ἄντρῳ τιμῶν τὸν Πᾶνα· μόνον δὲ τῶν Κενταύρων οὐκ ἀνεῖλεν, ἀλλ' ἤκουεν αὐτοῦ, καθάπερ Ἀντισθένης φησὶν ὁ Σωκρατικὸς ἐν τῷ Ἡρακλεῖ. χρόνον δὲ ἱκανὸν ὁμιλούντων αὐτῶν ἐκ τῆς φαρέτρας αὐτοῦ βέλος ἐξέπεσεν εἰς τὸν πόδα τοῦ Χείρωνος, καὶ οὕτως ἀποθανόντος αὐτοῦ ὁ Ζεὺς διὰ τὴν εὐσέβειαν καὶ

1. Κτησίας] *Hegesias* Hyginus (*Hesias* libri): cf. Baehr Ctes. fr. p. 393 sq. ‖ 2. βοββύκων OV. ‖ 3. σῶσαι αὐτὴν ex Schol. Ar. 239 add. Fellus: plura excidisse censuit Schaubach. ‖ 4. συρίας OV, corr. Heynius. ‖ 7. ῥύγχου V. ‖ 8. inscr. θυτηρίου V(S) et sic Aratus et Theon, Νέκταρ OM, Νέκταρ ἢ θυτήριον vulg., νεκτάριον θυτήριον coni. Schaubach: cf. Arat. phaen. 402. Hygin. poet. astr. 2, 39. 3, 38. Schol. Germ. 389. ‖ 9. post ἐστράτευσεν ex Theon. ad Arat. 403 Κυκλώπων κατασκευασάντων ἔχων ἐπὶ τοῦ πυρὸς κάλυμμα, ὅπως μὴ ἴδωσι τὴν τοῦ κεραυνοῦ δύναμιν add. Koppiers. ‖ 11. ὅ] ὅθεν Heynius. ‖ 12. καὶ] καὶ ἐν ᾧ Schaubach. ‖ 13. καὶ ὀμνύειν ex mg. illatum credidit Heynius. ‖ 14. εὐγνωμοσύνην O. ‖ 15. εὐχάριδος OVS. ‖ δ' ex Hyg. et Schol. Germ. Fellus, γ' OVS. ‖ 16. inscr. κενταύρου V(S): cf. Arat. phaen. 436. Hygin. poet. astr. 2, 38. 3, 37. Schol. Germ. 411. ‖ 17. τε Heynius, vulg. δὲ. ‖ 19. δι' ἔρωτα παιδείας Koppiers, ἐλθεῖν καὶ συνεῖναι αὐτῷ ἐν omissis reliquis Heynius. ‖ 20. τῶν Κενταύρων Koppiers, vulg. τὸν Κένταυρον. ‖ 22. συνομιλούντων Heynius. ‖

τὸ σύμπτωμα ἐν τοῖς ἄστροις ἔθηκεν αὐτόν. ἔστι δὲ τὸ Θηρίον ἐν ταῖς χερσὶ πλησίον τοῦ θυτηρίου, ὃ δοκεῖ προσφέρειν θύσων, ὅ ἐστι μέγιστον σημεῖον τῆς εὐσεβείας αὐτοῦ. — Ἔχει δὲ ἀστέρας ὑπεράνω τῆς κεφαλῆς ἀμαυροὺς γ′, ἐφ' ἑκατέρων τῶν ὤμων λαμπρὸν α′, ἐπ' ἀριστεροῦ ἀγκῶνος α′, 5 ἐπ' ἄκρας χειρὸς α′, ἐπὶ μέσου τοῦ ἱππείου στήθους α′, ἐφ' ἑκατέρων τῶν ἐμπροσθίων ὁπλῶν α′, ἐπὶ ῥάχεως δ′, ἐπὶ κοιλίας β′ λαμπρούς, ἐπὶ κέρκου γ′, ἐπὶ τοῦ ἱππείου ἰσχίου α′ λαμπρόν, ἐφ' ἑκατέρων τῶν ὀπισθίων γονάτων α′, ἐφ' ἑκατέρας ὁπλῆς α′· τοὺς πάντας κδ′. ἔχει δὲ καὶ ἐν ταῖς χερσὶ 10 τὸ λεγόμενον Θηρίον, οὗ ποιοῦσι τὸ σχῆμα τεταγμένον. τινὲς δὲ ἀσκόν φασιν αὐτὸ εἶναι οἴνου, ἐξ οὗ σπένδει τοῖς θεοῖς ἐπὶ τὸ θυτήριον. ἔχει δὲ αὐτὸ ἐν τῇ δεξιᾷ χειρί, ἐν δὲ τῇ ἀριστερᾷ θύρσον. ἔχει δὲ ἀστέρας τὸ Θηρίον ἐπὶ τῆς κέρκου β′, ἐπ ἄκρου τοῦ ὀπισθίου ποδὸς λαμπρὸν α′ καὶ ἐπὶ τοῦ 15 ἐμπροσθίου ποδὸς α′ λαμπρόν, καὶ ὑπ' αὐτὸν α′, ἐπὶ τῆς κεφαλῆς γ′· τοὺς πάντας η′.

XLI. Κόραξ. Τοῦτο τὸ ἄστρον κοινόν ἐστιν, ἀπὸ πράξεως γεγονὸς ἐναργοῦς. τιμὴν γὰρ ἔχει ὁ κόραξ παρὰ τῷ Ἀπόλλωνι· ἑκάστῳ γὰρ τῶν θεῶν ὄρνεόν ἐστιν ἀνακείμενον. 20 θυσίας δὲ γινομένης τοῖς θεοῖς σπονδὴν πεμφθεὶς ἐνέγκαι ἀπὸ κρήνης τινός, ἰδὼν παρὰ τὴν κρήνην συκῆν ὀλίνθους ἔχουσαν ἔμεινεν ἕως πεπανθῶσι, μεθ' ἱκανὰς δὲ ἡμέρας πεπανθέντων τούτων καὶ φαγὼν τῶν συκῶν, αἰσθόμενος τὸ ἁμάρτημα, ἐξαρπάσας καὶ τὸν ἐν τῇ κρήνῃ ὕδρον ἔφερε σὺν 25 τῷ κρατῆρι, φάσκων αὐτὸν ἐκπίνειν καθ' ἡμέραν τὸ γιγνόμενον ἐν τῇ κρήνῃ ὕδωρ. ὁ δὲ Ἀπόλλων ἐπιγνοὺς τὰ γενόμενα τῷ μὲν κόρακι ἐν τοῖς ἀνθρώποις ἐπιτιμῶν ἔθηκεν ἱκανὸν τοῦτον τὸν χρόνον διψῆν, καθάπερ Ἀριστοτέλης εἴρηκεν

6. α′ ἐπ'—στήθους om. V. ‖ 11. τεταγμένον πρὸς τὸν βωμὸν aut τεταμένον Heynius, τετράγωνον Heringa obss. p. 140. ‖ 12. δέ φασιν ἀσκὸν αὐτὸ S. ‖ σπεύδει O. ‖ 17. η′] ζ′ VS, X Hyg. et Schol. Germ. ‖ 18. inscr. ὕδρος ἐν ᾧ κρατ (sic) V, κόραξ καὶ ὕδρος καὶ κρατήρ Heynius: cf. Arat. phaen. 444. Hygin. poet. astr. 2, 40. 3, 39. Schol. Germ. 423. ‖ 21. τῷ θεῷ ex Ov. fast. 2, 247 Schaubach. ‖ 25. ἐξαρπάξας V. ‖ καὶ delevit Heynius. ‖ 28. ἐν τοῖς ἀνθρώποις delevit Schaubach, infra post δώσων transposuit Heynius. ‖ ἐπιτίμιον Heynius. ‖ ἱκανὸ V, susp. Schaubachio. ‖ 29. διψῆν V, legebatur διψᾷν. ‖ καθάπερ—θηρίων ex mg. illata

ἐν τοῖς περὶ θηρίων, μνημόνευμα δώσων τῆς εἰς θεοὺς ἁμαρτίας σαφές, εἰκονίσας [δὲ] ἐν τοῖς ἄστροις ἔθηκεν εἶναι τόν τε Ὕδρον καὶ [τὸν Κόρακα] μὴ δυνάμενον πιεῖν καὶ μὴ προσελθεῖν. — Ἔχουσι δ' ἀστέρας ὁ μὲν Ὕδρος ἐπ' ἄκρας τῆς κεφαλῆς γ' λαμπρούς, ἐπὶ τῆς πρώτης καμπῆς ς', λαμπρὸν δὲ α' τὸν ἔσχατον, ἐπὶ τῆς δευτέρας καμπῆς γ', ἐπὶ τῆς τρίτης δ', ἐπὶ τῆς τετάρτης β', ἀπὸ τῆς ε' καμπῆς μέχρι τῆς κέρκου θ' ἀμαυρούς· τοὺς πάντας κζ'. ἔστι δὲ καὶ ἐπὶ τῆς κέρκου ὁ Κόραξ βλέπων εἰς δυσμάς. ἔχει δ' ἀστέρας ἐπὶ τοῦ ῥύγχους ἀμαυρὸν α', ἐπὶ τῆς πτέρυγος β', ἐπὶ τοῦ ὀρθοπυγίου β', ἐφ' ἑκατέρων ποδῶν ἄκρων α'· τοὺς πάντας ζ'. τούτου δὲ ἱκανὸν ἀπέχων ἀπὸ τῆς καμπῆς ὁ Κρατὴρ κεῖται ἐγκεκλιμένος πρὸς τὰ γόνατα τῆς Παρθένου· ἔχει δὲ ἀστέρας ὁ Κρατὴρ ἐπὶ τοῦ χείλους β' ἀμαυρούς, ἐπὶ τοῦ μέσου β' καὶ παρὰ τῷ πυθμένι β'· τοὺς πάντας ς'.

XLII. Προκύων. Οὗτός ἐστιν ὁ πρὸ τοῦ μεγάλου Κυνός, Προκύων δὲ λέγεται ὡς πρὸ τοῦ κυνός. Ὠρίωνος δὲ κύων ἐστίν· λέγεται γὰρ διὰ τὸ φιλοκύνηγον αὐτὸν εἶναι ἀνατεθῆναι τοῦτον αὐτῷ· καὶ γὰρ Λαγωὸς ἐχόμενος καὶ ἄλλα θηρία παρ' αὐτὸν συνορᾶται. — Ἔχει δὲ ἀστέρας γ', ὧν εἷς ὁ πρῶτος ἀνατέλλει λαμπρὸς καὶ ποιεῖ ὁμοιότητα τοῦ Κυνός, διὸ καὶ Προκύων καλεῖται, καὶ πρῶτος ἀνατέλλει καὶ δύνει ἐκείνου. τὰ δὲ μετὰ ταῦτα ἄστρα γίνεται ἐν τῷ ζωδιακῷ κύκλῳ, ὃν ὁ ἥλιος διαπορεύεται ἐν ιβ' μησίν· διόπερ καὶ τὰ ζώδια τούτου ἰσάριθμά ἐστιν.

visa sunt Heynio et Schaubachio. ‖ 1. δῶσε V, δώσας ed. pr.: δώσων Galeus, δὲ δώσων cett., θήσων Heynius: totum locum sic constituit Schaubach: μνημόνευμα δώσων — εἰκονίσας ἐν τοῖς ἄστροις εἶναι τὸν ὕδρον καὶ τὸν κρατῆρα καὶ τὸν κόρακα (hoc excidisse vidit etiam Heynius) μὴ προσελθεῖν (τῇ κρήνῃ aut simile quid addi voluit Heynius) καὶ μὴ δυνάμενον πιεῖν. ‖ 2. δὲ, quod erat ante δώσων, huc transposui. ‖ 8. κζ'] XXVI Schol. Germ. ‖ καὶ om. S. ‖ 9. τοῦ] τῆς VS. ‖ 10. ῥύγχου S. ‖ 11. ζ'] VI Schol. Germ. ‖ τοῦτον S. ‖ 12. ἐπὶ τῆς πρώτης καμπῆς Koem. ad Greg. p. 654 ed. Sch. ‖ 13. πρὸς] εἰς S. ‖ 15. ς'] VIII Hyginus, X Schol. Germ. ‖ 16. inscr. προκύων OV, om. M: cf. Arat. phaen. 450. Hygin. poet. astr. 2, 36. 8, 35. ‖ οὗτος Heynius, vulg. αὐτός. ‖ 18. γὰρ V, legebatur δὲ. ‖ 21. καὶ — κυνὸς delevit Heynius. ‖ 23. ἐκείνου V. ‖ τὰ — ἐστιν aliunde illata credidit Heynius: ἐν ιβ — ἐστιν om. S. ‖ 24. μησὶν V, erat μησί. ‖ 25. ἐστι V. ‖

XLIII. *Πλανῆται.* *Περὶ τῶν πέντε ἀστέρων τῶν καλουμένων Πλανητῶν διὰ τὸ κίνησιν ἔχειν ἰδίαν αὐτούς. λέγονται δὲ θεῶν εἶναι πέντε. πρῶτον μὲν Διός, Φαίνοντα, μέγαν. ὁ δεύτερος ἐκλήθη μὲν Φαέθων, οὐ μέγας· οὗτος ὠνομάσθη ἀπὸ τοῦ Ἡλίου. ὁ δὲ τρίτος Ἄρεως· Πυροειδὴς δὲ καλεῖται, οὐ μέγας, τὸ χρῶμα ὅμοιος δὲ τῷ ἐν τῷ Ἀετῷ. ὁ δὲ τέταρτος Φωσφόρος, Ἀφροδίτης, λευκὸς τῷ χρώματι· πάντων δὲ μέγιστός ἐστι τούτων τῶν ἄστρων, ὃν καὶ Ἑωσφόρον καὶ Φωσφόρον καλοῦσιν. πέμπτος δὲ Ἑρμοῦ, Στίλβων, λαμπρὸς καὶ μικρός· τῷ δὲ Ἑρμῇ ἐδόθη διὰ τὸ πρῶτον αὐτὸν τὸν διάκοσμον ὁρίσαι τοῦ οὐρανοῦ καὶ τῶν ἄστρων τὰς τάξεις καὶ τὰς ὥρας μετρῆσαι καὶ ἐπισημασιῶν καιροὺς δεῖξαι· Στίλβων δὲ καλεῖται διὰ τὸ φαντασίαν τοιαύτην αὐτὸν ποιεῖν.*

XLIV. *Κύκλος Γαλαξίας.* *Οὗτος γίνεται ἐν τοῖς φαινομένοις κύκλοις, ὃν προσαγορεύεσθαί φασι Γαλαξίαν· οὐ γὰρ ἐξῆν τοῖς Διὸς υἱοῖς τῆς οὐρανίου τιμῆς μετασχεῖν, εἰ μή τις αὐτῶν θηλάσει τὸν τῆς Ἥρας μαστόν. διόπερ φασὶ τὸν Ἑρμῆν ὑπὸ τὴν γένεσιν ἀνακομίσαι τὸν Ἡρακλέα καὶ προσσχεῖν αὐτὸν τῷ τῆς Ἥρας μαστῷ, τὸν δὲ θηλάζειν· ἐπινοήσασαν δὲ τὴν Ἥραν ἀποσείσασθαι αὐτόν, καὶ οὕτως ἐκχυθέντος τοῦ περισσεύματος ἀποτελεσθῆναι τὸν Γαλαξίαν κύκλον.*

1. inscr. πλανήτας V, περὶ τῶν ἑ πλανητῶν M, πέντε ἀστέρες vulg.: cf. Arat. phaen. 453. Hygin. poet. astr. 2, 42. ‖ principium capitis excidisse, quale est ap. Hygin. (*reliquum est nobis de quinque stellis* [*dicere*] *quas complures ut erraticas ita πλανήτας Graeci dixerunt*), censuit Heynius. ‖ 2. αὐτοὺς V, legebatur αὐτοῖς. ‖ λέγεται omisso δὲ Bernhard. Erat. p. 118. ‖ 3. πρῶτον — ἡλίου susp. Schaubachio, qui sic scribi voluit: πρ. μ. Κρόνου φ., οὐ μέγαν· ὁ δ. Διὸς ἐκλήθη φαέθων μέγας, οὗτος ὠ. ἀ. τ. Ἡλίου υἱοῦ. ‖ 5. Πυρόεις omisso δὲ Koppiers. ‖ 6. τὸ — ἀετῷ (αἰετῷ ut alias cod.) V, uti emendarat Koppiers, nisi quod δὲ post τὸ posuerat. ‖ 9. στίλπων V. ‖ 11. τὸν add. V. ‖ 12. ἐπὶ σημασιῶν V. ‖ 13. Στίλβων — ποιεῖν delenda censuit Heynius. ‖ 15. inscr. γαλαξίας V, περὶ τοῦ γαλαξίας M: cf. Arat. phaen. 467. Hygin. poet. astr. 2, 43. ‖ 18. αὐτῷ V. ‖ θηλάσειε Heynius. ‖ 19. ὑπὸ] μετὰ idem. ‖ 21. τὴν add. V.

ΠΑΛΑΙΦΑΤΟΥ

ΠΕΡΙ ΑΠΙΣΤΩΝ

Τάδε περὶ ἀπίστων συγγέγραφα. τῶν ἀνθρώπων οἱ μὲν γὰρ πείθονται πᾶσι τοῖς λεγομένοις ὡς ἀνομίλητοι σοφίας καὶ ἐπιστήμης, οἱ δὲ πυκνότεροι τὴν φύσιν καὶ πολυπράγμονες ἀπιστοῦσι τὸ παράπαν μηδὲν γενέσθαι τούτων.
5 *ἐμοὶ δὲ δοκεῖ γενέσθαι πάντα τὰ λεγόμενα· οὐ γὰρ ὀνόματα μόνον ἐγένοντο, λόγος δὲ περὶ αὐτῶν οὐδεὶς ὑπῆρξεν, ἀλλὰ πρότερον τὰ ἔργα, εἶθ' οὕτως ὁ λόγος ὁ περὶ αὐτῶν. ὅσα δὲ εἴδη καὶ μορφαί εἰσι λεγόμεναι καὶ γενόμεναι τότε, αἳ νῦν οὐκ εἰσί, τὰ τοιαῦτα οὐκ ἐγένετο· εἰ γὰρ τότε καὶ ἄλλοτε*
10 *ἐγένετο, καὶ νῦν τε γίνεται καὶ αὖθις ἔσται. ἀεὶ δὲ ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λάμισκον τὸν Σάμιον, ἐν ἀρχῇ, λέγοντας, ἔστιν ἃ ἐγένετο, καὶ νῦν ἔσται. γενόμενα δέ τινα οἱ ποιηταὶ καὶ λογογράφοι παρέτρεψαν εἰς*

Inscr. *π. π. ἀπίστων* DM, *π. π. ἀπίστων ἱστοριῶν* VJa, *ἐκ τῶν τοῦ παλαιφάτου περὶ τῶν ἱστοριῶν* CO^{c}, *ἐκ τῶν παλ. π. ἱστοριῶν ἀρχαίων* alii. ‖ 1. *π. τῶν ἀ. σοι γέγραφα* DM. ‖ *τῶν—πολυπράγμονες*] *ἀνθρώπων γὰρ οἱ μὲν εὐπειθέστεροι* (sic et O^{a}, qui add. *πείθονται*) *πᾶσι τοῖς λεγομένοις, οἱ δὲ πυκνότεροι τὴν φύσιν ἀνομίλητοι σοφίας καὶ ἐπιστήμης καὶ πολυπραγματείας* DM. ‖ 4. *παρ. γίνεσθαί τι τούτων* O^{a}: *γενίσθαι* DM, cett. *γίνεσθαι*. ‖ 5. *ὀνόματι* V, *ὄνομα* a. ‖ 6. *ἐγένοντο*] *ὑπῆρξε* omisso *ὑπῆρξεν* proximo O^{a}ATG, vulg. *ἐγένετο*. ‖ 7. *τὸ πρότερον τὸ ἔργον* DM, *πρ. ἐγένετο τὸ ἔ.* O^{a}AG. ‖ *ὁ* alterum om. DM. ‖ *αὐτοῦ* D. ‖ 8. *καὶ γενόμεναι* om. DM: malim *ὡς γ.* ‖ *αἳ*] *ἃ* T. ‖ 9. *τοιαῦτα γίνεται* D, *τ. οὐ γ.* M. ‖ *ποτε* O^{a}AGDM. ‖ 11. *γάμιον* addito *σ* super *γ* DM. ‖ 12. *ἃ*] *ἃ καὶ* AT. ‖ *γενομένων δέ τινων* O^{b}DM. ‖ 13. *οἱ ποιητικοὶ λογογράφοι* O^{b}, *οἱ ποιητικοὶ λόγοι* O^{a}. ‖

τὸ ἀπιστότερον καὶ θαυμασιώτερον τοῦ θαυμάζειν ἕνεκε τοὺς ἀνθρώπους. ἐγὼ δὲ γινώσκω ὅτι οὐ δύναται τὰ τοιαῦτα εἶναι οἷα καὶ λέγεται. τοῦτο δὲ καὶ διείληφα ὅτι, εἰ μὴ ἐγένετο, οὐκ ἂν ἐλέγετο. ἐπελθὼν δὲ καὶ πλείστας χώρας ἐπυνθανόμην ἐκ πρεσβυτέρων, ὡς ἀκούοιεν περὶ ἑκάστου αὐ- 5 τῶν. συγγράφω δὲ ἃ ἐπυθόμην περὶ αὐτῶν, καὶ τὰ χωρία αὐτὸς εἶδον, ὡς ἔστιν ἕκαστον ἔχον, καὶ γέγραφα ταῦτα οὐχ οἷα ἦν λεγόμενα, ἀλλ' αὐτὸς ἐπελθὼν καὶ ἱστορήσας.

I. Περὶ Κενταύρων φασὶν ὡς θηρία ἐγένοντο καὶ ἵππων μὲν εἶχον ὅλην τὴν ἰδέαν πλὴν τῆς κεφαλῆς, ταύτην δὲ 10 ἀνδρός. εἴ τις οὖν πείθεται τοιοῦτον γενέσθαι θηρίον, ἀδυνάτοις πεπίστευκεν· οὔτε γὰρ ἄλλως αἱ φύσεις σύμφωνοι ἵππου καὶ ἀνδρός, οὔτε ἡ τροφὴ ὁμοία, οὔτε διὰ στόματος καὶ φάρυγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν διελθεῖν. εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, καὶ νῦν ἂν ὑπῆρχεν. τὸ δ' ἀληθὲς 15 ἔχει ὧδε. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας ἐν τῷ Πηλίῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη, καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι ἐσίνοντο τὰ δένδρα καὶ τοὺς καρποὺς καὶ τὰ ὑποζύγια διέφθειρον. ἐκήρυξεν οὖν ὁ Ἰξίων ὡς, εἴ τις ἀνέλοι τοὺς ταύρους, τούτῳ δώ- 20 σειν χρήματα πάμπολλα. νεανίσκοι δέ τινες ἐκ τῆς ὑπωρείας,

4. ἐπελθὼν RO^{ab}GDM, cett. ἀπελθὼν. ‖ 5. ἐκ] τῶν D, om. M. ‖ 7. αὐτὸς] αὐτῶν RO^{ab}G.

I. vid Apost. 11, 3. Eudoc. p. 253: cf. Theon. prog. 6, 12. Eust. ad Il. 1. p. 102. Tzetz. chil. 7, 99. 9, 273. Euseb. chr. 1. p. 31. Oros. 1, 13. Freculph. chr. 1. 2, 16. ‖ 9. π. κενταύρων bis habent DM. ‖ φασὶν] κένταυροι VJa, om. DM: λέγεται τοὺς κενταύρους b. ‖ ὡς om. J. ‖ ἐγένετο pr. m. DM. ‖ 10. ἵππον V. ‖ τὴν ὅλην DM. ‖ ἰδέαν pr. m. D et sic infra. ‖ ταύτην δὲ ἀνδρός add. O^{a}ATDM. ‖ 11. ἀδυνάτοις VabO^{b}, ἐν ἀδυνάτοις CO^{c}GF, ἀδύνατον O^{a}DM et vulg. ‖ 12. πεπίστευκεν om. DM, πιστεύει b. ‖ 13. μορφὴ b: hinc φορβὴ Piers. ad Moer. p. 96. ‖ οὔτε—σύμφωνοι O^{a}ATDM, nisi quod γὰρ om. T, vulg. οὔτε γὰρ ἡ φύσις σύμφωνος. ‖ 14. φάρυγος D. ‖ εἰ] ἡ D. ‖ 15. ὑπῆρχε ἂν O^{ab}GF, ὑπῆρξεν DM, ὑπῆρχεν omisso ἂν a. ‖ 16. ἰξίωνος corr. DM. ‖ πηλείῳ Vabc. ‖ 17. καὶ] ἥτις καὶ O^{ab}DM. ‖ 18. ἐσίνοντο O^{ab}DM, vulg. ἔσινον. ‖ τὰ—ὑποζύγια] τὰ δ. καὶ τὸν καρπὸν καὶ τὰ ὑ. O^{ab}, καὶ δ. καὶ καρπὸν καὶ ὑ. DM: τὰ ante ὑπ. om. V. ‖ 19. διέφθειρον Vabc, συνέφθειραν OATDM, ἔφθειρον C, vulg. συνδιέφθειραν. ‖ 20. ἀνέλοι O^{ab}DM, οὖν ἕλοιτο Vabc. ‖ τούτῳ om. V. ‖ δώσειν O^{ab}DM, δόσειν T, δῴη Vabc. ‖ 21. πολλὰ O^{ab}DM. ‖ ὑπερορίας b. ‖

ἐκ κώμης τινὸς καλουμένης Νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας διδάξαι. πρότερον γὰρ οὐκ ἐπίσταντο ἐφ' ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον ἐφ' οὗ οἱ ταῦροι ἦσαν, καὶ ἐπεισβάλ-
5 λοντες τῇ ἀγέλῃ ἠκόντιζον. καὶ ὅτε μὲν διώκοιντο ὑπὸ τῶν ταύρων, ἀπέφευγον οἱ νεανίαι (ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι), ὅτε δὲ σταίησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον, καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους ἐκέντουν.
10 οὐδὲν γὰρ πρόσεστι ταύρου τοῖς Κενταύροις, ἀλλ' ἵππου καὶ ἀνδρὸς ἰδέα ἐστίν· ἀπὸ τοῦ ἔργου οὖν τὸ ὄνομα ἔλαβον. λαβόντες γοῦν οἱ Κένταυροι παρὰ Ἰξίονος χρήματα καὶ γαυριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ ὑβρισταὶ ὑπῆρχον καὶ ὑπερήφανοι καὶ πολλὰ κακὰ εἰργάζοντο, καὶ δὴ κατ' αὐτοῦ τοῦ Ἰξίονος,
15 ὃς ᾤκει τὴν νῦν καλουμένην Λάρισσαν πόλιν. οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες Λαπίθαι ἐκαλοῦντο. κεκλημένοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπίθων ἐπὶ θοίνην, μεθυσθέντες ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν καὶ ἀναβιβάσαντες ἐπὶ τοὺς ἵππους αὐτὰς ᾤχοντο φεύγοντες εἰς τὴν οἰκείαν, ὅθεν ὡρ-
20 μῶντο. ἐπολέμουν οὖν τοῖς Λαπίθαις καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία ἐνέδρας ἐποιοῦντο, ἡμέρας δὲ γενομένης

2. γὰρ] δὲ DM. ‖ ἠπίσταντο c. ‖ 3. σύρμασιν DM. ‖ μόνον αὐτοῖς ἐχρῶντο κατὰ τὰ ἅρματα O^b. ‖ δὲ] δίλον (sic) DM. ‖ ἀναβαίνοντες ac. ‖ 4. ἐπεισβαλόντες VDM. ‖ 5. τῇ] ἐν τῇ VCGF. ‖ ταύτην post ἠκοντ. add. DM. ‖ διώκοιντο DM, vulg. ἐδιώκοντο. ‖ 6. ἔφευγον b, ὑπέφευγον D, ὑπέφυγον O^abM. ‖ 7. σταίησαν DM, σταίσειαν O^ab, vulg. ἔστησαν. ‖ 8. αὐτοὺς post ἠκοντ. add. O^abDM. ‖ μετὰ τοῦδε τρόπου O^ab. ‖ 9. ἐκέντουν Vb, μετεκέντουν c, κατεκέντουν vulg., κατεκεντάννυσαν DM. ‖ 10. οὐ γὰρ ἀπὸ τῆς ἰδέας τῶν ταύρων ante οὐδὲν add. OTDM. ‖ οὐδὲ TDM. ‖ ταύρου] ἵππου OT. ‖ ταύροις DM. ‖ ἀλλὰ D. ‖ 11. τοῦ om. c. ‖ οὖν — ἔλαβον, quod om. vulg., add. ROTDM, sed οὖ p. οὖν DM, om. T, ἔλαβον bis in D, quorum alterum punctis notatum. ‖ 12. παρὰ τοῦ ἰξίονος δὲ λαβόντες χρ. O, π. τ. ἰξίωνος ταῦτα λ. τ. χ. DM. ‖ 13. ὑβρισταὶ et καὶ om. O. ‖ ὑπεῖχον D. ‖ καὶ ὑπερήφανοι om. TDM. ‖ 14. τοῦ om. VabcDM. ‖ 15. νῦν om. b. ‖ 16. τότε ἐκαλοῦντο οἱ τοῦτο τὸ χ. οἰκ. λαπίθαι· καλεσάντων οὖν αὐτοὺς ἐπὶ θ. DM. ‖ 18. αὐτῶν τὰς γ. DM. ‖ ἀναβ. αὐτοὺς (sed hoc punctis notatum) ἐπὶ D. ‖ 19. οἰκίαν VacDM, ἰδίαν O^ab. ‖ ἐντεῦθεν ὁρμώμενοι ἐπολέμουν τοῖς λαπίθαις O^ab, ἐ. ὁ. ἐ. αὐτοῖς DM: ὁρμῶντο V. ‖ 20. κ. μὲν διὰ τῆς ν. DM. ‖ 21. ἐποιοῦντο DM, cett. ἐποίουν. ‖ ἡμέρας—ἐφαίνοντο] ἡμέρας δὲ φευγόντων αὐτῶν κατόπιν τὰ νῶτα τοῖς πόρρωθεν ὁρῶσι μόνον ἐφαίνοντο τοῦ ἵππου τὰ λοιπὰ πλὴν

ἁρπάζοντες ἀπέτρεχον ἐπὶ τὰ ὄρη. οὕτω δ' ἀπερχομένων αὐτῶν ἵππων οὐραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο. ξένην οὖν ὁρῶντες θέαν ἔλεγον „οἱ Κένταυροι ἡμᾶς καταπτρέχοντες ἐκ Νεφέλης πολλὰ κακὰ ἐργάζονται". ἀπὸ δὴ ταύτης τῆς ἰδέας καὶ λόγου ὁ μῦθος ἀπίστως ἐπλάσθη, ὡς 5 ἐκ τῆς Νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγεννήθη ἐν τῷ ὄρει.

II. Περὶ Πασιφάης μυθεύεται ὅτι ἠράσθη ταύρου νεμομένου· Δαίδαλον δὲ ποιῆσαι βοῦν ξυλίνην καὶ ἐγκλεῖσαι τὴν Πασιφάην εἰς αὐτήν· οὕτω τε τὸν ταῦρον ἐπιβάντα μιγῆναι τῇ γυναικί, τὴν δὲ κυῆσαι παῖδα ἔχοντα μὲν σῶμα 10 ἀνδρός, κεφαλὴν δὲ βοός. ἐγὼ δὲ οὔ φημι τοῦτο γενέσθαι. πρῶτον μὲν γὰρ ἀδύνατον ἐρασθῆναι ζῶον ἕτερον ἑτέρου· οὐ γὰρ δυνατόν, κύνα καὶ πίθηκον, λύκον τε καὶ ὕαιναν ἀλλήλοις συμμιγῆναι, οὐδὲ βούβαλον ἐλάφῳ· ἑτερογενῆ γάρ εἰσιν. ταῦρος δὲ οὐ δοκεῖ μοι βοῒ ξυλίνῃ ἀναμιχθῆναι, οὐκ 15 ἂν δὲ ἠνέσχετο καὶ γυνὴ ταύρου ἐπιβαίνοντος, οὐδὲ φέρειν ἠδύνατο γυνὴ ἔμβρυον ἔχον γε κέρατα. τὸ δ' ἀληθὲς ἔχει

τῆς κεφαλῆς, τῶν ἀνδρῶν τὰ λοιπὰ πλὴν τῶν σκελῶν OA, ἡμ. γὰρ ὄντων αὐτ. κ. τ. ν. αὐτοῖς πορρ. ὁ. μ. ἐ. τοῦ ἱ. τ. λ. π. τ. κ. τῶν δὲ ἀνδρῶν τ. λ. π. τ. σ. T, ἡμ. δὲ γενομένης ἁρπάσαντες καὶ ἐμπρίσταις (ἐμπυρίσαντες?) ἐπέτρεχον (sic et b) ἐπὶ τὰ ὄρη· οὕτως (sic et Vb) ἀπιόντων αὐτῶν κ. τ. ν. αὐτοῖς π. ὁ. μ. ἐ. τοῦ ἱ. π. τῶν τε ἀνδρῶν τῶν σκελῶν DM. ‖ 3. θέαν om. DM. ‖ ἡμᾶς οἱ ἐκ νεφελῶν κ. DM. ‖ 4. πρὸς δὲ πόλεμον ἦν χαλεπὴ ἡ μάχη ἀφ' ἵππων ἀνδράσιν post ἔργ. add. DM. ‖ 5. ἰδ. τοῦ λόγου Vc, ἰδ. καὶ τοῦ λ. bDM. ‖ ἀπίστως et τῆς om. b. ‖ 6. ἐγεννήθησαν COGF, ἐγεγόνει DM.

II. vid. Apost. 14, 96. Eudoc. p. 101. 330. ‖ 7. π. πασιφάης. περὶ ταύτης μ. DM: μυθεύονται ὅτι ἡ πασιφάη ἠρ. J, πασιφάη post νεμ. add. b. ‖ ὅτι] ὡς O^{b}DM (sed ὡς ἡ π. ἠρ. O^{b}). ‖ 8. δαίδαλον μυθεύονται ποιῆσαι β. ξ. καὶ ἐγκλ. πασ. εἰς αὐτὴν ἐρασθεῖσαν ταύρου νεμομένου O^{a}. ‖ ἐγκλεισθῆναι C. ‖ 9. οὕτως DM. ‖ μιχθῆναι ODM. ‖ 10. κυῆσαι καὶ τεκεῖν OATDM. ‖ σῶμα μὲν ἔχ. DM. ‖ 11. καὶ κέρατα post βοὸς add. DM. ‖ τοῦτο οὔ φ. DM. ‖ 12. πρῶτον — κέρατα] πρῶτον μὲν γὰρ ἐρασθῆναι ζῶον ἕτερον ἑτέρου, ὃ μὴ ὁμοίως (ὁμοῦ D) ἔχει τὰς μήτρας τοῖς αἰδοίοις, ἀμήχανον· οὐ γὰρ δυνατὸν (ἀδύνατον D) πίθηκον καὶ κύνα καὶ λύκον, πρὸς δὲ καὶ ὕναιναν ἑαυτοῖς μίγνυσθαι, οὐδὲ βούβαλον ἐλάφῳ (ἑτερογενῆ γὰρ ὑπάρχει), οὐδὲ ἀλλήλοις μιγνύμενα γεννᾷν. ταῦρος (ταύρους M) δὲ οὐ δοκεῖ μοι πρῶτον μὲν ἀναμιχθῆναι ξυλίνῃ βοῒ (πάντα γὰρ τὰ τετράποδα ζῶα ὀσφραίνεται τῶν αἰδοίων τοῦ ζώου πρὸ τῆς μίξεως καὶ οὕτως ἀναβαίνει ἐπ' αὐτό), οὐδ' ἂν ἠνέσχετο ταύρου ἐπιβαίνοντος, οὐδὲ φέρειν δύναιτο γυνὴ ἔμβρυον κέρατα ἔχον O^{ab}ATDM. ‖ 17. ἔχοντα κ. Vb. ‖ οὕτως ἔχει VcDM. ‖

οὕτως. Μίνωά φασιν ἀλγοῦντα τὰ αἰδοῖα θεραπευθῆναι ὑπὸ Πρόκριδος τῆς Πανδίονος. κατ' ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν ἠκολούθει τῷ Μίνωι νεανίας εὐειδὴς ὀνόματι Ταῦρος· οὗ Πασιφάη ἔρωτι ἁλοῦσα μίγνυται αὐτῷ καὶ γεννᾷ παῖδα. Μίνως δ' ἐπιλογισάμενος τὸν χρόνον τῆς ἀλγηδόνος τῶν αἰδοίων, καὶ γνοὺς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ Πασιφάῃ, ἔγνω ὡς ἐκ τοῦ Ταύρου ἐστὶ τὸ κυηθέν. ἀποκτεῖναι μὲν οὖν οὐκ ἤθελε τὸν παῖδα διὰ τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων· ἀποπέμπει δὲ αὐτὸν εἰς ὄρος ὡς ἐν θεράποντος μοίρᾳ ὑπάρχῃ τοῖς ποιμέσιν. ὁ δὲ οὐχ ὑπετάσσετο τοῖς βουκόλοις. πυθόμενος δὲ ὁ Μίνως τὰ κατ' αὐτὸν ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι, καὶ εἰ μὲν ἔποιτο, λελυμένον ἐλθεῖν, εἰ δὲ μή, δέσμιον. αἰσθόμενος δ' ὁ νεανίας ἀφίσταται εἰς τὰ ὄρη καὶ ἁρπάζων βοσκήματα οὕτω διέζη. πέμψαντος δὲ Μίνως καὶ ἕτερον ὄχλον πλείονα ἐπὶ τῷ συλλαβεῖν αὐτὸν ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο. ἔνθα ὄντος τοῦ Ταύρου, εἴ ποτε παρὰ τοῦ Μίνως ἐκρατήθη

1. τεθεραπεύσεσθαι O^{b}, τεθεραπεύεσθαι T, θεραπεύεσθαι DM. ‖ 2. ὑπο τῆς πρ. R. ‖ κρῖδος Vabc. ‖ τῆς O^{b}, cett. τοῦ. ‖ ἐπὶ τῷ κυνιδίῳ καὶ τῷ ἀκοντίῳ post πανδίονος add. O^{b}TDM, praetereaque κεφάλου O^{b}, ἐγκέφαλον T. ‖ κατὰ δὲ τὸν χρόνον τοῦτον μίνωι ἠκ. DM. ‖ 3. μίνωνι V. ‖ νεανίας—παῖδα] ν. κάλλει διαφέρων, ᾧ ὄνομα ἦν ταῦρος (τ. ἦν ὄ. DM). τούτου ἔρωτι πασιφάη (π. ἔρ. DM) ἁλοῦσα καὶ πείσασα (κ. π. om. DM) μίγνυται καὶ ἐγέννησεν ἐξ αὐτοῦ παῖδα O^{ab}ATDM. ‖ 5. χρόνον] φόρτον b. ‖ 6. ἐπιγνοὺς DM. ‖ 7. αὐτὸν—παῖδα] ἐξετάζων οὖν (om. οὖν DM) τὸ ἀκριβὲς ἐπέγνω ὅτι (ὡς T) ἐκ τοῦ (om. τοῦ DM) ταύρου ἐστὶ (ἦν DM) τὸ γεννηθέν· ἀποκτεῖναι μὲν (οὖν add. DM) οὐκ ἔδοξεν αὐτῷ τὸν ταῦρον (τ. τ. om. DM) CO^{ab}TGFDM. ‖ ἔγνω δὲ ὡς V. ‖ οὖν addidi ex DM. ‖ 9. ἑαυτοῦ om. DM. ‖ 10. ὡς—βουκόλοις] ὅπως αὐξηθεὶς (αὐξυνθεὶς OATGF) ὑπάρχῃ (ὑπάρχει T) ἐν θεράποντος μοίρᾳ τοῖς ποιμέσιν (τ. π. om. DM)· ἀνδρωθεὶς δὲ (οὖν DM) οὗτος οὐχ ὑπήκουε τῶν βουκόλων (τῷ βουκόλῳ M et corr. D) OATGFDM: ὑπάρχῃ Vb, vulg. ὑπάρχειν. ‖ 12. πειθόμενος B. ‖ ἐκ. εἰς τὴν πόλιν κρατῆσαι αὐτὸν DM: εἰς τὴν πόλιν post ἐλθεῖν add. O^{a}. ‖ 13. μ. ἑκὼν ἔποιτο O^{a}DM. ‖ 15. οὕτως DM. ‖ π. οὖν τοῦ μ. πλείονα ὄχλον D. ‖ 16. ἐπὶ τῷ M, ἐπὶ τὸ D, εἰς τὸ O^{a}, vulg. διὰ τὸ. ‖ συλλαβεῖν DM, vulg. λαβεῖν. ‖ 17. βαθὺ ποιήσας DM. ‖ αὐτὸν DM. ‖ 18. ἐνταῦθα DM, ὅθεν B. ‖ ὄντος—ἀποθανούμενον] ὄντι αὐτῷ (ὄντος αὐτοῦ O^{ab}) τὸν μὲν ἄλλον χρόνον εἰσέβαλλον (εἰσέβαλον T, εἰσεβάλλοντο DM) πρόβατα καὶ αἶγας καὶ ἔζη (ἔζη DM) σιτούμενος· ὁπότε δὲ μίνως ἄνθρωπον ἐβούλετο (ἠβούλετο DM) τιμωρήσασθαι (τιμωρῆσαι O^{ab}),

τις ἀδικῶν, παρὰ τὸν Ταῦρον ἐπέμπετο, ὡς ὁ Ταῦρος αὐτὸν τιμωρήσαιτο. λαβὼν οὖν ποτε Μίνως τὸν Θησέα πολέμιον ἐπὶ τὸν Ταῦρον ἀπέστειλεν ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ Ἀριάδνη προεισπέμπει ξίφος εἰς τὴν εἱρκτήν, δι' οὗ ὁ Θησεὺς ἀναιρεῖ τὸν Μινώταυρον. 5

III. Περὶ τοῦ Ἀκταίωνος. Φασὶν Ἀκταίωνα ὑπὸ τῶν ἰδίων κυνῶν καταβρωθῆναι. τοῦτο δέ ἐστι ψευδές· κύων γὰρ τὸν δεσπότην καὶ μάλιστα φιλεῖ, ἄλλως τε καὶ αἱ θηρευτικαὶ πάντας ἀνθρώπους σαίνουσιν. ἔνιοι δέ φασιν ὅτι Ἀρτέμιδος αὐτὸν μεταβαλούσης εἰς ἔλαφον ἀνεῖλον αἱ κύνες. 10 ἐμοὶ δὲ δοκεῖ Ἄρτεμιν οὐ δύνασθαι ὅ τι θέλοι ποιῆσαι. οὐ μέντοι ἐστὶν ἀληθές, ἔλαφον ἐξ ἀνδρὸς γενέσθαι ἢ ἐξ ἐλάφου ἄνδρα· τοὺς δὲ μύθους τούτους συνέθεσαν οἱ ποιηταί, ἵνα οἱ ἀκροώμενοι μὴ ὑβρίζοιεν εἰς τὸ θεῖον. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀκταίων ἄνθρωπος ἦν τὸ γένος Ἀρκάς, φιλοκύ- 15 νηγος. οὗτος ἔτρεφε κύνας πολλὰς καὶ ἐθήρευεν ἐν τοῖς ὄρεσι, τῶν δὲ αὐτοῦ πραγμάτων ἠμέλει. οἱ γὰρ τότε ἄνθρω-

τούτῳ καθειργμένον (καθειρμένῳ T, καθειργμένῳ O^{ab}) ἐν τῷ οἰκήματι εἰσέπεμπεν (εἰσέπεμψε O^{ab}), καὶ οὕτως ἀνῃρεῖτο. καὶ τὸν θησέα (θησέα δὲ O^{ab}T) ἄνδρα πολέμιον λαβὼν ὁ μίνως (ὁμοίως O^{ab}) ἤγαγεν ἐπὶ τὸν τόπον ὡς ἀποθανούμενον O^{ab}TDM: 18. μινωταύρου et 1. 3. μινώταυρον b, qui et 1. om. ὁ ταῦρος, 2. καὶ quod vulg. est ante λαβὼν om. Vb, ἀπέστηλεν V. ‖ 3. γνοῦσα — ἡ] ἡ δὲ DM. ‖ 4. ξ. τῷ θησεῖ εἰς τ. ε. δι' οὗ ἀν. b: δι' οὗ] ἐν ᾧ DM. ‖ 5. ὁ om. D. ‖ θησσεὺς V. ‖ ἀναιρεῖται V, ἀνεῖλεν DM. ‖ τοιούτου δὴ τοῦ συμβάματος γενομένου ἐπὶ τὸ μυθῶδες οἱ ποιηταὶ τὸν λόγον ἐξέτρεψαν s. fin. add. O^{ab}TDM, nisi quod τοιοῦτε δ. τ. συμβάμματος et καὶ ἐπὶ T, συμβάντος et τοῦ λόγου DM, δὲ O^{ab}: in O^{ab} praefixa haec sunt, τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα, et in mg. ἦν γὰρ υἱὸς ταύρου φύσει, μίνωος δὲ θέσει.

III. om. VJG, sexta est in DM: vid. Eudoc. p. 19, cf. Theon. prog. 6, 12. ‖ 6. τοῦ om. DM. ‖ φασὶ καὶ ταῦτα περὶ ἀκταίωνος O^{a}. ‖ 7. τοῦτο — ψευδὲς om. DM. ‖ 8. γὰρ τὸν om. DM. ‖ καὶ τροφία μαλ. O^{a}DM. ‖ 9. πᾶσαι O^{a}ATDM: πάντως Jacobs ad Philostr. imag. p. 296. ‖ ὅτι — κύνες] ὡς ἄρτεμις μὲν (om. μὲν T) αὐτὸν ἔλαφον ἐποίησεν καὶ οὕτως ἀνεῖλον αὐτὸν (αὐτ. om. T.) αἱ κύνες (ἔλαφον δὲ ἀνεῖλεν ἑκόντες DM) O^{a}TDM: μεταβαλλούσης libri, αἱ κύνες] τινες ac, κύνες R. ‖ 11. οὐ] μὲν O^{a}, μὲν μὴ DM. ‖ ὅ τι θέλοι O^{a}DM, ὃ θέλειν a, ὃ θέλει cett., vulg. ὃ ἐθέλει. ‖ 12. ἐστὶν DM, vulg. δέ. ‖ γενέσθαι post ἄνδρα ponunt DM. ‖ 13. τε D. ‖ οἱ om. DM. ‖ 14. ὑβρίζοιεν O^{a}ATDM, cett. ὑβρίζωσιν. ‖ 15. ἔχει ὧδε D. ‖ ἀκταῖος a. ‖ ἦν ἀνὴρ DM. ‖ ἀρκάς O^{a}ATDM, vulg. Ἀρκάδιος. ‖ 16. ἔτρ. ἀεὶ κύνας θηρευτικὰς πολλὰς O^{a}AT: πολλούς cDM. ‖ 17. ὄρεσιν D. ‖ τοῦ — πράγματος DM: τοῦ δ' ἀγαθοῦ πράγματος ac. ‖ γὰρ] δὲ DM. ‖

ποι αὐτουργοὶ πάντες ἦσαν, οἰκέτας δ' εἶχον οὐδ' ὅλως, ἀλλ' αὐτοὶ ἐγεώργουν, καὶ οὗτος ἦν πλουσιώτατος, ὃς ἐγεώργει καὶ ἐργαστικώτατος ὑπῆρχεν. τῷ δ' Ἀκταίωνι ἀμελοῦντι τῶν οἰκείων, μᾶλλον δὲ κυνηγετοῦντι διεφθάρη ὁ βίος. ὅτε δὲ οὐκέτι εἶχεν οὐδέν, ἔλεγον αὐτῷ οἱ ἄνθρωποι „δειλὲ Ἀκταίων, ὃς ὑπὸ τῶν ἰδίων κυνῶν κατεβρώθης." ἐπείπερ καὶ νῦν, ἐάν τις πορνοβοσκῶν δυστυχήσῃ, εἰώθασι λέγειν ὅτι ὑπὸ τῶν πορνῶν κατεβρώθη. τοιοῦτον δή τι καὶ τὸ περὶ τὸν Ἀκταίωνα γέγονεν.

IV. Περὶ τῶν ἀνθρωποφάγων ἵππων Διομήδους. Περὶ τῶν Διομήδους ἵππων φασὶν ὅτι ἀνθρώπους κατήσθιον. τοῦτο δὲ γελοῖον· τὸ γὰρ ζῶον τοῦτο κριθῇ καὶ χόρτῳ ἥδεται μᾶλλον ἢ κρέασιν ἀνθρωπίνοις. ἡ δὲ ἀλήθεια ἥδε. τῶν παλαιῶν ἀνθρώπων ὄντων αὐτουργῶν καὶ τροφὴν καὶ περιουσίαν πλείστην κεκτημένων ἅτε τὴν γῆν ἐργαζομένων, ἱπποτροφεῖν οὗτος ἐπελάβετο, καὶ μέχρι τούτου ἵπποις ἥδετο, ἕως οὗ τὰ αὐτοῦ ἀπώλεσε καὶ πάντα πωλῶν κατηνάλωσεν εἰς τὴν τῶν ἵππων τροφήν. οἱ οὖν φίλοι τοὺς ἵππους ἀνδροφάγους ὠνόμασαν. οὗ γενομένου προήχθη ὁ μῦθος.

1. τε D. ‖ οὐκ εἶχον DM. ‖ ἀλλὰ M. ‖ 2. αὐτοὶ] ἑαυτοῖς O[a]ATDM. ‖ πλουσιώτατος ὃς αὐτὸς ἐγ. DM, πλούσιος ἕως αὐτὸς ἐγ. O[a]A. ‖ 3. ἐργατικώτατος DM. ‖ ὑπεῖρχε D. ‖ δ'] οὖν DM. ‖ 4. κυνηγοῦντι DM. ‖ διεφθάρει D, ἐφθάρη T. ‖ 5. αὐτῷ om. O[a]ATD, praetereaque οἱ D. ‖ δείλαιος ἀκταίων ὑπὸ τ. ἰ. κ. κατεβρώθη O[a]AT. ‖ 6. ὡς ἂν καὶ νῦν, ἐάν τις πορνοβοσκῶν ἀτυχήσῃ, λέγειν εἰώθασιν DM, vulg. ἐπ. κ. ν. πορνοβοσκῶν δυστυχῇ εἰ. λ., om. ἐπείπερ — κατεβρώθη OAT: δυστυχήσεις aut δυστυχήσειν, ut videtur, cett. ‖ 8. δή τι add. OAT. ‖ τὸ om. a. ‖ κατὰ OAT. ‖ τὸν om. DM. ‖ 9. ἐγίνετο DM.

IV. om. JG, septima est in DM, mutila in V: vid. Eudoc. p. 117. cf. Theon. prog. 6, 12. ‖ inscr. π. τ. ἱ. δ. O[a], π. τ. δ. ἱ. DM. ‖ 11. περὶ—κατήσθιον] φασὶν ὅτι ἀνδροφάγοι ἦσαν (sic et D) οἱ τοῦ διομήδους ἵπποι O[a]M. ‖ 12. τοῦτο δὲ γ.] γελοίως O[a]DM. ‖ μᾶλλον χ. καὶ κρ. ἥδ. DM. ‖ 13. τὸ δ' ἀληθὲς ἔχει ὧδε DM. ‖ 14. ὄντων] τῶν DM. ‖ καὶ τὴν περιουσίαν τοῦ βίου οὕτως κτωμένων DM, καὶ περιουσίαν οὕτω κτωμένων, τουτέστι τῇ αὐτουργίᾳ T. ‖ 15. ἅτε ὀλίγων τὴν DM. ‖ 16. οὗτος add. O[a], τε cett. praeter DM, qui om.: ὁ διομήδης post ἐπελ. add. c. ‖ ἐθέλησε O[a], ἐπεβάλετο Schaef. ad Bos. ell. p. 67. ‖ 17. ἕως οὗ] μέχρις ἂν DM. ‖ κατανάλωσεν εἰς τ. τρ. τ. ἱ. DM. ‖ 18. οἱ οὖν ἄνδρες ἀνδρ. ὠν. V, οἱ δὲ φίλοι αὐτοῦ διὰ τοῦτο τοὺς αὐτοῦ ἵππους ἀνθρωποφάγους ὠν. c, οἱ φ. οὖν ἀνδρ. τ. ἱ. ὠν. DM. ‖ 19. ὧν γενομένων προσήχθη δμοίως DM.

V. [*Περὶ Ὠρίωνος. Διὸς, Ποσειδῶνος καὶ Ἑρμοῦ παῖς. Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτίας, φιλοξενώτατος δὲ ὢν ὑπεδέξατό ποτε τοὺς θεούς. Ζεὺς δὲ καὶ Ποσειδῶν καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ καὶ τὴν φιλοφροσύνην ἀποδεξάμενοι παρῄνεσαν αἰτεῖν ὅ τι ἂν βούλοιτο. ὁ δὲ ἄτεκνος ὢν ᾐτήσατο παῖδα. λαβόντες δὲ οἱ θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βύρσαν ἀπεσπέρμηναν εἰς αὐτὴν καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι. ὧν διελθόντων ἐγένετο ὁ Οὐρίων, οὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι ὥσπερ τοὺς θεούς, ἔπειτα κατ' εὐφημισμὸν Ὠρίων. συγκυνηγῶν δὲ οὗτος Ἀρτέμιδι ἐπεχείρησεν αὐτὴν βιάσασθαι. ὀργισθεῖσα δὲ ἡ θεὸς ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸν ἀστράγαλον ἀπέκτεινεν. Ζεὺς δὲ συμπαθήσας κατηστέρωσεν αὐτόν.*]

VI. *Περὶ τῶν Σπαρτῶν. Λέγεται ὡς ὁ Κάδμος ὄφιν ἀποκτείνας καὶ τοὺς ὀδόντας ἐκλεξάμενος ἔσπειρεν ἐν τῇ ἰδίᾳ γῇ, ἔπειτα ἐξέφυσαν ἄνδρες τε καὶ ὅπλα. εἰ δὲ τοῦτο ἦν ἀληθές, οὐδεὶς ἂν τῶν ἀνθρώπων ἔσπειρεν ἄλλο τι ἢ ὀδόντας δρακόντων. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Κάδμος, τῷ γένει*

V. deest haec fab. in libris, nec dubium est quin aliunde illata sit: vid. Eudoc. p. 441. Arsen. p. 490. Schol. Hom. Il. 18, 486 (e). ‖ 4. *ὧν* add. c, *γενόμενος* de. ‖ *τοὺς*] *καὶ* de. ‖ *δὲ*] *γὰρ* e. ‖ 5. *αὐτῷ* om. d. ‖ *ἀποδεξάμενοι* de, *ὑποδεξάμενοι* ac. ‖ 7. *δὲ*] *οὖν* de. ‖ *ἱερευθέντος* d. ‖ 10. *ὠρίων* c. ‖ 11. *ὥσπερ* om. d. ‖ *ἔπειτα δὲ* e, *εἶτα* d. ‖ *ὠνομάσθη* post *εὐφ.* add. d. ‖ 12. *συγκυνηγετῶν* de. ‖ 13. *ἀνέδειξεν* d. ‖ 14. *δήξας καὶ πλήξας* d. ‖ 15. *κατεστέρισεν αὐτόν* e, *αὐτὸν κατεστήρισε* d: uterque s. fin. add. *διὸ τοῦ σκορπίου ἀνατέλλοντος ὠρίων δύνει. ἡ ἱστορία παρὰ εὐφορίωνι.*

VI. tertia est in VDM, in J multo breviorem esse testatur Iriarte, hanc et duas seqq. ut videtur om. O: vid. Eudoc. p. 98, cf. Euseb. chr. 1. p. 31. Tzetz. ad Lyc. 1209. ‖ 16. inscr. *π. τ. σπαρτῶν* J, *π. σπ.* VDM, vulg. *π. τ. σπ. γιγάντων.* ‖ *λέγεται*] *λόγος τις ἀρχαῖος λέγεται* ATDM, nisi quod *λέγει* DM. ‖ *ὄφιν ἀποκτείνας* VJGDM, sed iterum *δράκοντα* mox habet G, *ὥς φασιν ἀποκτείνας τὸν ἐν λέρνῃ* (*Λίρκῃ* Fischerus) *δράκοντα* ac, et sic omissis *ὥς φ.* vulg. ‖ 17. *καὶ — ἔσπειρεν*] *ἐκλέξας τ. ὀδ. ἔσπ.* DM. ‖ *εἰς τὴν ἰδίαν γῆν* c. ‖ 18. *ἐξέφυσαν* VDM, vulg. *ἐξεφύησαν.* ‖ *ἄνδρες ὁπλῖται* AT. ‖ *τοῦτο* VDM, vulg. *αὐτό.* ‖ 19. *ἂν τῶν* om. VDM. ‖ *ἄλλο τι ἔσπ.* DM. ‖ 20. *δρακόντων*] *ἀνθρώπων, καὶ εἰ μὴ ἐν ἄλλῃ γῇ ἐφύετο* DM. ‖ *τὸ δὲ* om. DM, sed D in lac. ‖ *οὕτως ἔχει*] *οὕτως* V, *οὖν ἐστι τοῦτο* DM. ‖ *ἀνὴρ τῷ γένει* T, *ἀνὴρ τὸ γένος* DM, *τὸ γένος ἦν* Vac. ‖

ἀνὴρ Φοίνιξ, ἀφίκετο εἰς Θήβας πρὸς τὸν ἀδελφὸν Φοίνικα ἀμιλλησόμενος περὶ τῆς βασιλείας, ἔχων ἄλλα τε πολλὰ ὅσα βασιλεὺς καὶ δὴ καὶ ὀδόντας ἐλεφάντων. ἦν δὲ ὁ βασιλεὺς τότε Θηβῶν Δράκων, Ἄρεος παῖς, ὃν ὁ Κάδμος ἀποκτείνας
5 ἐβασίλευσεν. οἱ δὲ φίλοι τοῦ Δράκοντος ἐπολέμουν αὐτῷ· ἀνέστησαν δὲ κατὰ Κάδμου καὶ οἱ παῖδες τοῦ Δράκοντος. ἐπεὶ οὖν οἱ φίλοι καὶ οἱ παῖδες ἥττους ἐγένοντο, ἁρπάσαντες τὰ χρήματα τοῦ Κάδμου καὶ τοὺς ἐλεφαντίνους ὀδόντας ἔφυγον ὅθεν ὡρμῶντο. ἄλλοι δὲ ἀλλαχῇ διεσπάρησαν, οἱ μὲν εἰς
10 τὴν Ἀττικήν, οἱ δὲ εἰς τὴν Πελοπόννησον, ἄλλοι δὲ εἰς Φωκίδα, ἕτεροι δὲ εἰς Λοκρίδα· ἀφ' ὧν χωρῶν ἐρχόμενοι ἐπολέμουν τοῖς Θηβαίοις καὶ ἦσαν ἀργαλέοι πολεμισταί. ἐπεὶ οὖν τοὺς ἐλεφαντίνους ὀδόντας, οὓς εἶχεν ὁ Κάδμος, ἁρπάσαντες ἔφυγον, ἔλεγον οἱ Θηβαῖοι ὅτι „τοιαῦτα δεινὰ ὁ Κάδμος ἐπή-
15 γαγεν ἡμῖν ἀποκτείνας τὸν Δράκοντα· ἐκ τῶν ἐκείνου ὀδόντων πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες σπαρτοὶ πολεμοῦσιν ἡμῖν." τούτου δὴ τοιούτου συμβάντος ὁ μῦθος προσανεπλάσθη.

VII. *Περὶ τῆς Σφιγγός.* Περὶ τῆς Καδμείας Σφιγγὸς λέγουσιν ὡς θηρίον ἐγένετο σῶμα μὲν ἔχον ὡς κυνός,

1. ἀφήκετο D. ‖ δὲ ante εἰς add. Vc. ‖ φοίνικος DM. ‖ 2. ἀμιλλησόμενος VDM, μειλεξόμενος T, vulg. ἀμιλληθησόμενος. ‖ ὅσα] ὡς Vac. ‖ 3. καὶ δὴ DM, vulg. ἀλλὰ δή, sed καὶ inter lineas habet etiam V. ‖ 4. τότε DM, vulg. τῶν. ‖ Θηβαίων M. ‖ ἄρεος VD, vulg. Ἄρεως. ‖ ὃν] τοῦτον DM. ‖ αὐτὸς post ἀποκτείνας add. DM. ‖ 5. αὐτῷ καὶ οἱ παῖδες αὐτοῦ ἐν τῷ κάδμῳ ἔστησαν· οἱ οὖν φίλοι τοῦ δράκοντος ἐπεὶ ἥττους DM: ἀντέστησαν et ἐπεὶ οὖν οἱ παῖδες omissis reliquis in lac. V, κάδμον a: ἐπεὶ οὖν et seqq. om. etiam G. ‖ 7. ἐν τῇ μάχῃ post ἐγένοντο add. DM. ‖ 8. ὀδόντας] ὀδ. κειμένους ἐν τῷ ἱερῷ ATDM. ‖ 9. ἔφυγον — ὡρμ.] ᾤχοντο φεύγοντες εἰς τὴν οἰκίαν DM: ὥρμηντο a. ‖ 10. ἄλλοι—Λοκρ.] καὶ φωκίδα καὶ λοκρίδα D, κ. εἰς φ. κ. εἰς λ. M: ἄλλοι εἰς c. ‖ 11. ἀφ'—ἔρχ.] ἐντεῦθεν ὁρμώμενοι DM. ‖ 12. καὶ om. a. ‖ ὁμόγλωσσοι ὄντες καὶ ἐπιστάμενοι τὰ χωρία post πολεμ. add. TDM. ‖ 13. τοὺς—ἔφυγον] τοὺς ὀδόντας αὐτοῦ διαρκέσαντες ἔφυγον, ταῦτα DM. ‖ 14. οἱ Θηβ. ὅτι] οἱ πολῖται TDM. ‖ τοιαῦτα — Δράκοντα] τ. εἰργάσατο ἡμᾶς κακὰ ὁ κ. δρ. ἀποκτείνας DM. ‖ 15. ἐκ γὰρ τῶν DM. ‖ 16. ἀ. γενόμενοι σπ. DM. ‖ ἡμᾶς DM. ‖ 17. τούτου τοῦ πράγματος ἀληθινοῦ γενομένου T, τ. δὴ (hoc. om. D) τ. πρ. ἀληθοῦς γεγονότος DM: οὗ γενομένου προήχθη ὁ μῦθος J.

VII. hanc et seq. fab. om. VJG, quarta est in DM: vid. Eudoc. p. 380, cf. Euseb. chr. 1. p. 29. Eust. ad Od. 11. p. 1684. 14. p. 1769. ‖ inscr. π. σφ. DM. ‖ 18. π. δὲ τῆς DM. ‖ 19. σῶμα μὲν κυνὸς ἔχον, τὴν δὲ κεφ. DM. ‖

κεφαλὴν δὲ καὶ πρόσωπον κόρης, πτέρυγας δὲ ὄρνιθος, φωνὴν δὲ ἀνθρώπου. καθεζομένη δὲ ἐπὶ Φικίου ὄρους αἴνιγμά τι τῶν πολιτῶν ἑκάστῳ ἔλεγε καὶ τὸν μὴ εὑρόντα ἀνῄρει. εὑρόντος δὲ τοῦ Οἰδίποδος τὸ αἴνιγμα ῥίψασα ἑαυτὴν ἀνεῖλεν. ἔστι δὲ ἄπιστος καὶ ἀδύνατος ὁ λόγος· οὔτε γὰρ ἰδέα τοιαύτη δύναται γενέσθαι, τό τε τοὺς τὰ αἰνίγματα μὴ διαλύοντας ὑπ' αὐτῆς ἀποκτείνεσθαι παιδαριῶδες, τό τε τοὺς Καδμείους μὴ κατατοξεῦσαι τὸ θηρίον, ἀλλὰ περιορᾷν τοὺς πολίτας ὡς πολεμίους κατεσθιομένους, μάταιον. ἔχει οὖν ἡ ἀλήθεια ὧδε. Κάδμος ἔχων γυναῖκα Ἀμαζονίδα, ᾗ ὄνομα Σφίγξ, ᾖλθεν εἰς Θήβας, καὶ ἀποκτείνας τὸν Δράκοντα τὴν τούτου βασιλείαν παρέλαβε, μετὰ δὲ καὶ τὴν ἀδελφὴν Δράκοντος, ᾗ ὄνομα Ἁρμονία. αἰσθομένη δὲ ἡ Σφὶγξ ὅτι καὶ ἄλλην ἐπέγημε, πείσασα τοὺς πολλοὺς τῶν πολιτῶν συναπᾷραι αὐτῇ καὶ τῶν χρημάτων τὰ πλεῖστα ἁρπάσασα καὶ τὸν ποδώκη κύνα, ὃν ἧκε Κάδμος ἄγων, λαβοῦσα, μετὰ τούτων ἀπῇρεν εἰς τὸ λεγόμενον ὄρος Φίκιον καὶ ἐντεῦθεν ἐπολέμει τῷ Κάδμῳ, ἐνέδρας δὲ ποιουμένη καθ' ἑκάστην ὥραν ἀνῄρει. καλοῦσι δὲ οἱ Θηβαῖοι τὴν ἐνέδραν αἴνιγμα. ἐθρύλλουν δὲ οἱ πολῖται λέγοντες „Σφὶγξ ἡμᾶς ἡ Ἀργεία αἴνιγμά τι ὑφι-

1. καὶ τὸ πρ. D. ‖ πτερ. ὀρν. ac. ‖ 2. καθίζουσα DM. ‖ φωκίου DM, σφικίου· aCT, vulg. Σφιγγίου: cf. Valck. ad Eur. Phoen. 823. ‖ αἰνίγματι c. ‖ 3. ἑκάστῳ τ. π. DM. ‖ ἔλεγε] ᾔδεν TDM. ‖ καὶ—ἀνῄρει] ὃν δ' ἂν εὕρε διαλύσασθαι μὴ δυνάμενον τοῦτον ἀνῄρει T, ὃς δὲ οὐδαμῶς εὗρεν διαλ. μ. δ. τ. ἀ. DM. ‖ 4. εὑρόντος] διαλυσαμένου T, διαλυσάμενος DM. ‖ τὸ αἴν. οἰδίπους DM. ‖ 5. ἔστι] ὅπερ DM et ἄπιστον pr. m. D: ἔστι — μάταιον om. c. ‖ οὔτε libri, vulg. οὐδὲ. ‖ 6. τό τε τοὺς μὴ δυνάμενος (διαλυσαμένους?) τὰ αἰνίγματα κατεσθίεσθαι αὐτοὺς DM. ‖ 8. κατατοξεῦσθαι a. ‖ περιορᾷν DM, vulg. παρορᾷν. ‖ 9. καταισθιωμένους D. ‖ 10. τὸ δ' ἀληθὲς οὕτως ἔχει c. ‖ ᾗ ὄνομα ἦν DM, τούνομα c. ‖ 11. ἀθήνας a. ‖ τὸν om. DM. ‖ τὴν τούτου] τήν τε ... καὶ DM. ‖ 12. μετὰ τοῦτο δὲ R. ‖ 13. ὃν. ἦν ἁρ. DM. ‖ αἰσθανομένη c. ‖ καὶ om. DM. ‖ 14. ἐπέγημε RAT, ἔγημαι a, cett. ἔγημε. ‖ τοὺς om. DM. ‖ συναπαίρειν c. ‖ 16. ποδώκην DM, Ποδώκυν c, vulg. ποδῶκυν. ‖ 17. καλούμενον DM. ‖ φίκιον DM, σφίγκιον a, vulg. Σφιγγίον. ‖ 18. καθ'] κατὰ τὴν DM. ‖ ὥραν] ἡμέραν Barth. ad Stat. Theb. 2, 516. ‖ οὓς δὲ ἁρπάζουσα (ἁρπάσασα M) ᾤχετο post ἀνῄρει add. DM, ubi aut οὓς μὲν excidit ante ἀνῄρει, aut μὴ post οὓς δέ. ‖ 19. Θηβαῖοι] καδμεῖοι ATDM et sic vulg. ‖ δὲ om. DM. ‖ 20. ἀγρία Piers. ad Moer. p. 395, Ἀρεία Unger. Theb. parad. 1. p. 104. ‖ αἰνίγματι AT. ‖ ὑφισταμένη RATDM, vulg. λέγουσα. ‖

σταμένη διαρπάζει, ἐξευρεῖν δὲ τὸ αἴνιγμα οὐδεὶς δύναται.“ κηρύττει δὲ ὁ Κάδμος τῷ ἀποκτενοῦντι τὴν Σφίγγα δώσειν χρήματα πολλά. ἐλθὼν οὖν ὁ Οἰδίπους, ἀνὴρ Κορίνθιος, τά τε πολεμικὰ ἀγαθός, ἔχων ἵππον ποδώκη καί τινας λαβὼν μεθ' ἑαυτοῦ τῶν Καδμείων, νυκτὸς ἀπιὼν ἐπὶ τὸ ὄρος ἀπέκτεινε τὴν Σφίγγα. τούτων οὕτω συμβάντων ὁ μῦθος ἐπετηδεύθη.

VIII. Περὶ τῆς Ἀλώπεκος. Φασὶ περὶ τῆς Τευμησίας ἀλώπεκος ὡς ἁρπάζουσα τοὺς Καδμείους κατήσθιεν. ἔστι δὲ εὔηθες· οὐδὲ γὰρ ἄλλο τι ζῶον, ὃ δύναται ἁρπάσαι ἄνθρωπον καὶ φέρειν χερσαῖον ὄν, ἀλώπηξ δὲ μικρόν ἐστι ζῶον καὶ ἀσθενές. ἐγένετο δέ τι τοιοῦτον. ἀνὴρ Θηβαῖος καλὸς κἀγαθὸς ἐκαλεῖτο Ἀλώπηξ, ὃς ἦν πανοῦργος. οὗτος συνέσει πάντας ἀνθρώπους ἐνίκα. δεδιὼς δὲ ὁ βασιλεὺς μὴ ἐπιβουλεύσῃ αὐτῷ, ἐξελαύνει αὐτὸν ἐκ τῆς πόλεως. συναγαγὼν δὲ ἐκεῖνος πολὺν στρατὸν καὶ ἄλλους μισθοφόρους τὸν καλούμενον λόφον Τευμήσιον κατέλαβεν, ὅθεν ἐκπηδῶν ἐσύλα τοὺς Θηβαίους. ἔλεγον δὲ οἱ ἄνθρωποι „Ἀλώπηξ ἡμᾶς κατατρέχων ὑποχωρεῖ.“ ἀφικνεῖται δὲ ἀνὴρ Κέφαλος ὀνόματι, τὸ γένος Ἀθηναῖος, πολὺν ἔχων στρατὸν ἐπίκουρος τοῖς Θηβαίοις. οὗτος τόν τε Ἀλώπεκα ἀπέκτεινε καὶ τὸν στρατὸν ἐξήλασεν ἐκ τοῦ τόπου.

1. καὶ καθίζει ἐπὶ τοῦ ὄρους post διαρπ. add. DM. ‖ ἐδύνατο c. ‖ ἔκ τε (τε om. T) τοῦ προφανοῦς (προφανῶς TM) μάχεσθαι ἀδύνατον (hoc om. T)· οὐ (οὐκ T) γὰρ τρέχει, ἀλλὰ πίτεται καὶ ὁ κύων (κ. ὁ κ. om. T) καὶ ἡ γυνή, οὕτως ποδώκεις εἰσί (οὕτω ποδάκης ἐστί T) post δύναται add. TDM. ‖ 2. χρ. δώσειν DM. ‖ 4. ἵππον ἔχων DM. ‖ ποδώκη DM, ποδώκην c, vulg. ποδῶκυν. ‖ καὶ — ἑαυτοῦ] καὶ λόχους DM. ‖ 5. νυκτὸς — ὄρος] διὰ νυκτὸς ἐξιὼν καὶ ἐνεδρεύσας αὐτὴν εὗρεν (αὐτῇ εὕρετο T) τὸ αἴνιγμα, τουτέστι τὴν ἐνέδραν καὶ ἀπ. ATDM. ‖ 6. τούτων γενομένων τὰ λοιπὰ μυθεύεται DM. ‖ οὕτως et ἐπιτηδεύθη ac.

VIII. quinta est haec fab. in DM: cf. Tzetz. chil. 1, 20. ‖ 8. τελμησίας a, τεκμησσίας DM hic et infra. ‖ 10. οὐδὲ DM, vulg. οὐ. ‖ ζῶον] ἐστι χερσαῖον θηρίον AT, ἐ. θ. χ. DM, qui deinde om. χερσαῖον ὄν. ‖ 11. καὶ om. DM. ‖ φεύγειν AT. ‖ δὲ καὶ μικρόν ἐστι καὶ ἀ. DM. ‖ 14. ἐνίκα] ὑπερέφερεν DM. ‖ 15. ἐπιβουλεύσει DM. ‖ 16. ἐκεῖ a. ‖ τὸν — Θηβαίους] κατέλαβε τὸν καλούμενον λόφον τεκμήσσιον· ἐντεῦθεν ὁρμώμενος ἦγεν καὶ ἔφερεν τοὺς θ. DM. ‖ 18. ἔλ. δὲ οἱ ἀ. om. DM. ‖ κατατροχάζων DM. ‖ 20. τὸ om. DM. ‖ στρατὸν ἔχων D. ‖ 22. τόπου] τεκμησσίου DM. ‖ ὧν γενομένων ἐμυθολόγει ἐκεῖνα s. fin. add. DM.

IX. *Περὶ Νιόβης.* *Φασὶν ὡς Νιόβη ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων. ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον ἢ ἐξ ἀνθρώπου λίθον, εὐήθης ἐστίν. τὸ δ' ἀληθὲς ἔχει ὧδε. Νιόβης ἀποθανόντων τῶν παίδων ποιήσας τις εἰκόνα λιθίνην ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων.* 5 *ἔλεγον οὖν οἱ παριόντες, „Νιόβη λιθίνη ἔστηκεν ἐπὶ τῷ τύμβῳ.“ καὶ ἡμεῖς ἐθεασάμεθα αὐτήν, οἵα καὶ λέγεται.*

X. *Περὶ Λυγκέως.* *Λυγκέα λέγουσιν ὡς καὶ τὰ ὑπὸ γῆν ἑώρα. τοῦτο δὲ ψεῦδος, τὸ δ' ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ* 10 *λοιπά, ἐν δὲ τῇ μεταλλεύσει λύχνους καταφέρων ὑπὸ τὴν γῆν τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον. ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι „Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ κατᾴδύνων ἀργύριον ἀναφέρει.“*

XI. *Περὶ Καινέως.* *Καινέα φασὶν ὅτι ἄτρωτος ἦν.* 15 *ὃς δ' ὑπολαμβάνει ἄτρωτον ὑπὸ σιδήρου ἄνθρωπον, εὐήθης*

IX. octava est haec fab. in DM, ceterae hinc ex vulgari ordine sequuntur: vid. Apost. 13, 73. Eudoc. p. 307. Arsen. p. 367, cf. Eust. ad Il. 24. p. 1368. ‖ 1. *ὡς γυνὴ ζῶσα* T, *ὡς νιόβη γυνὴ ζ.* DM. ‖ *λίθος ἐγ.*] *ἀπελιθώθη* c. ‖ 2. *ὃς* b. ‖ 3. *ἐξ ἀνθρώπου* (*ἀνθρώπων* M) *λίθον γενέσθαι ἢ ἐκ λίθου ἄνθρωπον* DM: *ἀνθρώπου* C, cett. *ἀνθρώπων*: *ὅστις—ἐστί* om. c. ‖ 4. *ἀλλ' ἡ ἀλήθεια οὕτως ἔχει* c. ‖ *Νιόβης—εἰκόνα* CO^{a}ATGDM, nisi quod *ἀποθανούντων* O^{a}A, vulg. *Νιόβη ἀποθανόντων τῶν ἑαυτῆς παίδων ποιήσασα ἑαυτῇ εἰκ.* ‖ 5. *τῷ τ. π. τάφῳ* CG. ‖ 6. *ἔλεγον — τύμβῳ* add. O^{a}ATDM, nisi quod *τοῦ τύμβου* T, vulg. om. ‖ 7. *καὶ — λέγεται*] *ἐθεασάμεθα καὶ* (om. *καὶ* TDM) *ἡμεῖς αὐτήν. ὥσπερ* (*καὶ* add. DM) *νῦν λέγεται, περὶ* (*παρὰ* DM) *τὸν χαλκοῦν ἡρακλέα ἐκαθήμην* (add. DM *καὶ παρὰ τὸν πάριον ἑρμῆν ὤν*). *τοιοῦτον ἦν κἀκεῖνο, ἀλλ' οὐχ ἡ* (*οὐχὶ* TDM) *νιόβη αὐτὴ* (*αὕτη* DM) *λιθίνη* (*λ. α. T.*) *ἐγένετο* O^{a}ATDM: *ὅθεν καὶ ἀπολελιθῶσθαι αὐτὴν ἐμυθεύσαντο* c.

X. Vid. Apost. 12, 13. Eudoc. p. 279. Arsen. p. 337. Schol. Arist. Plut. 210 (f). ‖ 8. *λυγγέως* a. ‖ *λέγεται ὡς λυγκεὺς* TG. ‖ *καὶ* add. TGDM. ‖ 9. *τὴν γῆν* G. ‖ *τοῦτο δ. ψ.* om. DM. ‖ *οὕτως ἔχει* G, *οὕτως* DM. ‖ *τοῦτο—πρῶτος*] *οὕτω μὲν μυθολογοῦσι· πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται ὅτι πρ.* cf. ‖ 10. *ἤρξατο —λοιπά*] *εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων* f. ‖ *μεταλεύσει* V, *μεταλλείᾳ* COA. ‖ 11. *καταφέρων* R, *φέρων* DM, cett. *μεταφέρων*. ‖ 12. *ἐκεῖσε* Vabcdf, *ὑπὸ τὸν τόπον* COATDM, vulg. *ἐπὶ τοῦ τόπου*. ‖ *ἀνεφέρετο θυλάκους* (*θυλ. ἀν.* T) *χαλκοῦ καὶ σιδήρου* (*τοῦ χ. κ. τοῦ σ.* TDM) OATDM: *χαλκόν, τὸν δὲ σίδηρον καὶ χρυσόν* bd, *χ. καὶ τ. σ. καὶ τὰ λοιπά* c, *καὶ τ. λ.* f. ‖ 13. *ὅτι* om. DM. ‖ *τὰ* om. Vbd. ‖ 14. *ἀναφέρει* f, *παραφέρει* DM, cett. *περιφέρει*.

XI. vid. Apost. 4, 71. Eudoc. p. 250. Arsen. p. 81. ‖ 16. *ὃς* (*ὅστις* DM) *δ'*

ἐστίν. ἡ δὲ ἀλήθεια ἔχει οὕτως. Καινεὺς ἦν ἀνὴρ Θεσσαλὸς τῷ γένει, ἀγαθὸς τὰ πολεμικὰ καὶ ἐπιστήμων τοῦ μάχεσθαι· γενόμενος δὲ ἐν πολλαῖς μάχαις οὐδέποτε ἐτρώθη, οὐδὲ ὅτε Λαπίθαις συμμαχῶν πρὸς τῶν Κενταύρων ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον κατέχωσαν, καὶ οὕτως ἐτελεύτησεν. ἔλεγον οὖν οἱ Λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα „Καινεὺς τόν τε ἄλλον βίον ἄτρωτος ἦν καὶ ἀπέθανεν ἄτρωτος."

XII. Περὶ Κύκνου. Ὁ αὐτὸς λόγος καὶ περὶ Κύκνου
10 τοῦ ἐν Κολώναις. καὶ γὰρ ἐκεῖνόν φασιν ὅτι ἄτρωτος ἦν. καὶ αὐτὸς ἦν αἰχμητὴς καὶ ἐπιστήμων μάχης, ἀπέθανε δὲ ἐν Τροίᾳ ὑπ' Ἀχιλλέως λίθῳ βληθείς, καὶ οὐδὲ τότε ἐτρώθη. ἔλεγον οὖν οἱ ἄνθρωποι ὁρῶντες τὸν νεκρὸν αὐτοῦ, ὅτι ἄτρωτος ἦν καὶ αὐτός. οὕτω κἀκεῖνος ἄτρωτος ἐκλήθη. κατη-
15 γορεῖ δὲ τούτου τοῦ λόγου καὶ ἐμοὶ συμμαρτυρεῖ Αἴας ὁ Τελαμώνιος· καὶ γὰρ κἀκεῖνος ἐλέγετο ἄτρωτος, καὶ ἀπέθανε τρωθεὶς ξίφει ὑφ' ἑαυτοῦ.

XIII. Περὶ Δαιδάλου καὶ Ἰκάρου. Φασὶν ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον τὸν υἱὸν αὐτοῦ καθεῖρξε διά τινα
20 αἰτίαν, Δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετὰς ἐξέπτη

ὑπολαμβάνει ἄτρωτον εἶναί (om. εἶναι DM) τινα ἀπὸ τοῦ (om. τ. M) σιδήρου ἄνθρωπον ὄντα (ὁ. ἀ. DM) ματαιάζει ODM: ὑπολαμβάνεται d. ‖ ὑπὸ bd, vulg. ἀπὸ: cf. Schaef. ad Greg. p. 528. ‖ 1. ἔχει om. DM. ‖ Καινεὺς om. T. ‖ ἀνὴρ ἦν T, ἀνὴρ om. Vabcd. ‖ 2. τὸ γένος ODM. ‖ ἀγ. καὶ ἀνδρεῖος τὰ π. c. ‖ πολέμια D. ‖ 4. οὐδὲ D, cett. οὔτε. ‖ ὅτε add. DM. ‖ πρ. τοὺς κενταύρους O^a T, πρ. κενταύρους DM. ‖ 7. τε DM, cett. γε.

XII. cf. Tzetz. ad Lyc. 232. ‖ 9. αὐτ. τε λ. DM. ‖ καὶ—κολώναις om. V. ‖ 10. ἐκεῖνός VDM. ‖ 11. ἀπέθανε—τότε ODM, nisi quod βληθεὶς λίθῳ DM, οὐδέποτε O, vulg. ἐν δὲ Τρ. ὑπ' Ἀχ. λ. πληγεὶς οὐκ. ‖ 13. οἱ post ἀνθρ. add. VC. ‖ 14. ἦν καὶ αὐτός] ἦν, ὥσπερ καὶ νῦν λέγουσιν τοὺς ἀγωνιστάς, ἐάν τις ἄτρωτος ᾖ DM, om. RC. ‖ οὕτως κἀκεῖνοι ἐκλήθησαν ἄτρωτοι DM: οὕτως οὗτος O, οὕτω οὗτος T. ‖ 15. τοῦ om. DM: τούτων τῶν λόγων O. ‖ μαρτυρεῖ ODM. ‖ 16. ἐκεῖνος TDM. ‖ καὶ ἀπέθανε VTGDM, vulg. ἀναιρεθεὶς. ‖ 17. τρωθεὶς add. VTGDM, sed post ξίφει TGDM. ‖ ἐφ' T.

XIII. vid. Apost. 6, 71. Eudoc. p. 102. Arsen. p. 175. ‖ inscr. π. δαιδάλου D: ἰκαρίωνος a. ‖ 19. τὸν υἱὸν αὐτοῦ om. (etiam J) et υἱοὺς αὐτοῦ ὄντας post αἰτίαν add. Vabcd. ‖ κατεῖρξε T, κ. εἰς εἱρκτὴν υἱοὺς c. ‖ 20. ἀμφοτέρους post πτερ. add. OAT. ‖ προσθετοὺς hic et infra d, προσθητὰς OA. ‖ ἐξέπτη RTDM, ἐξήπτη OA, ἐξῆλθε Vabcd. ‖

μετὰ τοῦ Ἰκάρου. νοῆσαι δὲ ἄνθρωπον πετόμενον ἀμήχανον, καὶ ταῦτα πτέρυγας ἔχοντα προσθετάς. τὸ οὖν λεγόμενον ἦν τοιοῦτον. Δαίδαλος ὢν ἐν εἰρκτῇ, καθεὶς ἑαυτὸν διὰ θυρίδος καὶ τὸν υἱὸν κατασπάσας, σκαφίδι ἐμβὰς [εἰς θάλασσαν] ἀπῄει. αἰσθόμενος δ' ὁ Μίνως πέμπει πλοῖα διώξοντα. ὡς ᾔσθοντο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος πετόμενοι, ἤγουν πλέοντες ἐν τῷ πελάγει περιτρέπονται. καὶ ὁ μὲν Δαίδαλος σώζεται εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει· ὅθεν ἀπ' ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη. ἐκβληθεὶς δ' ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων παρὰ τοῦ πατρὸς ἐτάφη.

XIV. Περὶ Ἀταλάντης καὶ Μελανίωνος. Λέγουσι περὶ Ἀταλάντης καὶ Μελανίωνος ὡς ἡ μὲν ἐγένετο λέαινα, ὁ δὲ λέων. τὸ δ' ἀληθὲς ἦν τοιοῦτον. Ἀταλάντη καὶ Μελανίων ἐκυνήγουν. ἀναπείθει δὲ τὴν κόρην ὁ Μελανίων μιγῆναι αὐτῷ. εἰσέρχονται δὲ εἴς τι σπήλαιον μιχθησόμενοι. ἦν δὲ ἐν τῷ ἄντρῳ εὐνὴ λέοντος καὶ λεαίνης· οἳ καὶ ἀκούσαντες φωνῆς ἐξελθόντες ἀναιροῦσι τοὺς περὶ Ἀταλάντην. μετὰ δὲ χρόνον τῆς λεαίνης καὶ τοῦ λέοντος ἐξελθόντων οἱ συγκυνηγετοῦντες τῷ Μελανίωνι εἰς ταῦτα τὰ ζῶα ἔδοξαν αὐτοὺς με-

1. πετώμενον V. ‖ ἀδύνατον T. ‖ 2. προσθετάς RabdDM, προσθητάς OA, cett. ut videtur ὑποθετάς. ‖ 3. τ. ἦν V. ‖ ἐν] ἐν τῇ DM. ‖ 4. τ. υἱὸν κατ. add. OATDM (vulg. om.), qui et om. εἰς θ. ‖ σὺν τῷ ἰκάρῳ post ἐμβὰς add. bd. et vulg. ‖ 5. ἀπίει TDM, ἔπλεεν Vabd. ‖ 6. οἱ δὲ ὅτε (ὅτι T, ὡς DM) ᾔσθοντο διωκόμενοι, ἀνέμου λ. (λαύρου M) καὶ σφοδροῦ (φοροῦ DM, κ. σφ. om. OA) ὄντος (ὄντες DM) πετόμενοι (πετώμενοι OA) ἐφαίνοντο (om. ἐφ. DM) εἶτα (ἤγουν DM) πλέοντες οὐρίῳ κρητικῷ (οὔρω κρήτη DM) νότῳ ἐν τῷ πελάγει (τ. ἰκάρῳ D, τ. ἰκαρίῳ M, τ. ἰκαρίῳ πελάγει T) περιτρ. OATDM. ‖ 8. μὴν d. ‖ περισώζεται O[a]DM. ‖ 9. ὁ—πελάγει om. DM. ‖ τελευτᾷ] διαφθείρεται O[a]T. ‖ 10. ἐκβληθέντα δὲ αὐτὸν (ἐκβληθέντος δὲ T) ὑπὸ τῶν κυμάτων (α. ὑ. τ. κ. om. DM) πατὴρ ἔθαψεν OTDM.

XIV. vid. Eudoc. p. 20. ‖ inscr. π. ἀτ. DM. ‖ 12. λέγεται TDM. ‖ 13. μελανίωνος hic et infra RJCODM, μηλανίωνος Vc, vulg. Μειλανίωνος. ‖ ὡς ὁ μὲν ἐγ. λέων καὶ λέαινα DM. ‖ 14. ἦν DM (nisi quod ἦν δὲ τὸ ἀ. τ.), ἔνι vulg.: ἡ δὲ ἱστορία οὕτως ἔχει c. ‖ 15. ὁ add. DM, vulg. om. ‖ 16. αὐτῷ RCO, cett. αὐτῇ. ‖ εἰσέρχονται—μιχθησόμενοι COT, vulg. εἰσέρχεται—μιχθησόμενος. ‖ τι] τὸ CODM. ‖ σπήλεον D. ‖ 17. ἐν—εὐνὴ] τὸ ἄντρον DM. ‖ οἳ καί] οἱ δὲ ATDM et vulg. ‖ 18. φωνῆς] σφῶν DM. ‖ ἐξελθ. ἐμπίπτουσι (ἐπιπίπτουσι DM) τοῖς περὶ ἀταλάντην καὶ ἀναιροῦσιν αὐτούς OATDM. ‖ 19. τοῦ λ. καὶ τῆς λ. DM. ‖ ἐξελθόντες G. ‖ συγκυνηγ τῷ DM, κυνηγ. σὺν vulg.: ἰδόντες τούτους οἱ συγκυνηγ. O[a]. ‖ 20.

ταβεβλῆσθαι. εἰσβάλλοντες οὖν εἰς τὴν πόλιν διεφήμιζον ὡς οἱ περὶ Μελανίωνα καὶ Ἀταλάντην εἰς λέοντας μετεβλήθησαν.

XV. Περὶ Καλλιστοῦς. Καὶ ὁ περὶ Καλλιστοῦς λόγος τοιοῦτος, ὡς κυνηγετοῦσα ἄρκτος ἐγένετο. ἐγὼ δέ φημι καὶ ταύτην εἰς ξύλοχόν που καταντήσασαν, ὅπου ἐτύγχανεν ἄρκτος, θηρεύουσαν καταβρωθῆναι, τοὺς δὲ κυνηγετοῦντας ἰδόντας [αὐτὴν] εἰσελθοῦσαν μὲν ἐπὶ τὴν τῆς ἄρκτου κοίτην, μηκέτι δ' ἐξερχομένην, εἰπεῖν ὡς ἡ κόρη ἄρκτος ἐγένετο.

XVI. Περὶ τῆς Εὐρώπης. Φασὶν Εὐρώπην τὴν Φοίνικος ἐπὶ ταύρου ὀχουμένην διὰ τῆς θαλάττης ἐκ Τύρου εἰς Κρήτην ἀφικέσθαι. ἐμοὶ δὲ δοκεῖ οὔτε ταῦρον οὔθ' ἵππον τοσοῦτον πέλαγος διανύσαι δύνασθαι, οὔτε κόρην ἐπὶ ταῦρον ἄγριον ἀναβῆναι, ὅ τε Ζεὺς, εἰ ἐβούλετο Εὐρώπην εἰς Κρήτην ἐλθεῖν, εὗρεν ἂν αὐτῇ ἑτέραν πορείαν καλλίονα. τὸ δ' ἀληθὲς ἔχει ὧδε. ἀνὴρ Κνώσιος ὀνόματι Ταῦρος ἐπολέμει τὴν Τυρίαν χώραν, τελευταῖον δ' ἐκ Τύρου ἥρπασεν ἄλλας τε πολλὰς κόρας καὶ τὴν τοῦ βασιλέως θυγατέρα Εὐρώπην. ἔλεγον οὖν οἱ ἄνθρωποι „Εὐρώπην τὴν τοῦ βασιλέως Ταῦρος ἔχων ᾤχετο." τούτου δὲ γενομένου προσανεπλάσθη ὁ μῦθος.

ἔδοξαν αὐτ. εἰς τ. τ. ζ. μεταβαλεῖν DM: μεταβληθῆναι O[a]. ‖ 1. εἰσβαλόντες DM. ‖ διεφημίσαντο CO: ὡς hic add. RCO, ante εἰς ac, cett. om. ‖ 2. μ. καὶ ἀτ. RDM, ἀτ. καὶ μ. vulg.: μελανίων καὶ ἀταλάντη CO.

XV. 6. ξύλλοχόν που RODM (sed ξύλοχον pr. m. DM), τὸ ὄρος V, vulg. ὄρος. ‖ ἔτυχεν DM. ‖ 7. καὶ θηρεύουσαν C, θηρεύουσα DM. ‖ 8. αὐτὴν om. VaTDM: μὲν αὐτ. εἰσ. O. ‖ εἰσελθοῦσαν om. Va. ‖ ἐπὶ — κοίτην om. TDM. ‖ 9. δ' om. T. ‖ ἡ om. V.

XVI. vid. Eudoc. p. 162. ‖ inscr. π. εὐρ. DM. ‖ 10. τὴν DM, cett. ut videtur τοῦ. ‖ 12. ἐμοὶ δὲ οὐκ ἂν ταῦρος οὔθ' ἵππος OADM. ‖ 13. εἰς τοσ. DM. ‖ διανύσαι OATDM, διανήξασθαι Va: διανεῦσαι Valck. ad Eur. Hipp. p. 252. ‖ δύναται V. ‖ οὐδὲ Fischerus. ‖ 14. ὅ τε] καὶ ὅτι ὁ R, καὶ ὁ T, ὁ δὲ M. ‖ 15. εὑρεῖν C. ‖ αὐτῇ Tollius, αὐτῷ C, αὐτὴν D, cett. αὐτῆς: Brunnerus ταύτης. ‖ ἑτ. ὁδὸν λίαν καλλίονα C. ‖ 16. ὧδε ἔχει V. ‖ κνώσσιος CG. ‖ ὄνομα D. ‖ 17. τὴν τυρίαν χ. O[a], τ. τυρρηνίαν χ. DM, τῇ τυρηνίᾳ χώρει V, τ. τ. χώρᾳ a. ‖ τελευτήσας οὖν ἐκ DM, ἀποπλεύσας οὖν ἐκ O[a]. ‖ 18. πολλὰς κόρας καὶ O[a]DM, vulg. κόρας ἀλλὰ δὴ καὶ. ‖ 19. οὖν] δὲ DM. ‖ 20. τούτων γενομένων DM. ‖ totum locum sic expressit c: ταῦρος, ὁ τῆς κρήτης βασιλεύς, ἐπολέμει τῇ τυρρηνίᾳ χώρᾳ· ναυμαχίᾳ δὲ τὴν τύρον ἑλὼν ἄλλας τε κόρας ἐλήσατο καὶ δὴ καὶ τὴν τοῦ βασιλέως ἀγήνο-

XVII. *Περὶ τοῦ δουρείου ἵππου.* *Φασὶν ὡς Ἀχαιοὶ οἱ ἐν ξυλίνῳ ἵππῳ κατεπόρθησαν τὴν Ἴλιον. ἔστι δὲ μυθώδης ἄγαν ὁ λόγος. ἡ δὲ ἀλήθειά ἐστιν αὕτη. ἵππον κατεσκεύασαν ξύλινον πρὸς μέγεθος μετεωρότερον τῶν πυλῶν, ὅπως μηδ' ἑλκόμενος εἰσέλθῃ, ἀλλ' ὑπερέχῃ τῷ μεγέθει. οἱ δὲ λοχ-* 5 *αγοὶ ἐκάθηντο ἐν κοίλῳ χωρίῳ περὶ τὴν πόλιν, ὃ Ἀργείων λόχος καλεῖται μέχρι τοῦ νῦν. αὐτόμολος δὲ ἐλθὼν ὁ Σίνων εἰς Ἴλιον φράζει τοῖς Ἰλιεῦσιν εἰσαγαγεῖν τὸν ἵππον, προσθεὶς καὶ τὸ μὴ εἰσελθεῖν τοὺς Ἕλληνας. οὗ ὑπακούσαντες οἱ Τρῶες καὶ τὰς πύλας καθελόντες εἰσάγουσι τὸν ἵππον. εὐωχ-* 10 *ουμένων δ' αὐτῶν ἐπεισέρχονται οἱ Ἕλληνες, καὶ οὕτως ἑάλω ἡ Τροία.*

XVIII. *Περὶ τοῦ Αἰόλου.* *Λέγουσιν ὅτι Αἴολος ἦν πυριεύων τῶν πνευμάτων, ὅστις ἔδωκεν Ὀδυσσεῖ τοὺς ἀνέμους ἐν ἀσκῷ. περὶ δὲ τούτου ὡς οὐχ οἷόν τε δῆλον εἶναι πᾶσιν* 15 *οἶμαι. εἰκὸς δὲ ἀστρολόγον γενόμενον Αἴολον φράσαι Ὀδυσσεῖ τοὺς χρόνους, καθ' οὓς ἐπιτολαί τινες ἀνέμων γενήσον-*

ρος θυγατέρα εὐρώπην. τούτου τοίνυν συμβεβηκότος μῦθος προσανεπλάσθη, ὅτι ταῦρος εὐρώπην τὴν τοῦ βασιλέως ἐφ' αὑτοῦ ὀχουμένην ἔχων ᾤχετο.

XVII. vid. Eudoc. p. 126. 149. ‖ inscr. *π. τ. δ. ἰ.* VD, *π. δ. ἰ.* J, *π. τ. δουρατείου ἰ.* M, *π. τ. ἐν τροίᾳ ξυλίνου ἰ.* RO, vulg. *π. τ. δ. ἰ. καὶ τῆς Τροίας.* ‖ 2. *οἱ* post *ὡς* habent JOAT, om. RVDM. ‖ *ἐν ξ. κοίλῳ ἵππῳ χίλιοι καὶ* (*καὶ* om. DM) *κατεβάλλοντο* (*κατεβάλοντο* DM) *τ. ἰ.* OATDM, *ἐκ ξυλίνων ἵππων χιλίων ἑκατὸν ἐπόρθησαν τ. ἰ* CG. ‖ 3. *ἐστιν* om. DM. ‖ 4. *πρὸς μέτρον τῶν π.* CO^{c}GDM, *οὐκ ἰσόμετρον ταῖς πύλαις* O^{a}. ‖ 5. *μηδ'* CO, vulg. *μὴ.* ‖ *ἀλλὰ* CO. ‖ *ὑπερέχῃ* CODM, *ὑπερέχει* Va, *ὑπερέχειν* AT. ‖ 6. *ἐνεκάθηντο* CO. ‖ *παρὰ* DM. ‖ *ὃς* DM. ‖ *ἀργῶν* V, *ἀργεῖος* CO^{c}G. ‖ 7. *καλεῖται* R, vulg. *ἐκαλεῖτο.* ‖ *ὁ*] *παρὰ τῶν ἀργείων* TDM. ‖ 8. *εἰς—Ἕλληνας*] *εἰς ἴλ.* (om. T.) *φράζει* (*φράζοι* O^{a}) *αὐτοῖς κατὰ μαντείαν* (*μαντείας* O^{a}) *ὡς, εἰ μὴ εἰσαγάγοιεν* (*εἰσαγάγειεν* T) *τὸν ἵππον* (om. T) *εἰς τὴν πόλιν, ὑποστράφειεν οἱ* (hoc om. T) *ἀχαιοί, ἐὰν δὲ εἰσαγάγωσιν οὔ* (*ἐὰν—οὔ* om. T) O^{a}AT, *φράζει εἰς ἴλιον ὑποστρεφόντων ἀχαιῶν, ἂν δὲ εἰσαγάγωσι μηκέθ' ἡξόντων* DM: *προστεθεὶς* et *ἐλθεῖν* V. ‖ 9. *οὗ—Ἕλληνες*] *τούτου δὲ* (*ὧν* DM) *ὑπακούσαντες* (*ἐπακ.* O^{a}) *οἱ* (om. T) *τρῶες εἰς τὸ τεῖχος* (*τρ. καὶ καθελόντες* DM) *εἰσάγουσι τὸν ἵππον. εὐωχουμένοις δὲ αὐτοῖς ἐπιπίπτουσιν οἱ ἕλληνες ἀφ' οὗ* (*δι' ἧς* DM) *καθῄρητο τὸ τεῖχος* (*τοῖχος* M) O^{a}ATDM. ‖ 12. *Τροία*] *ἴλιος* TDM.

XVIII. vid. Eudoc. p. 15. ‖ inscr. *π. αἰ.* DM. ‖ 13. *λέγεται ὅτι αἰ. ἦν ἄνθρωπος κυρ.* DM, *λέγεται ὅτι οὗτος ὁ ἄνθρ. ἦν κ.* T, *αἴολος λέγεται κυριεύειν τῶν πν.* c. ‖ 15 *περὶ—εἰκὸς δὲ*] *πιθανὸν δέ ἐστιν* c. ‖ *τούτων* DM. ‖ *οἷόν τε γίγνεσθαι πᾶσ. εἰ. δ. οἰ.* DM. ‖ 16. *εἰκὸς γὰρ ἀστ. αἰ. γ.* DM. ‖ *Ὀδυσσεῖ—γενήσονται* om. V. ‖ 17. *τὸν χρόνον* OAT. ‖ *καθ' —γενήσονται*] *καθ' ἃς ἐπιτολὰς ἄνεμοι*

ται. φασὶ δὲ ὅτι καὶ χαλκοῦν τεῖχος τῇ πόλει αὐτοῦ περιεβέβλητο. ὅπερ ἐστὶ ψευδές· ὁπλίτας γὰρ, ὡς οἶμαι, εἶχε τὴν πόλιν αὐτοῦ φυλάττοντας.

XIX. *Περὶ Ἑσπερίδων.* Λέγουσιν ὅτι γυναῖκές τινες ἦσαν Ἑσπερίδες. ταύταις δ' ἦν μῆλα χρυσᾶ ἐπὶ μηλέας, ἃ ἐφύλασσε δράκων· ἐφ' ἃ μῆλα καὶ Ἡρακλῆς ἐστρατεύσατο. ἔχει δὲ ἡ ἀλήθεια ὧδε. Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίδες. τούτῳ δὲ ἦσαν ὅϊς καλαὶ καὶ εὔκαρποι, οἷαι καὶ νῦν αἱ ἐν Μιλήτῳ. ἐπὶ τούτῳ δὴ ὠνομάζοντο χρυσαῖ· κάλλιστον γὰρ ὁ χρυσός, ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὲ καλεῖται τὰ πρόβατα. ἅπερ ἰδὼν Ἡρακλῆς βοσκόμενα παρὰ τῇ θαλάττῃ, περιελάσας ἐνέθετο εἰς ναῦν, καὶ τὸν ποιμένα αὐτῶν, ὀνόματι Δράκοντα, εἰσήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον οὖν οἱ ἄνθρωποι „ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγεν ἐξ Ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας Δράκοντα.“ καὶ ἔνθεν ὁ μῦθος προσανεπλάσθη.

XX. *Περὶ Κόττου καὶ Βριάρεω καὶ Γύγου τῶν ἑκατογχείρων.* Περὶ τούτων φασὶν ὡς ἑκατὸν ἔσχον χεῖ-

πνευσοῦντὰι OAT, καὶ καθ' οὓς ἐπ' ἰστοῦ τινες ἀν. πν. DM. ‖ 1. καὶ om. DM. ‖ αὐτοῦ omissis ὅπερ — φυλάττοντας c. ‖ 2. ψεῦδος D. ‖ ὡς οἶμαι om. DM.

XIX. vid. Apost. 13, 8. Eudoc. p. 159. ‖ 4. λέγεται ὡς O^a DM. ‖ 5. ἦσαν VJbDM, vulg. ἦσαν αἱ. ‖ ἑσπερίτιδες Vb, sic et infra V, sed 16. ἑσπερίδων. ‖ ἃ Vb, vulg. ἣν. ‖ 6. ἐφ' — ἐστρατ. om. O. ‖ ἐστρατεύσατο] ἐν τῇ καρίᾳ DM. ‖ 7. ἔχει δὲ ὧδέ πως τὸ ἀληθές OT, ἡ δὲ ἱστορία οὕτως ἔχει, ἥπερ καὶ πλέον ἔχεται τῆς ἀληθείας c. ‖ 9. ἔγκαρποι abc. ‖ οἷαι — ἐν] τοῦτο τὸ γένος ὅ νῦν ἐστιν ἐν OTDM, praetereaque ἤτοι πρόβατα post εὔκαρποι add. O^ab, πρόβατα post ὅϊς T. ‖ 10. ὠνομάζοντο R, ὀνομάζοντο DM, vulg. ὀνομάζονται. ‖ 11. γὰρ] οὖν DM. ‖ κἀκεῖναι R. ‖ δὲ] δὴ V. ‖ ἐκαλεῖτο DM. ‖ 12. ἰδὼν δὲ b. ‖ ἡρακλῆς VDM, vulg. ὁ ἥρ. ‖ περὶ τὴν θάλατταν Vabc. ‖ 13. περιεργάσας b. ‖ ναῦν R, vulg. τὴν ναῦν. ‖ 14. ἤγαγεν DM. ‖ ζῶντος τοῦ] ζώου DM. ‖ 15. οὖν] δὴ DM. ‖ 16. ἤγ. ἐξ ἑσπ. ἥρ. DM. ‖ 17. τὸν δρ. b. ‖ καὶ sqq. om. b. ‖ καὶ ἔνθεν] ἐντεῦθεν DM. ‖ 18. προσεπλάσθη V, om. RD.

XX. vid. Apost. 11, 57. Eudoc. p. 258. Arsen. p. 321. ‖ inscr. π. κ. κ. β. κ. γ. RCOG et vulg., τῶν ἑκ. add. R., π. κ. κ. β. VJabcdDM. ‖ 20. π. τ. φασὶν RDM, φασὶν περὶ κόττου καὶ βριάρεω (βρυάρεω G) CG, φασὶν περὶ τ. bd, φασὶν οὖν π. τ. vulg.: κόττος καὶ βριάρεως ἄνδρες ὄντες μυθεύονται ὡς ἑκατὸν χεῖρας ἔσχον, οἵ μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς γίγαντας (Τιτᾶνας) c. ‖ ἑκ. ἔσχ. RD,

ρας ἄνδρες ὄντες. πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον; τὸ δ' ἀληθὲς οὕτως ἔχει. τῇ πόλει ὄνομα ἦν Ἑκατογχειρία, ἐν ᾗ ᾤκουν· ἦν δὲ τῆς Μακεδονίας τῆς νῦν Ὀρεστιάδος καλουμένης. τεκμαίρομαι δὲ ὅτι μετὰ τῶν Ὀλυμπίων ἐμαχέσαντο τὴν πρὸς Τιτᾶνας μάχην· ταῦτα γὰρ τὰ χωρία ὅμορά ἐστι τῷ Ὀλύμπῳ. 5 ἔλεγον οὖν οἱ ἄνθρωποι „Κόττος καὶ Βριάρεως καὶ Γύγης οἱ Ἑκατόγχειρες βοηθήσαντες τοῖς θεοῖς αὐτοὶ ἐξήλασαν τοὺς Τιτᾶνας ἐκ τοῦ Ὀλύμπου."

XXI. *Περὶ Σκύλλης.* Λέγουσι περὶ Σκύλλης ὡς ἦν ἐν Τυρρηνίᾳ θηρίον τι, γυνὴ μὲν μέχρι τοῦ ὀμφαλοῦ, κυνῶν 10 δὲ ἐντεῦθεν [αὐτῇ] προσπεφύκασι κεφαλαί· τὸ δ' ἄλλο σῶμα ὄφεως. τοιαύτην δὲ φύσιν ἐννοεῖν πολλὴ εὐήθεια. ἡ δὲ ἀλήθεια αὕτη. Τυρρηνῶν νῆες ἦσαν, αἳ ἐληίζοντο τὰ περίχωρα τῆς Σικελίας καὶ τὸν Ἰόνιον κόλπον. ἦν δὲ ναῦς τριήρης ταχεῖα τότε, ὄνομα Σκύλλα. αὕτη ἡ τριήρης τὰ λοιπὰ 15 τῶν πλοίων συλλαμβάνουσα πολλάκις εἰργάζετο βρῶμα, καὶ λόγος ἦν περὶ αὐτῆς πολύς. ταύτην τὴν ναῦν Ὀδυσσεὺς φορῷ καὶ λάβρῳ πνεύματι χρησάμενος διέφυγε, διηγήσατο δὲ

vulg. ἐσχ. ἑ. ‖ 1. δὲ om. D, τὸ τοιοῦτον om. DM. ‖ 2. ἔχει om. VaDM. ‖ τούτων ante τῇ add. AT. ‖ ὄνομα ἦν VcDM, ἦν ὄν. vulg., ἦν om. a. ‖ ἑκατογχειρία et infra ἑκατόγχειρες RbdDM, vulg. Ἑκατονταχ. ‖ ᾤκουν] οὗτοι add. DM. ‖ 3. τῆς Μακεδ.] ἀχαρνίας OA, τῆς ἀχ. T, τῆς ἀχρονίας DM, ἡ πόλις C, πόλις vulg. ‖ νῦν om. bd. ‖ ὀρ. καλ. OATDM, κ. ὀρ. vulg.: ἡ νῦν καλουμένη ὀρεστιάς C. ‖ τεκμαίρομαι — ὀλύμπῳ add. OATDM (nisi quod τεκμαιρομένη DM, ἐμαχήσαντο OA, δὲ p. γὰρ TDM, τῶν ὀλυμπίων DM), vulg. om. ‖ 6. οὖν] δὴ D, δὲ M. ‖ οἱ ἀνθ.] οἱ πολῖται ὅτι c. ‖ καὶ Γύγης om. bcd. ‖ 7. αὐτοὶ om. bd. ‖ 8. γίγαντας bcd.

XXI. vid. Apost. 18, 52. Eudoc. p. 378. Nonni Schol. ad Greg. invect. 1, 52. p. 144. ‖ 9. σκύλλας COAG, σκύλης V: π. σκ. λ. omisso inscr. DM, λέγεται π. σκ. T. ‖ 10. ἐν om. VJ, ἐκ CG. ‖ τυρρηνία VJ, τυρηνίᾳ a, κυρηνίας CG. ‖ μὲν om. J. ‖ κυν. δὲ κεφ. ἐντ. CG. ‖ 11. αὐτῇ om. VDM. ‖ προσπεφύκεσαν DM. ‖ 12. νοεῖν T. ‖ πολλὴ εὐήθεια O^{a}ATDM (et hoc videtur voluisse V, ubi est πολλὰ εὔηθες), πολλῆς εὐηθείας CG, vulg. πολὺ εὔηθες. ‖ 13. τυρρηνῶν ODM, κυρηνῶν CG, cett. τυρρηνίων. ‖ νῆες RODM, cett. νῆσοι. ‖ 14. σικελλίας DM. ‖ δὲ καὶ ν. DM. ‖ 15. ταχεῖα — τριήρης om. V. ‖ τότε] τό τε vulg.: ᾗ T, τότε ᾗ DM. ‖ σκύλλῃ T. ‖ καὶ κατεγέγραπτο ἐπὶ τῆς πρώρας post σκύλλα add. CTDM. ‖ ἡ τριήρης om. DM. ‖ 16. πολλάκις] πολλὰ κακὰ OAT. ‖ εἰργάσατο T. ‖ βρῶμα om. OATDM. ‖ 17. λέγεται ὅτι ante φορ. add. c. ‖ 18. σφοδρῷ Vab. ‖ λαύρῳ VabOAT, λαμπρῷ DM. ‖

ἐν Κερκύρᾳ τῷ Ἀλκινόῳ, πῶς ἐδιώχθη καὶ πῶς ἐξέφυγε, καὶ τὴν ἰδέαν τοῦ πλοίου. ἀφ' ὧν προσανεπλάσθη ὁ μῦθος.

XXII. Περὶ Δαιδάλου. Λέγουσι περὶ Δαιδάλου ὡς ἀγάλματα κατεσκεύαζε δι' ἑαυτῶν πορευόμενα. τὸ δὲ ἀνδριάντα δι' αὐτοῦ βαδίζειν ἀδύνατον εἶναι δοκεῖ ἔμοιγε. τὸ δὲ ἀληθὲς τοιοῦτον. οἱ τότε ἀνδριαντοποιοὶ καὶ ἀγαλματοποιοὶ κατεσκεύαζον ἀνδριάντας συμπεφυκότας ἔχοντας καὶ τοὺς πόδας. Δαίδαλος δὲ πρῶτος ἐποίει διαβεβηκότας τὸν ἕνα πόδα. οἱ δὲ ἄνθρωποι ἔλεγον „ὁδοιποροῦν τοῦτο τὸ ἄγαλμα, ὃ εἰργάσατο Δαίδαλος, ἀλλ' οὐχὶ ἑστηκός," ὡς καὶ νῦν λέγομεν· εἰσί γε καὶ μαχόμενοι ἄνδρες γεγραμμένοι καὶ τρέχοντες ἵπποι καὶ χειμαζομένη ναῦς.

XXIII. Περὶ Φινέως. Ἱστοροῦσι περὶ Φινέως ὡς διεφόρουν αἱ Ἅρπυιαι τὸν βίον αὐτοῦ. δοκοῦσι δὲ ἔνιοι θηρία καὶ πετεινὰ εἶναι ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ Φινέως τὸ δεῖπνον. ἡ δὲ ἀλήθεια ἔχει οὕτως. Φινεὺς ἦν Παιονίας βασιλεύς. γέροντα δὲ αὐτὸν ὄντα ἡ ὄψις ἀπέλιπεν, οἵ τε ἄρρενες αὐτοῦ παῖδες ἀπέθανον· θυγατέρες δὲ ἦσαν αὐτῷ Ἐράσεια καὶ Ἁρπυρία, αἵτινες τὸν τοῦ πατρὸς βίον

1. ἀλκινόῳ D. ‖ ὡς DM. ‖ πῶς om. DM. ‖ 2. τοῦ om. DM. ‖ ἀφ' sqq. om. c, πρ. δὲ ὁ μ. DM.

XXII. hanc fab. om. C: vid. Eudoc. p. 102. cf. Euseb. chr. 1. p. 31. ‖ 3. π. δ. λέγεται DM. ‖ 4. δι' ἑαυτῶν add. OATDM. ‖ 5. ὅπερ ἔμοιγε ἀδ. εἶναι δ. ἀνδ. δι' ἑαυτοῦ (αὐτοῦ M) βαδ. DM. ‖ 6. ἀλ. ἐστι τοῦτο O[a]. ‖ 7. ἀνδριάντας om. T, κατ. ἀνδ. om. DM. ‖ ἔχοντας — πόδας] ὁμοῦ τοὺς πόδας καὶ τὰς χεῖρας παρατεταμένας ἐποίουν OAT, συμπ. ὁ. τὰς χ. καὶ τοὺς π. τετακόντας ἐπ. DM. ‖ 8. πρῶτος om. Vac. ‖ ἐποίησε OT, ἐποίησεν DM. ‖ διαβεβηκότα ODM. ‖ 9. οἱ δὲ] διὰ τοῦτο δὴ οἱ O, τούτου δὴ οἱ DM. ‖ τὸ ἄγ. τοῦτο omisso ὃ ODM. ‖ 10. εἰργάζετο O. ‖ ἑστηκώς DM. ‖ 11. μαχόμενοί γε ἄ. γ. εἰσὶ DM, γε habet etiam R, cett. δὲ. ‖ 12. ναῦς χειμ. O. ‖ οὕτω κἀκεῖνοι ἔλεγον ὁδοιποροῦντα ποιεῖν ἀγάλματα (π. ἀγ. ὁδ. O) s. fin. add. ODM.

XXIII. vid. Apost. 21, 25. Eudoc. p. 416. ‖ inscr. π. ἁρπυιῶν καὶ φινέως O[a], om. DM, qui περὶ φινέως ἱστ. ‖ 13. ἱστορεῖται OATDM. ‖ π. φινέως om. OADM. ‖ διεφόρουν RVacDM, διεφθόρουν bT, διέφθειρον OA. ‖ 14. αἱ om. VabcDM. ‖ βίον] νοῦν VJac. ‖ αὐτοῦ] τοῦ φινέως OA. ‖ 15. καὶ om. DM. ‖ εἶναι om ac. ‖ ἁρπάζειν bT, ἁρπάζειν δὲ OGDM. ‖ τοῦ om. DM. ‖ 16. ἔχει οὕτως] αὕτη DM. ‖ β. ἦν π. c. ‖ ὢν γέρ. b. ‖ 17. ὄντα] γεγονότα Vabc. ‖ ἀπέλιπεν DM, ἀπέλειψεν b, cett. ἀπέλειπεν. ‖ 18. αὐτοῦ add. O. ‖ 19. ἐράσεια καὶ ἁρπύρια DM, vulg. Πυρία καὶ Ἐρασία: cf. Tzetz. chil. 1, 220. ad Lycoph. 166. ‖ τοῦ πατρὸς om. DM. ‖

διέφθειρον. ἔλεγον οὖν οἱ πολῖται „δύστηνος ὁ Φινεύς, ὅτι αἱ Ἅρπυιαι τὸν βίον αὐτοῦ διαφθείρουσιν.“ οἰκτείραντες δὲ αὐτὸν Ζῆθος καὶ Κάλαϊς ἀστυγείτονες αὐτῷ, Βορέου παῖδες, ἀνδρὸς οὐκ ἀσήμου, βοηθήσαντες αὐτῷ τὰς θυγατέρας ἐξεδίωξαν ἐκ τῆς πόλεως, καὶ τὰ χρήματα συναθροίσαν- 5 τες ἐπίτροπον καθέστησαν τῶν Θρᾳκῶν τινα.

XXIV. *Περὶ Μήστρας.* Περὶ Μήστρας τῆς Ἐρισίχθονός φασιν ὡς, ὁπότε βούλοιτο, ἀλλάσσειν τὴν ἰδέαν. ὁ δὲ μῦθος καταγέλαστος. πῶς γὰρ εἰκὸς ἐκ κόρης γενέσθαι βοῦν, καὶ αὖθις κύνα ἢ ὄρνεον; τὸ δ' ἀληθὲς ἔχει ὧδε. Ἐρι- 10 σίχθων ἦν ἀνὴρ Θετταλός, καὶ διαφθείρας τὰ χρήματα πένης ἐγένετο. ἦν δὲ θυγάτηρ αὐτῷ καλὴ καὶ ὡραία, Μήστρα τὸ ὄνομα. ὅστις δὲ εἶδε ταύτην ἤρα αὐτῆς. ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι οὐκ ἐμνηστεύοντο, ἐδίδοσαν δὲ οἱ μὲν ἵππους, οἱ δὲ βοῦς, τινὲς δὲ πρόβατα ἢ ὅ τι ἂν ἐθέλοι ἡ 15 Μήστρα. ἔλεγον δὲ οἱ Θετταλοὶ ὁρῶντες ἀθροιζόμενον τῷ Ἐρισίχθονι τὸν βίον ὅτι „ἡ Μήστρα ἐγένετο αὐτῷ πάντα, καὶ ἵππος καὶ βοῦς καὶ τἆλλα.“ ἀφ' ὧν ὁ μῦθος προσανεπλάσθη.

XXV. *Περὶ Γηρυόνου.* Γηρυόνην φασὶν ὅτι τρικέ- 20 φαλος ἐγένετο. ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν. ἦν δὲ

1. οὖν] δὴ DM. ‖ πολῖται RVbOGDM, ποιηταί a. ‖ ὅτι om. DM. ‖ 2. αὐτοῦ δ. τ. β. DM. ‖ totum locum sic habet c: ὅθεν ἀφορμὴν ἔλαβον οἱ ποιηταὶ δύστηνον τὸν φινέα ἀποκαλεῖν, τὰς ἅρπυιας τὸν βίον αὐτοῦ διαφθείρειν μυθολογοῦντες. ‖ 3. τάλαϊς Va. ‖ οἰκτ.—Ζῆθος] ζῆθος δὲ c. ‖ ἀστ. αὐτῷ om. c. ‖ αὐτῶν Va, αὐτοῦ DM: οἱ add. c. ‖ βορείου b, β. δὲ D. ‖ 4. ἀνέμου OAT. ‖ τάς τε θ. DM. ‖ 5. ἐξεδίωξαν RODM, vulg. ἐξήλασαν. ‖ 6. ἐπίσκοπον b: αὐτοῦ add. DM. ‖ τινα hic add. RDM, vulg. post ἐπίτρ.

XXIV. vid. Apost. 12, 61. cf. Tzetz. chil. 2, 47. ‖ inscr. om. DM. ‖ 7. μήστρας ROAT hic et infra, vulg. μήτρας. ‖ π. τῆς μ. V. ‖ 8. ὁπότε RO[a]DM, ὁποίαν A, ὁποίαν τις G, ὁ ποιητὴς VJa, ὁ ποιητὴς ὅτε b. ‖ 9. ὦ μύθου καταγελάστου DM. ‖ 10. ἢ] καὶ C: ἢ ὄνον ἢ ὄρνεον AT. ‖ ἔχει ὧδε] τόδε R. ‖ 11. καὶ διαφθ.] δ. δὲ DM. ‖ 13. ὀνόματι V, ὄνομα b, om. DM. ‖ εἶδεν αὐτὴν vulg. ‖ ἤρα αὐτῆς] ἐπιθυμητικῶς διέκειτο OATDM, quibus πρὸς αὐτήν add. OAT: vulg. ταύτης. ‖ 15. ὅ τι ἂν ἐθέλῃ T, ὅ τι ἐθέλοι DM, ὃ ἂν ἐθέλῃ Vab. ‖ 16. δὲ] οὖν Vb. ‖ 17. ὅτι om. DM. ‖ ἡ—πάντα RT, ἐγένετο ἡ μήτρα αὐτῷ b, vulg. ἐγένετο ἐκ Μήτρας αὐτῷ. ‖ 18. ἀφ' ὧν ὁ] ὁ δὲ DM. ‖ προσεπλάσθη V, om. b.

XXV. vid. Apost. 19, 64. ‖ 20. φασὶ γ. ὡς τρικάρηνος b. ‖ 21. ἐγένετο] ἦν VJab. ‖ σ. ἓν τρ. Koen. ad Greg. p. 53. ‖

τοιόνδε τοῦτο. πόλις ἐστὶν ἐν τῷ Εὐξείνῳ πόντῳ Τρικαρηνία καλουμένη. ἦν δὲ Γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαστός, πλούτῳ τε καὶ τοῖς ἄλλοις διαφέρων. εἶχε δὲ καὶ βοῶν ἀγέλην θαυμαστήν, ἐφ' ἣν ἐλθὼν Ἡρακλῆς ἀντιποιούμενον Γηρυόνην ἀπέκτεινεν. οἱ δὲ θεώμενοι περιελαυνομένας τὰς βοῦς ἐθαύμαζον· ἦσαν γὰρ τὸ μὲν μέγεθος μικραί, ἀπὸ δὲ κεφαλῆς ἐπὶ τὴν ὀσφὺν μακραὶ καὶ σιμαί, κέρατα οὐκ ἔχουσαι, ὀστᾶ δὲ μακρὰ καὶ πλατέα. πρὸς τοὺς πυνθανομένους οὖν ἔλεγόν τινες „Ἡρακλῆς ταύτας περιήλασεν οὔσας Γηρυόνου τοῦ Τρικαρήνου.“ τινὲς δὲ ἐκ τοῦ λεγομένου ὑπέλαβον αὐτὸν τρεῖς ἔχειν κεφαλάς.

XXVI. Περὶ Γλαύκου τοῦ Σισύφου. Φασὶν ὅτι καὶ οὗτος κατεβρώθη ὑπὸ τῶν ἵππων, ἀγνοοῦντες ὅτι ἱπποτροφῶν καὶ τῶν οἰκείων οὐδὲν ἐπιμελούμενος καὶ μεγάλας δαπάνας ποιούμενος ἐπετρίβη, καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος.

XXVII. Περὶ ἑτέρου Γλαύκου τοῦ Μίνωος. Καὶ οὗτος ὁ μῦθος παγγέλοιος, ὡς δὴ τοῦ Γλαύκου ἀποθανόντος ἐπὶ τῷ μέλιτι ὁ Μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύιδον, ὃς ἦν ἐκ τοῦ Ἄργους. οὗτος ἰδὼν δράκοντα ἑτέρῳ δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι καὶ ἀναστήσαντα αὐτόν, καὶ αὐτὸς τὸ αὐτὸ ποιήσας τὸν Γλαῦκον ἀνέστησεν. τοῦτο δὲ ἀδύνατον. ἐγένετο δὲ τοιόνδε τι. Γλαῦκος πιὼν

1. τοιόνδε τοῦτο] τοιοῦτον ODM. ‖ τρικαρανία DM. ‖ 2. δὲ ὁ γ. DM. ‖ ἄνθρωπος DM. ‖ 3. τοῖς add. OATDM. ‖ ὑπερφέρων τῶν ἄλλων OAT. ‖ καὶ om. b. ‖ 4. θαυμαστῶν C. ‖ ὁ ἡρ. DM. ‖ ἀντιποιούμενος C. ‖ 5. ἀπέκτεινεν RDM, vulg. ἔκτ. ‖ 6. τῷ μεγέθει μακραὶ COG. ‖ 7. ἐπὶ τῇ ὀσφύι μικραὶ Vab: ὄφρυν AT. ‖ καὶ σικοκέρατα COG. ‖ 8. ὀστέα δὲ μεγάλα TDM. ‖ 10. τρικαρίνου D. ‖ 11. αὐτὰς V.

XXVI. vid. Apost. 6, 31. Arsen. p. 162. ‖ 12. τοῦ] καὶ DM. ‖ 13. καὶ om. bd. ‖ ὅτι ὑπὸ τρυφῶν (τροφῶν R) καὶ μεγάλων δαπάνων, ἃς ἐποίει, οὐδὲν ἐπιμελούμενος τῶν οἰκείων (τ. ο. οὐδ. ἐ. R) ἐπετρίβη RO: cett. οὐδενὸς. ‖ 14. καὶ — ποιούμενος om. bd. ‖ 15. ἐπέλιπεν RabdOTDM, vulg. ἀπέλιπεν. ‖ αὐτὸν om. M.

XXVII. vid. Apost. 6, 32. Eudoc. p. 97. Arsen. p. 162. ‖ inscr. π. ἄλλου γλ. J, π. γλ. τ. μ. DM. ‖ 17. οὐ τοῦ σισύφου post ἀποθ. add. bd, τοῦ μίνωος post Γλαύκου c. ‖ 18. ἐν (sic et OAT) τῷ μ. ἀπ. DM: ἐν πίθῳ μέλιτος Valck. diatr. p. 201, f. ἐπί s. ἐν τῳ μέλιτι. ‖ κατώρυξε V. ‖ τὸν κοιράνου M, τὸν κυράνου D. ‖ 19. πολύιδον hic et infra DM, vulg. Πολύειδον. ‖ οὗτος R, vulg. ὅς. ‖ δράκοντα ἑτέρῳ om. d. ‖ 20. δράκοντι τεθνηκότι π. ἐπ. DM. ‖ 21. αὐτὸς T, οὗτος Vabcd, οὕτως DM, οὕτω vulg. ‖ τὸ — ἀνέστησεν] τὸ (om. T) α. π. τῷ γλαύκῳ ἀν. αὐτόν OAT, τῷ γλ. τὸ αὐτὸ π. τοῦτον ἀν. DM: εἰς ante τὸν add. Vabcd. ‖ 22. ὅπερ

μέλι ἐταράχθη τὴν κοιλίαν· χολῆς δὲ αὐτῷ πλείονος κινηθείσης ἐλειποθύμησεν [ὁ Γλαῦκος]. ἀφίκοντο δ' οὖν οἵ τε [δὴ] ἄλλοι ἰατροὶ ἅτε δὴ χρήματα ληψόμενοι, καὶ δὴ καὶ Πολύιδος. ὃς ἰδὼν τὴν πόαν, ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ὄνομα ἦν Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον. ἔλεγον οὖν τινες, ὅτι Πολύιδος τὸν Γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν. ἀφ' οὗ οἱ μυθογράφοι τὸν μῦθον ἔπλασαν.

XXVIII. Περὶ Γλαύκου τοῦ θαλαττίου. Λέγεται ὅτι καὶ οὗτος ὁ Γλαῦκος πόαν φαγών ποτε ἀθάνατος ἐγένετο, καὶ νῦν ἐν τῇ θαλάττῃ οἰκεῖ. τὸ δὲ τῇ πόᾳ ταύτῃ μόνον Γλαῦκον ἐντυχεῖν καὶ λίαν ἐστὶν εὔηθες, τό τε ἄνθρωπον ἐν θαλάττῃ ἢ ἄλλο τι τῶν χερσαίων ζῇν. ἔχει δὲ τὸ ἀληθὲς οὕτως. Γλαῦκος ἦν ἀνὴρ ἁλιεύς, Ἀνθηδόνιος τὸ γένος. ἦν δὲ κολυμβητὴς ἐν τούτῳ διαφέρων τῶν ἄλλων. κολυμβῶντα

(ὃ DM) ἐστὶν ἀδύνατον OATDM: ἀποθανόντα ἄνδρα (om. ἄνδ. DM) ἀναστῆσαι (ἀναστῆναι OAT) διὰ πόας (om. TDM) ἢ ὄφιν (ὄψιν T) ἀλλ' οὐδὲ ζῶον ἄλλο (ἀ. ζ. TDM) add. iidem: οὕτως ὁ μῦθος διαλαμβάνει, ἡ δὲ ἱστορία οὕτως ἔχει c. ‖ ἐγ. οὖν τ. omisso τι DM. ‖ 1. τὴν κοιλίαν add. RODM, vulgg. om. ‖ πλείονος αὐτῷ bd. ‖ 2. ἐλειποθύμησεν—πόαν] καὶ λειποθυμήσαντος ἀφίκοντο οἵ τε δὴ ἄλλοι ἰατροὶ ἅτε χρήματα ληψόμενοι, ἐν δὲ τούτοις καὶ πολύιδος· ἤδη δὲ ἐκλείποντος αὐτοῦ εἰδώς τινα πόαν ὠφελοῦσαν O^aDM, nisi quod καὶ omisso λειποθυμήσαντι, ὡς p. ἅτε, — καὶ πρὸς τούτοις πολύιδος—ἐκλιπόντος O^a: καὶ πρὸς τούτοις πολύειδος, ἤδη καὶ ἐκλ.—ὠφελοῦσαν habet etiam T: ἐλυποθύμησεν V, ὁ Γλαῦκος et δ' om. b, δὴ om. bd, ἅτε δὴ om. b, καὶ] ἀλλὰ vulgg. ‖ 5. καὶ om. DM. ‖ 6. ἐποίησεν D. ‖ ἔλεγον—τὸν om DM, quorum pergit D γλαῦκον ὑπὸ μέλιτος ἀποθανόντα βοτάνῃ ἣν παρὰ δράκοντος ἔμαθεν, ἀφ', M γλ. βοτ. ἣν π. δ. ἐ. ἀφ., verba ἣν π. δ. ἐ. habent etiam CO^{ac}ATG, nisi quod π. τοῦ δρ. CO^{ac}GA. ‖ 7. ἀφ' ὧν τὸν μῦθον ἐπλάσαντο VJbd, nisi quod ἐπλάσσαντο J, ἀφ' οὗ οἱ μυθογράφοι (μυθοπλάσται CG) τὸν μῦθον ἔπλασαν (ἔπλασεν DM, ἀνεπλάσαντο CG) CO^{ac}ATGDM, vulgg. om.

XXVIII. vid. Apost. 6, 32. Eudoc. p. 98. Arsen. p. 163. ‖ 9. τοῦ om. J. ‖ λέγεται RCOGDM, vulgg. ᾄδεται. ‖ 10. ὁ om. D. ‖ ποτὲ φ. DM. ‖ γέγονεν DM. ‖ 11. τῇ om. d. ‖ θαλάσσῃ cDM. ‖ τὸ—ζῇν om. c. ‖ γλ. μόνον DM: ἐντυχεῖν γλαῦκον, sed μ. γλ. ἐντ. in mg. V. ‖ 12. καὶ om. DM. ‖ ἐστιν CDM, ἐστὶ R, vulgg. ἔνι γε. ‖ 13. θαλάσσῃ VbdDM. ‖ 14. ὁπότε οὔτε ποτάμιόν τι (om. τι T) δύναται ζῆν ἐν (τῇ add. T) θαλάσσῃ (θαλάττῃ T) οὔτε τὸ ἀνάπαλιν τὰ θαλάσσια δύνανται ζῆν ἐν τῷ ποταμῷ (ἐν τ. π. τ. θ. ζ. δύν. T), μάταιος οὖν ὁ λόγος post ζῆν add. OAT, ὁπότε οὔτε ποτάμιον ἐν θαλάττῃ οὔτε ἀνάπαλιν, μάταιον οὖν DM. ‖ δὲ om. DM. ‖ ἡ δὲ ἱστορία ἔχει οὕτω d. ‖ τὸ γένος om. bd. ‖ 15. δ. τῶν ἄλλων R, δ. τοῖς ἄλλοις

δὲ ἐν τῷ λιμένι ὁρώντων αὐτὸν τῶν ἐν τῇ πόλει [αὐτὸς] διακολυμβήσας εἴς τινα τόπον καὶ μὴ ὀφθεὶς τοῖς οἰκείοις ἐπὶ ἡμέρας ἱκανάς, διακολυμβήσας πάλιν ὤφθη αὐτοῖς. πυνθανομένων δὲ τῶν οἰκείων, ποῦ διέτριψεν αὐτός, ψευδόμενος
5 ἔφη „ἐν τῇ θαλάττῃ." καὶ συγκλείων εἰς αὐλὸν ἰχθῦς, ὁπότε χείμων γένοιτο καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἐπυνθάνετο τῶν πολιτῶν, τίνας δὴ βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς· καὶ κομίζων οὓς ἂν ἤθελον Γλαῦκος θαλάττιος ἐκλήθη. καὶ περιτυχὼν θη-
10 ρίῳ θαλαττίῳ ἀπώλετο. μὴ ἐξελθόντος δὲ ἐκ τῆς θαλάττης ἐμύθευσαν οἱ ἄνθρωποι καὶ ἐν θαλάττῃ τοῦ λοιποῦ διάγοντα.

XXIX. *Περὶ Βελλεροφόντου.* Φασὶν ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος Πήγασος ἔφερεν, ἐμοὶ δὲ ἵππος
15 οὐδέποτε δοκεῖ δύνασθαι ἵπτασθαι, οὐδ' εἰ πάντα τὰ τῶν πτηνῶν πτερὰ λάβοι. εἰ γάρ ποτε τοιοῦτον ζῶον ἦν, καὶ νῦν ἂν ἦν. τοῦτον δέ φασι καὶ τὴν Ἀμισωδάρου Χίμαιραν

T, δ. πάντων DM, δὴ ἦν διαφέρων τοῖς ἄλλοις O^a A, vulg. ὑπερφέρων πάντων τῶν (hoc add. sola c) κολυμβητῶν. ‖ κολυμβῶντα Vbd, κολυμβῶν O^a ADM, κολυμβητῶν V, vulg. κολυμβῶντος. ‖ 1. ἐν] ἐπὶ O^a ADM. ‖ ὡρᾶτο omissis αὐτὸν τῶν O^a A. ‖ τῶν] ὡς V. ‖ ἐν τῇ πόλει] ἀπὸ τῆς πόλεως O^a ATDM, πολιτῶν bd. ‖ αὐτὸς om. DM, αὐτὸς—ἱκανὰς om. OA. ‖ 2. ἐπὶ om. Vd. ‖ 3. ἰ. καὶ διακ. OA. ‖ 4. τῶν οἰκείων om. DM. ‖ διέτριψεν R, διέτριψας DM, διατρίψας OA, vulg. διέτριβεν: add. ἡμέραν R, τὰς ἡμέρας OA. ‖ ψ. αὐτ. DM. ‖ 5. θαλάσσῃ V. ‖ συγκλείσας OAT. ‖ αὐλὸν correxi: libri αὐτὸν, sed αὐτὸν ac. ‖ 6. ἁλιέων] ἀγρευτῶν CG. ‖ 7. λαβεῖν DM. ‖ καὶ, quod vulg. est post λαμβ., om. VDM, f. et reliqui. ‖ ἐπυνθάνετο τῶν πολιτῶν RODM, vulg. ἔλεγε (ἐλέγετο bd) τοῖς πολίταις. ‖ δὴ add. O, vulg. om. ‖ 9. ἤθελεν pr. m. DM. ‖ θαλάσσιος cDM, θαλάσσης d. ‖ ὥσπερ νῦν, εἴ τις ἐν ὄρει οἰκεῖ καὶ ὧν ἀγαθὸς θηρευτὴς ὄρειος ἄνθρωπος κληθείη, οὕτω καὶ γλαῦκος ἐκλήθη θαλάσσιος post ἐκλήθη add. DM. ‖ 10. ἐξελθόντος δὲ DM, vulg. ἐλθόντος αὐτοῦ. ‖ 11. ἐμυθεύσαντο dO: ἐμύθευσαν οὖν οἱ, sed οὖν punctis notatum, D. ‖ καὶ—διάγοντα R, ὡς ἐν θ. τὸ λοιπὸν οἰκοῦντα DM, ὅτι γλαῦκος κἀκεῖ τοῦ λοιποῦ διάγει ἐν θαλάττῃ O, ὡς ἐν θ. οἰκεῖ κἀκεῖ μένει vulg.: θαλάσσῃ Vcd.

XXIX. vid. Apost. 16, 10. Eudoc. p. 80, Arsen. p. 408. cf. Euseb. chr. 1. p. 31. ‖ 14. ἐμοὶ δὲ ἵππος τοῦτο οὐδέποτε δοκεῖ δύνασθαι CG, ἐμ. δὲ τ. ἱ. οὐδ. δ. ἵ. DM, ἐμοὶ δὲ δοκεῖ τοιοῦτον ἵππον οὐδ. γενέσθαι R: ἵππος Vbd, ἵππον a, δύνασθαι add. Vd. ‖ 15. τῶν add. CDM. ‖ 16. λάβοι DM, vulg. λάβῃ. ‖ ἦν post γὰρ ponunt DM. ‖ εἰ—ἦν b. ‖ κ. ν. ἂν ἦν DM, ἦν ἂν κ. ν. O^a, vulg. κ. ν. ἂν εἴη. ‖ 17. τούτῳ DM. ‖ δέ φασι] λέγεται D. ‖ τὴν om. b. ‖ ἀμισωδάρου hic et infra

ἀνελεῖν. ἦν δὲ ἡ Χίμαιρα, ὥς φασιν, ἔμπροσθεν μὲν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ χίμαιρα. ἔνιοι οὖν δοκοῦσι τοιοῦτον γενέσθαι θηρίον, τρεῖς ἔχον κεφαλάς, σῶμα δὲ ἕν. ἀδύνατον δὲ ὄφιν καὶ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι, καὶ τὸ θνητὴν ἔχον φύσιν πῦρ ἀποπνέειν εὐηθες. ποίᾳ δὲ 5 τῶν κεφαλῶν τὸ σῶμα ἐπηκολούθει; τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Βελλεροφόντης ἦν φυγὰς ἀνὴρ τὸ γένος Κορίνθιος, καλὸς καὶ ἀγαθός, ὃς πλοῖον κατασκευάσας μακρὸν ἐληίζετο τὰ παραθαλάσσια χωρία. ὄνομα δὲ ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων ὄνομα ἔχει· ἐμοὶ δὲ δοκεῖ 10 πλοίῳ μᾶλλον ἢ ἵππῳ ὄνομα εἶναι Πήγασος. βασιλεὺς δὲ Ἀμισώδαρος ᾤκει ἐπὶ τῷ Ξάνθῳ ποταμῷ. ὄρος δὲ ἦν ἐγγὺς ὑψηλόν, ἐξ οὗ ἡ Τελμισσὶς ὕλη προκέχυται. πρὸς ὃ δὴ ὄρος προσβάσεις εἰσὶ δύο μὲν ἔμπροσθεν ἐκ πόλεως τῶν Ξανθίων, τρίτη δὲ ὄπισθεν [ἐκ] τῆς Καρίας, τὰ δ' ἄλλα κρημνός. ἐν δὲ 15 τῷ μέσῳ αὐτῶν χάσμα ἐστὶ τῆς γῆς μέγα, ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται. τούτῳ δὲ τῷ ὄρει ὄνομά ἐστι Χίμαιρα. τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προσχώριοι, κατὰ μὲν τὴν ἔμπροσθεν

DM, vulg. Ἀμισοδάρου. ‖ 1. ἦν—δὲ χίμ. om. T. ‖ ὥς φασιν om. DM. ‖ πρόσθεν DM. ‖ 2. μέσση b. ‖ οὖν R, om. DM, vulg. δὲ. ‖ δοκοῦσιν D. ‖ 3. γεγονέναι D. ‖ σῶμα δὲ ἕν add. COATGDM, vulg. om. ‖ 4. ὄφιν] ἐφ' ᾗ DM: καὶ om. R, ὄφιν καὶ om. Vbd praetereaque καὶ αἶγα a. ‖ 5. θνητὸν d. ‖ φυσ. ἔχ. DM. ‖ ἀποπνέον DM, ἀναπνέειν d. ‖ παις adscripto οι super αι et in mg. ποίαις V, et sic cett.: corr. Brunnerus. ‖ 6. τ. λοιπὸν σῶμα O. ‖ ἐπηκολούθη D. ‖ 7. ἔχει om. VdDM. ‖ φυγὰς Piers. ad Moer. p. 395: φρυγίας DM, φρύγιος vulg., om. RO. ‖ τὸ om. DM. ‖ 8. κἀγαθός cDM. ‖ ὃς π. κ.] κ. δὲ π. DM. ‖ μικρὸν CG. ‖ 9. πλέων καὶ ἐξεπόρθει post χωρία add. DM, πλ. κ. ἐπόρθει αὐτὰ CG. ‖ δὲ om. bd. ‖ 10. ἐμοὶ—μᾶλλον VbdGDM, nisi quod ὅμοιον p. ἐμοὶ VbdG, πλοῖον Vbd, vulg. μᾶλλον δὲ δοκεῖ ἵππῳ. ‖ 11. ὄνομα ἵππῳ Vbd. ‖ εἶναι] κεῖσθαι DM. ‖ δὲ ἦν ἀμ., ᾤκει δὲ b. ‖ ἀμισίδωρος O. ‖ 12. ξ. τῷ c. ‖ ποταμῷ om. DM. ‖ ἐγγὺς add. OA, vulg. om. ‖ 13. ἐξ—προκέχυται ROATDM, nisi quod τελμησὶς OA, προσκεχ. DM., vulg. ὑπ' αὐτῷ, ᾧ ὄνομα Τελμισσός (τελμισός Vbd). ‖ πρὸς—Ξανθίων] ἐκεῖ δὲ προβάσεις (sic hic et infra libri praeter DM omnes) ἔμπροσθεν ἐκ πόλεως τῆς ξ. OA. ‖ 14. μὲν add. DM. ‖ τῶν VabcdDM, vulg. τῆς. ‖ 15. δ' om. O. ‖ κρημνοὶ ὑψηλοὶ ODM, κρημνοί bd et vulg., cett. κρημνός. ‖ τῷ om. DM. ‖ 16. τῆς] τῶν τῆς Vd. ‖ 17. ἀναφέρεται OTDM. ‖ τούτῳ — ἐστι RODM, sed δὲ om. DM, vulg. ἐπὶ τούτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα. ‖ 18. ἦν h. l. habent VabcdDM, vulg. ante οἰκῶν. ‖ λέγουσιν] λέων DM. ‖ ἐγχώριοι O, παραχώριοι b. ‖ κατὰ — λέων VabcdDM, nisi quod πρώτην DM, πρ. οἰκ. λ. ἐμ. Vabcd, vulg. οἰκ. λ. κ. τ. πρόσθεν μ. πρ. ‖

πρόσβασιν οἰκῶν λέων, κατὰ δὲ τὴν ὄπισθεν δράκων, οἳ δὴ καὶ ἐσίνοντο τοὺς νομέας καὶ τοὺς ὑλοτόμους. τότε δὴ καὶ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε, καὶ ἡ Τελμισσὶς κατεκάη καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον οὖν οἱ προσχώριοι, Βελλεροφόντην ἀφικόμενον μετὰ Πηγάσου τὴν Ἀμισωδάρου Χίμαιραν ἀπολέσαι. τούτου δὲ γεγονότος προσανεπλάσθη ὁ μῦθος.

XXX. Περὶ Πέλοπος καὶ τῶν ἵππων. Φασὶν ὅτι Πέλοψ ἦλθεν ἔχων ἵππους ὑποπτέρους εἰς Πίσαν μνηστευόμενος Ἱπποδάμειαν τὴν Οἰνομάου θυγατέρα. ἐγὼ δὲ τὰ αὐτὰ λέγω καὶ περὶ τοῦ Πέλοπος ἅπερ καὶ περὶ τοῦ Πηγάσου. εἰ γὰρ Οἰνόμαος ᾔδει ὑποπτέρους ὄντας τοὺς τοῦ Πέλοπος ἵππους, οὐκ ἂν δὴ τὴν θυγατέρα αὐτοῦ ἔδωκεν ἐπὶ τὸ ἅρμα αὐτοῦ ἀναβιβάσαι. ῥητέον οὖν ὅτι καὶ Πέλοψ ἦλθεν ἔχων πλοῖον, ἐπεγέγραπτο δὲ ἐπὶ τοῦ πλοίου „ἵπποι ὑπόπτεροι.“ ἁρπάσας δὲ τὴν κόρην ᾤχετο φεύγων. ἀφ' οὗ ὁ μῦθος προσανεπλάσθη.

XXXI. Περὶ Φρίξου καὶ Ἕλλης. Ἱστοροῦσιν ὡς ὁ κριὸς αὐτῷ προὔλεγεν, ὅτι ὁ πατὴρ αὐτὸν μέλλοι θύειν. καὶ λαβὼν τὴν ἀδελφὴν αὐτοῦ, ἀναβάς τε ἐπ' αὐτὸν σὺν αὐτῇ

1. κατὰ—δρ.] ὄπισθεν δὲ Vabcd: τὴν] τὸ DM. ‖ 2. καὶ om. DM. ‖ ἐσίνοντο ODM, vulg. ἔοινον. ‖ τ. ἐν μέσῳ νομέας καὶ ὑλ. O, τ. ὑλ. κ. νομεῖς DM. ‖ δὴ καὶ] δὲ b, δὴ DM. ‖ 3. τελμήσσιος ὕλη R, τελμησία O, τελμισσία DM, τελμισὸς Vabd, vulg. Τελμισσός. ‖ 4. οὖν] δὲ b. ‖ 5. βελλ.—ἀπολέσαι VabcdDM, nisi quod βελλεροφόντη et ἀφικόμενοι V, μ. τοῦ π. τοῦ ἀμ. DM, vulg. Βελλεροφόντης ἀφικόμενος μ. π. τ. ἀ. χ. ἀπώλεσε. ‖ 6. δὲ] οὖν c, om. D. ‖ γενομένου DM.

XXX. vid. Eudoc. p. 322: cf. Tzetz. ad Lyc. 156. ‖ inscr. π. π. καὶ ἱππο-δαμείας O[a], αὐτοῦ post ἵππων add. J. ‖ 9. ἱπ. ὑπ. ἔχ. DM. ‖ πίσαν C et pr. m. DM, πίασσαν V, cett. ut videtur πίσσαν. ‖ μνηστευόμενος VDM, vulg. μνηστευσόμενος. ‖ 10. τὴν—ὅτι] ἄλλοι δὲ πάλιν τοῦτο ἀναιροῦντές φασιν ὅτι c. ‖ 11. καὶ—Πέλοπος om. DM. ‖ εἰ γὰρ] ἐπεὶ ὁ O, ἐπεὶ ᾔδει R, ὅτι DM. ‖ 12. οἰν. εἰ ᾔδει DM. ‖ ὄντας om. Va. ‖ τοὺς ἱ. πελ. DM. ‖ 13. τ. ἑαυτοῦ θ. DM. ‖ 14. καὶ add. V, vulg. om. ‖ 15. ἐγέγραπτο Vac. ‖ ἐπὶ τῆς σκευῆς OAT, ἐ. τ. κύνης corr. DM (pr. m. κυνῆς aut κρινῆς, f. σκηνῆς aut πτυχῆς): add. τῆς ἐν τῇ πρύμνῃ O. ‖ 16. κόρην D. ‖ ἀφ' οὗ] ὅθεν c, καὶ DM. ‖ 17. ἀνεπλάσθη DM.

XXXI. vid. Apost. 13, 46. Eudoc. p. 146: cf. Euseb. chr. 1. p. 31 et Iriart. bibl. Matr. codd. gr. p. 213. ‖ inscr. π. τοῦ κριοῦ καὶ φρίξου O: φρύξου hic et infra Vbc. ‖ 19. αὐτῷ] φρίξῳ DM. ‖ μέλλοι DM, cett. μέλλει. ‖ 20. αὐτοῦ ἕλλην et αὐτὸν τὸν κριὸν O. ‖

διὰ τῆς θαλάσσης ἀφίκοντο εἰς τὸν Εὔξεινον πόντον, πρὸ τριῶν ἢ τεττάρων ἡμερῶν τὸ πᾶν διανύσαντες. ὅπερ ἐστὶ δύσπιστον τὸ θᾶττον νεὼς τὸν κριὸν διανήχεσθαι καὶ ταῦτα βαστάζοντα δύο ἀνθρώπους. καὶ ποῦ τὰ σιτία καὶ ποτὰ καὶ αὐτῷ καὶ ἐκείνοις; οὐ γὰρ δήπου ἄσιτοι τοσοῦτον χρόνον διέμειναν. εἶτα Φρίξος τὸν τὴν σωτηρίαν αὐτῷ φράσαντα κριὸν καὶ διασώσαντα σφάξας καὶ τὸ δέρμα ἀποδείρας ἔδωκεν ἔδνον Αἰήτῃ ἕνεκεν τῆς αὐτοῦ θυγατρός. ὁ δὲ Αἰήτης τῶν Κόλχων τότε ἐβασίλευεν. ὅρα δὲ τότε πῶς καὶ τὰ δέρματα σπάνια ἦν, ὡς τὸν βασιλέα ἔδνον ἰδίας θυγατρὸς τὸ κώδιον λαβεῖν. οὕτω τοῦ μηδενὸς ἀξίαν τὴν ἑαυτοῦ θυγατέρα ἐνόμιζεν. ἤδη δέ τινες, ἵνα τὸν γέλωτα ἐκφύγωσι, χρυσοῦν φασιν εἶναι τὸ δέρμα τουτί. καὶ εἰ χρυσοῦν τὸ δέρμα ἦν, οὐκ ἐχρῆν τὸν βασιλέα λαβεῖν παρὰ ἀνδρὸς ξένου. λέγεται δὲ ὅτι καὶ Ἰάσων ἐπὶ τὸ κώδιον τοῦτο τὴν Ἀργὼ ἔστειλε καὶ τοὺς ἀρίστους τῶν Ἑλλήνων. ἀλλ' οὔθ' ὁ Φρίξος οὕτως ἀχάριστος ἦν ὥστε τὸν εὐεργέτην ἀνελεῖν, οὔτ' εἰ σμαράγδιον ἦν τὸ κώδιον, ἐπέπλευσεν ἂν ἡ Ἀργὼ δι' αὐτό. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀθάμας ὁ Αἰόλου τοῦ Ἕλληνος ἐβασίλευσε τῆς Φθίας. ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτροπος τῶν πραγμάτων, ὃν μάλιστα πιστὸν ἡγεῖτο, ὀνόματι Κριός· ὃς

1. θαλάττης D. ‖ ἀφίκετο R. ‖ πρὸ—διανύσαντες add. ATDM et ut videtur R, vulg. om. ‖ 2. ὅπερ ἐ. δ.] ἀλλὰ ταῦτα μέν ἐστι δύσπιστα καὶ μυθώδη c, ἅπερ ἐστὶ δύσπιστα DM. ‖ 3. θᾶττον νεὼς RODM, nisi quod νηὸς OR, κ. δ. θ. ν. O, κ. θ. ν. δ. DM, vulg. ὡς πλοῖον. ‖ 4. ποῦ om. R. ‖ 5. αὐτῷ R, ἑαυτῷ DM, vulg. αὐτοῦ. ‖ ἐκείνοις RDM, vulg. ἐκείνων. ‖ 6. διέμενον DM. ‖ τὸν αἴτιον τῆς σωτηρίας σφάττει καὶ τὸ δέρμα δίδωσιν εἰς ἔδνον O. ‖ αὐτῷ CDM, cett. ut videtur αὐτοῦ. ‖ φράσαντι V. ‖ 8. ἔδνον hic et infra D, vulg. ἔδνον. ‖ ἕνεκεν — θυγατρός VG, τῆς θυγατρὸς αὐτοῦ DM et vulg.: ὁ δὲ ἔδωκε τῆς ἑαυτοῦ θ. a, ὁ δὲ ἔδ. τῇ ἑ. θυγατρί c. ‖ δὲ] γὰρ c. ‖ 9. Κόλχων] τόπων ἐκείνων DM. ‖ τότε post δέρμα ponunt DM. ‖ 11. λαβὼν V. ‖ 12. γέλωτα RDM, γέλων vulg.: τοῦτον add. DM. ‖ 13. τοῦτο DM. ‖ καὶ add. DM: καὶ εἰ χ. δὲ τὸ vulg. ‖ 14. λέλεκται DM. ‖ λέγεται —Ἑλλήνων post αὐτὸ transfert c sic, καὶ γὰρ λέγεται ὅτι ἰάσων—καὶ τοὺς τῶν ἑλλ. ἀρίστους αὐτὸ κομισομένους. ἀλλὰ περιττὸν τὸ τὰ γελοῖα ἀνασκευάζειν· καὶ γὰρ γελοιωδέστερόν πως φαίνεται. ‖ 16. ἔστειλεν D. ‖ οὔθ' ὁ] ὁ μὲν V, οὐδ' ὁ c, οὐκ ἂν οὐδὲ DM. ‖ 17. ὡς DM. ‖ 18. σμαράγδειον DM. ‖ ἐπέπλευσεν Vac, ἔπλευσεν CDM, ἔδραμεν O et vulg. ‖ ἂν om. VacAT. ‖ δι'] ἐπ' ODM et vulg. ‖ 19. ἔχει om. VDM. ‖ ὁ om. DM. ‖ αἰόλλου OT, στόλου Vabc. ‖ τοῦ] παῖς b. ‖ 20. ἐβασίλευε c. ‖ φθίας VCOATGDM, φρυγίας ac. ‖ 21. πραγμάτων ROA, vulg.

αἰσθόμενος τὸν Ἀθάμαντα ἀποκτεῖναι ἐθέλοντα τὸν Φρίξον δηλοῖ τοῦτο τῷ Φρίξῳ. ὁ δὲ Φρίξος κατεσκεύασε ναῦν καὶ ἐνέθετο ἐν αὐτῇ χρήματα πάμπολλα· ἐν ᾗ νηὶ καὶ ἡ μήτηρ Πέλοπος (ὄνομα δὲ αὐτῇ Κῶς) καὶ αὕτη ἐκ τῶν αὐτῆς χρη-
5 *μάτων εἰκόνα ποιησαμένη χρυσῆν ἐνέθετο. σὺν τοῖς χρήμασι γοῦν καὶ Φρίξον καὶ Ἕλλην ὁ Κριὸς ἐν ταύτῃ ἐνθεὶς ᾤχετο ἀπιών. ἡ μὲν οὖν Ἕλλη κατὰ τὸν πλοῦν ἀσθενήσασα ἀπέθανεν (ἐξ ἧς καὶ Ἑλλήσποντος ἐκλήθη), αὐτοὶ δὲ ἀφικόμενοι εἰς τὸν Φάσιν κατοικοῦσιν ἐκεῖ, καὶ γαμεῖ Φρίξος τὴν τοῦ*
10 *τῶν Κόλχων βασιλέως Αἰήτου θυγατέρα Χαλκιόπην, δοὺς ἕδνα τούτῳ τὴν χρυσῆν εἰκόνα τῆς Κῶ, ἀλλ' οὐχὶ δέρμα κριοῦ. οὕτως ἡ ἀλήθεια ἔχει.*

χρημάτων. ‖ ὃν—ἀπιών] hunc locum multis discrepantibus sic praebent OATDM: καὶ τῆς βασιλείας (ἀρχῆς TDM) ὑποβασιλεύς, ὃν μάλιστα πιστὸν ἡγεῖτο καὶ πλείστου ἄξιον, καὶ ἦν ὄνομα (ὀ. δὲ ἦν DM, ὀνόματι T omisso αὐτῷ) αὐτῷ κριός· ἐπεὶ δὲ ἀπέθανεν (ἀπέθανε T) ἡ μήτηρ φρίξῳ (φρίξου DM) ὅτι ἦν πρεσβύτερος (πρ. ἦν T, πρεσβύτατος ἦν DM) ἔδωκε τὴν ἀρχήν (τ. ἀ. ἐ. T, ἄρχειν ἔδ. DM: hic excidisse aliquid apparet). αἰσθόμενος δὲ τοῦτο (ταῦτα TDM) ὁ κριὸς πρὸς μὲν τὸν ἀθάμαντα οὐδὲν λέγει, πρὸς (ὡς DM) δὲ τὸν φρίξον φησί, κελεύων ἀπαλλάττεσθαι αὐτὸν ἐκ (om. ἐκ DM) τῆς γῆς. καὶ αὐτῷ (αὐτὸς DM) ναῦν ἔστειλε (στείλας TDM) καὶ ἐνθέμενος ὅ τι ἦν πολλοῦ ἄξιον (ἐκθ. ὅτι ἦν π. ἄξιος T, ἐνθ. ἀθάμαντι ὅτι ἦν π. ἄξιον DM) ἀθάμαντι καὶ (om. DM) γεμίσας τὴν ναῦν ἁπάντων ἀγαθῶν (ἅπασαν τῶν ἀγ. DM) καὶ χρημάτων [add. DM καὶ ἀλεῖς ᾗ ἦν (f. ἅμα ἀπῄει aut ἀπῄει ἐν τῇ νηί) ἡ μήτηρ πέλοπος, θυγάτηρ ἡλίου· ὄνομα δ' ἦν αὐτῇ κῶς· αὕτη ἐκ τῶν ἰδίων χρημάτων] ἑαυτῆς (ἑαυτῷ OAT) εἰκόνα ἰσόμετρον χρυσῆν ἐποιήσατο. ἦν δὲ ὁ (om. ὁ DM) χρυσὸς πολὺς καὶ λόγος (δοτὸς DM, ὁ. λ. T) περὶ αὐτοῦ μέγας ἐγίνετο (ἐγίγνετο D, ἐγίνετο M). ἐνέθετο οὖν εἰς (τὴν add. DM) ναῦν ταῦτα (τ. om. DM) καὶ φρίξον καὶ ἕλλην καὶ ᾤχετο ἀπιών. ‖ κριόν b. ‖ 3. ἔθετο b. ‖ 4. Κῶς dedi ex DM, vulg. Ἠώς. ‖ 7. ἀπέθ. ἐν τῷ στενῷ πορθμῷ O[a]. ‖ 9. τὸν φάσιν DM, τὸν φάρον Vabc, κόλχους O[a]AT, vulg. τοὺς K. ‖ ἐκεῖ RO[a]A, vulg. αὐτοῦ. ‖ τοῦ τῶν om. DM. ‖ 10. β. αἰ. θ. χ. O[a]A, β. α. θ. καλλιόπην T, β. χ. θ. ἀλήθου R, vulg. β. θ. αἰήτου. ‖ 11. ἔδνον O[a]AT, qui et om. τούτῳ. ‖ τὴν—Κῶ] τ. χ. εἰκ. τοῦ κωδίου O[a]AT, τὸν χρυσὸν τὸν κῶν pr. m. D, corr. κώδιον, et sic M: Κῶ] vulg. Ἠοῦς. ‖ ὕστερον δὲ τελευτήσαντος τοῦ ἀθάμαντος ἰάσων πλέει τῇ ἀργοῦ ἐπὶ τοιοῦτον χρυσόν post κῶ add. O[a]AT, nisi quod ἀθ. τελ. T. ‖ ἐπὶ post οὐχὶ add. O[a]A. ‖ 12. οὕτως—ἔχει om. c, οὕτ. ἐ. ἡ ἀ. T, οὕτ. ἐ. τὸ ἀληθές DM: O[a] litteris minutioribus add. ἄλλοι δέ φασιν ὅτι τὸ χρυσόμαλλον δέρας ἦν βιβλίον ἑρμηνεῦον τὴν ἀλχημίαν τέχνην etc.: reliqua enim non exscripsit Galeus: sed cf. Anon. d. incred. 3 et Iriart. l.l. ‖ s. fin. cap. ἐξ ης ὁ μῦθος ἐπλάσθη add. J.

XXXII. *Περὶ τῶν τοῦ Φόρκυνος θυγατέρων. Καὶ περὶ τούτων πολὺ γελοιότερος φέρεται λόγος, ὡς ὁ Φόρκυς εἶχε θυγατέρας τρεῖς, αἵτινες ἕνα ὀφθαλμὸν ἔχουσαι ἀνὰ μέρος ἐχρῶντο τούτῳ· τούτων δὲ ἡ χρωμένη ἐνετίθει αὐτὸν εἰς τὴν κεφαλὴν καὶ οὕτως ἔβλεπε, καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ* 5 *ἀποδιδούσης τὸν ὀφθαλμὸν ἔβλεπον πᾶσαι. ἐλθὼν δ' ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ βαδίσματι, κρατήσας τὴν κατέχουσαν τὸν ὀφθαλμὸν καὶ τὸ ξίφος γυμνώσας φησὶ δεῖξαι αὐτῷ τὴν Γοργώ, ἐὰν δὲ μὴ φράσωσιν, ἀποκτεῖναι αὐτάς· αἱ δὲ φοβούμεναι φράζουσιν. ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς* 10 *Γοργοῦς εἰς Σέριφον ἦλθε, καὶ δείξας ταύτην τῷ Πολυδέκτῃ λίθινον αὐτὸν ἐποίησεν. καὶ τοῦτο γελοιότερον, τὸ ἄνδρα ζῶντα νεκροῦ κεφαλὴν ἰδόντα ἀπολιθωθῆναι. τίς γὰρ δύναμις τοῦ νεκροῦ; ἐγένετο δὲ τοιοῦτόν τι. Φόρκυς ἦν ἀνὴρ Κερναῖος· οἱ δὲ Κερναῖοι κατὰ γένος μέν εἰσιν Αἰθίοπες,* 15 *οἰκοῦσι δὲ νῆσον τὴν Κέρνην ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν, ἀροῦσι δὲ Λιβύην περὶ τὸν Ἄννωνα ποταμὸν κατὰ Καρχηδόνα· εἰσὶ δὲ σφόδρα χρυσοῖ. οὗτος ὁ Φόρκυς ἐβα-*

XXXII. vid. Apost. 6, 44. Eudoc. p. 417. Arsen. p. 166. ‖ inscr. *π. τῶν φ. θ.* DM, *π. τοῦ φ. κ. τῶν θ. αὐτοῦ καὶ τοῦ ἑνὸς ὀφθαλμοῦ αὐτῶν* O[a]. ‖ 2. *φόρκυς* hic et infra VbOD, vulg. *Φόρκυν*. ‖ 4. *τούτῳ· τούτων δὲ ἡ* ODM, *τούτῳ δὲ ἡ* Vabcd, *τούτων δὲ ἡ* T, vulg. *τούτῳ, ἡ δὲ*. ‖ *αὐτοῦ* V, *αὐτῆς* d. ‖ 5. *οὕτως οὖν ἑκάστη αὐτῶν τ. ἑ. τ. ὀ. παρέχουσα ἐδίδου τὸ βλέπειν* O[a], *καὶ οὕτω δὲ μιᾶς αὐτῶν ἀποδιδούσης τ. ὀ. τῇ ἑτέρᾳ* omissis *ἔβλεπον—περσεὺς* DM. ‖ 7. *ὀπίσω—φράζουσιν*] *καὶ λαβὼν τὸν ὀφθαλμὸν αὐτῶν ἔφησεν οὐκ ἀποδώσειν, ἐὰν μὴ φράσωσιν αὐτῷ ὅπη ἐστὶν ἡ γοργώ· φράζουσι δ' οὖν οὕτως* O[a], *ἀποδώσειν αὐτοῖς, ἐ. μ. φ. α. τὴν γοργόνα ὅπη ἐ. φ. δ' οὕτως* DM. ‖ *κρ. τὸν ὀφθ., κατέχων καὶ ξ. γεγυμνωμένον* Vd, *κρ. τὴν ἔχουσαν τ. ὀ. καὶ κατέχων καὶ ξ. γεγ.* b. ‖ 9. *Γοργόνα* et *Γοργόνος* vulg. ‖ *αἱ δὲ* b, vulg. *αἱ*. ‖ 10. *τῆς γοργ.*] *αὐτῆς* O[a]DM. ‖ 11. *σέριφον* RO[a]T, *ἕρον* DM, cett. *ἀέρα*. ‖ *ταύτην τῷ* om. O[v]DM. ‖ *πολυδεύκῃ* V, *πολυεύκτῃ* b, *πολυέκτῃ* c, *πολυδεύκει* d. ‖ 12. *αὐτόν* O[a], *αὐτὴν* DM, vulg. *τοῦτον*. ‖ *καὶ* om. d. ‖ *τοῦτο* D, vulg. *τοῦτο δέ*. ‖ *γελοῖον* bd: *καὶ ταῦτα μὲν τὰ μυθώδη, ἡ δὲ ἱστορία οὕτω πως ἔχει· φόρκυν* c. ‖ *τὸ* om. D. ‖ 13. *ζητοῦντα* d. ‖ *ἰδ. ν. κεφ.* DM. ‖ 14. *δὲ*] *οὖν* DM. ‖ *τοιοῦτό* d. ‖ 15. *κυρηναῖος* hic et ubique VabcdDM et reliqui, ut videtur, solum 16. *κύρην* C, *κυρίην* Oc, *κύρνον* Vd. ‖ *κ. γένος*] *γένει* T, *γένος* DM. ‖ 16. *τὴν ν. κ.* DM. ‖ *οὖσαν* om. M, *οὖσαν τῶν* D. ‖ *ἡρακλέους* DM. ‖ 17. *ἀροῦσι—στηλῶν* om. d. ‖ *παρὰ* DM. ‖ *ἄνωνα* bd, *ἄννονα* D, *αὔνονα* VbcT, *αὔνωνα* M, *ἄνωνα* cett.: *Λάδωνα* Voelcker. myth. Geogr. 1. p. 67. ‖ 18. *εἰσὶ—χρυσοῖ* om. R. ‖ *χρυσῇ* DM, qui et add. *καὶ νῦν ἔτι*. ‖ *οὗτος ὁ*] *ὃς* VacOG, *ὁ δὲ* b. ‖

σίλευε τῶν νήσων τῶν ἔξω [τῶν] Ἡρακλείων στηλῶν (εἰσὶ δὲ τρεῖς αὗται), ποιεῖ δὲ ἄγαλμα Ἀθηνᾶς, ὅπερ ἦν τετράπηχυ. καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κερναῖοι Γοργώ, ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες Βένδειαν, Κρῆτες δὲ Δίκτυναν, Λακεδαιμόνιοι δὲ
5 Οὖπιν. ὁ μὲν οὖν Φόρκυς ἀποθνήσκει πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα, κατέλιπε δὲ κόρας τρεῖς, Σθενώ, Εὐρυάλην, Μέδουσαν. αὗται γήμασθαι μὲν οὐδενὶ ἠβουλήθησαν, διελόμεναι δὲ τὴν οὐσίαν ἑκάστη μιᾶς ἦρχε νήσου, τὴν δὲ Γοργὼ οὔτε που ἀναθεῖναι αὐταῖς ἐδόκει οὔτε διελεῖν,
10 ἀλλ' ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς. ἦν δὲ τῷ Φόρκυνι ἑταῖρος, καλὸς καὶ ἀγαθὸς ἀνήρ, καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ' ἀνὴρ φυγὰς ἐξ Ἄργους ἐληίζετο τὰ κατὰ τὴν θάλατταν ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὐτόν. πυθόμενος δὲ ταύτῃ βα-
15 σιλείαν εἶναι γυναικῶν, καὶ πολύχρυσον μέν, ὀλίγανδρον δέ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ, καὶ μεταξὺ τῆς Κέρνης καὶ τῆς Γαδειρέων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν τὸν ὀφθαλμὸν λαμβάνει. οὗτος δὲ φράζει αὐτῷ, ὅτι ἄλλο μὲν οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν εἰ μὴ τὴν Γοργώ,

‖ ἐβασίλευε RVbDM, vulg. ἐβασίλευσε. ‖ 1. νήσων τῶν ἔξω add. RTDM, vulg. om. ‖ τῶν videtur excidisse. ‖ ἡρακλέους DM. ‖ εἰσὶ—αὗται om. OG: αὗται add. R, vulg. om. ‖ 2. ποιεῖ δὲ ROG, cett. καὶ ποιεῖ. ‖ ὅπερ ἦν τετρ. hic add. ROG, vulg. solum τετράπηχυ est ante ἄγαλμα. ‖ 3. κερν. τ. ἀθ. DM. ‖ γοργόνην Vabd, γοργώνην c. ‖ 4. δίκτυνναν bcd. ‖ 5. οὖν om. b. ‖ πρὶν ἢ εἰς DM. ‖ 7. μεδ. DM, vulg. καὶ μ. ‖ γημ. μὲν VbdDM, vulg. μ. γ. ‖ 8. μιᾶς om. Vbd: ν. μ. εἶρχεν DM. ‖ 9. γοργὼ ROTDM, γοργόνα VbdCG, γοργόνην a, τῇ δὲ γοργόνῃ c. ‖ που add. R, τῷ DM, qui et om., quod vulg. post ἀναθ. legitur, εἰς τὸ ἱερὸν vel ἱερῷ, quod est in G, vel τῷ ἱερῷ, quod in Vbd. ‖ ἀναθῆναι Vac. ‖ αὐταῖς] γέ σφισιν DM. ‖ 10. ἐναλλὰξ habent libri omnes, vulg. om. ‖ 11. τὸ D. ‖ ἑταῖρος om. DM. ‖ κ. τε καὶ CODM. ‖ ἀνὴρ om. dCO. ‖ οὔνομα ὀφθαλμός post ἀνὴρ add. CO. ‖ καὶ] ὅτι CO. ‖ 12. πρ. παντὶ DM. ‖ ἐχρῆτο COTDM. ‖ 13. φ. ἀργόθεν c. ‖ τὴν add. b, vulg. om.: θαλάσσης DM. ‖ 14. αὐτόν d, vulg. αὐτόν. ‖ ταύτῃ R, vulg. ταύτης. ‖ βασιλείαν RDM, vulg. τὴν Γοργόνα βασίλισσαν. ‖ 15. ἀφικνεῖται καὶ post δὲ add. DM. ‖ 16. πρῶτον C. ‖ ναυλοχῶν omisso καὶ TDM. ‖ κύρνου DM, cett. ut videtur κυρήνης. ‖ 17. σαρδέων Vabd et cett. praeter c, quae habet σάρδεως, et DM, qui σαρδοῦς: corr. Fischerus. ‖ διαπλέοντα RDM, διαπλέειν V. ‖ 18. λαμβάνειν V. ‖ οὗτος δὲ] ὧν μία Vabcd. ‖ αὐτ. φρ. DM. ‖ 19. ἄλλος DM. ‖ λαμβάνειν b. ‖ ἄξιον λόγου post αὐτῶν add. DM. ‖ εἰ] ὅτι ODM. ‖ γοργόνα vulg., et sic ubique. ‖

μηνύει τε αὐτῆς τὸ πλῆθος τοῦ χρυσοῦ. αὐταὶ οὖν αἱ κόραι, ἐπειδὴ οὐχ ἧκεν ὁ ἐν ὀφθαλμοῦ μέρει κατὰ τὸ εἰρημένον, συνῄεσαν ὁμόσε καὶ ᾐτιᾶτο ἡ ἑτέρα τὴν ἑτέραν. ὁπότε δὲ ἀπηρνοῦντο μὴ ἔχειν, ἐθαύμαζον τί ἂν εἴη τὸ γεγονός. ἐν τούτῳ προσπλεῖ αὐταῖς ὁμοῦ οὔσαις ὁ Περσεύς, καὶ φράζει 5 ὡς αὐτὸς ἔχει τὸν ὀφθαλμόν, καί φησι μὴ ἀποδώσειν αὐταῖς, ἐὰν μὴ φράσωσιν ὅπη ἐστὶν ἡ Γοργώ. ἐπηπείλει δὲ καὶ προσκατακτενεῖν μὴ εἰπούσας. ἡ μὲν οὖν Μέδουσα οὔ φησι δείξειν, ἡ δὲ Σθενὼ καὶ Εὐρυάλη ἔδειξαν. τὴν μὲν οὖν Μέδουσαν ἀποκτείνει, ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδίδω- 10 σιν. λαβὼν δὲ τὴν Γοργὼ κατέκοψεν, ἀπαιτησάμενος δὲ τριήρη ἐπέθηκε τῆς Γοργοῦς τὴν κεφαλὴν ἐπ' αὐτήν, καὶ τῇ νηὶ δὲ ὄνομα ἔθετο Γοργώ. ἐν ταύτῃ δὲ περιπλέων χρήματα παρὰ τῶν νησιωτῶν εἰσεπράττετο καὶ τοὺς μὴ διδόντας ἀνῄρει. οὕτω δὴ καὶ τοὺς Σεριφίους ᾔτει προσπελάσας ἐκείνοις χρή- 15 ματα· οἱ δὲ ἡμέρας αὐτὸν ᾐτήσαντο, ἐν αἷς συλλέξουσι τὰ χρήματα. συναγαγόντες οὖν λίθους ἀνδρομήκεις ἔθηκαν εἰς τὴν ἀγορὰν καὶ ἐκλιπόντες τὴν Σέριφον ᾤχοντο. προσπλεύσας οὖν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν ἄνθρωπον μὲν οὐδένα 20

1. δὲ bd. ‖ αὐτῆς RODM, αὐτοῖς AT, vulg. αὐτῷ. ‖ αὗται vulg. ‖ οὖν] δὴ DM. ‖ 2. ἐπειδὴ RT, vulg. ἐπεὶ. ‖ οὐχ ἧκεν RTDM, vulg. οὐκ εἶχον. ‖ ὁ ἐν ὀφθ. μ. R, ὁ ὀφθ. ἐν τῷ μ. T, ὁ ὀφθ. DM, vulg. τὸν ὀφθαλμὸν ἐν τ. μ. ‖ τὸ εἰρ. VbdTDM, vulg. τὸν εἰρ. λόγον. ‖ 3. συνίησαν T. ‖ ὁμόσαι acCTGDM. ‖ ἡ add. DM. ‖ δὴ DM. ‖ 4. ἀπηρνοῦντο R, ἐπηρνοῦντο OA et vulg., ἐπηρνοοῦντο T, cett. ἐπενοοῦντο. ‖ 5. ὁμοῦ οὔσαις h. l. add. RCO, post περσεύς D, post προσπλεῖ M, vulg. om. ‖ 6. τὸν] ἕνα Vd. ‖ ἀποδώσειν RDM, vulg. ἀποδοῦναι. ‖ 7. ὅπη VdDM, ὅπου b, ὅποι vulg. ‖ γοργών V. ‖ προσκατακτενεῖν VacDM, προσαποκτενεῖν O^{a}A et vulg., προσαποκτείνειν T. ‖ 8. εἰπούσας RDM, εἰπούσαις cett.: εἰ μὴ εἴποιεν bd. ‖ φησὶν δείξειν DM, vulg. φράζει δεῖξαι. ‖ 10. τὸν om. d. ‖ 11. ἀπαιτησάμενος RDM, vulg. ἀπαιτήσας. ‖ 12. ἐπέθηκε RV, ἐπέθηκεν DM, cett. ἀπέθηκε. ‖ ἐπ. αὐτ. τ. γ. τ. κ. DM, ἐπὶ τῇ πρύμνῃ αὐτῆς τ. τ. γ. κ. O. ‖ 13. δὲ add. Vbd, vulg. om. ‖ γοργών Vacd. ‖ αὐτῇ b. ‖ περιπλέων ROATDM, cett. παραπλ. ‖ 15. οὗτος RDM. ‖ δὲ cd. ‖ σερίφους VacD. ‖ ᾔτει om. COA, ἧκει V: προσπελάσας VbdCOA, προπλεύσας a, vulg. προσπλεύσας, om. R: ᾔτει χρ. πρ. DM. ‖ 16. οἱ—καὶ ROATDM, nisi quod ἡμέραν T, ἡμέρως DM, ᾔτ. ὡς συλλεξόμενοι τ. χ. DM, ἔθεσαν DM: vulg. καὶ (om. V) συναγαγόντων (συν. δὲ bd) αὐτῶν ὁ Περσεὺς ᾔει (ἧκει V, ᾔτει bd) πάλιν εἰς τὴν ἀγοράν· οἱ δὲ (οἱ καὶ Vacd). ‖ 18. τ. νῆσον σ. OA, τὸν σ. DM. ‖ 20. ἐς b. ‖

εὗρε, λίθους δὲ ἀνδρομήκεις. τοῖς οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεύς, ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα, „ὁρᾶτε μή, ὡς Σερίφιοι τῆς Γοργοῦς θεασάμενοι τὴν κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς."

5 XXXIII. *Περὶ Ἀμαζόνων.* Περὶ Ἀμαζόνων τάδε λέγουσιν, ὅτι οὐ γυναῖκες ἦσαν, ἀλλ' ἄνδρες βάρβαροι. ἐφόρουν δὲ χιτῶνας ποδήρεις, ὥσπερ αἱ Θρῆσσαι, καὶ τὴν κόμην ἀνεδοῦντο μίτραις, τοὺς δὲ πώγωνας ἐξυρῶντο, καὶ διὰ τοῦτο ἐκαλοῦντο πρὸς τῶν πολεμίων γυναῖκες. Ἀμαζόνες δὲ τὸ 10 γένος μάχεσθαι ἀγαθοὶ ἦσαν. στρατείαν δὲ γυναικὸς οὐδέποτε εἰκὸς γενέσθαι· οὐδὲ γὰρ νῦν οὐδαμοῦ.

XXXIV. *Περὶ Ὀρφέως.* Ψευδὴς καὶ ὁ περὶ τοῦ Ὀρφέως μῦθος, ὅτι κιθαρίζοντι αὐτῷ ἐφείπετο τὰ τετράποδα καὶ τὰ ὄρνεα καὶ τὰ δένδρα. δοκεῖ δ' ἐμοὶ ταῦτα εἶναι. Βάκ- 15 χαι μανεῖσαι πρόβατα διέσπασαν ἐν τῇ Πιερίᾳ, πολλὰ δὲ καὶ ἄλλα βιαίως εἰργάζοντο, τρεπόμεναί τε εἰς τὸ ὄρος διέτριβον ἐκεῖ τὰς λοιπὰς ἡμέρας. ὡς δὲ ἔμειναν, οἱ πολῖται δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγατέρων, μεταπεμψάμενοι τὸν Ὀρφέα ἐδέοντο μηχανᾶσθαι ὃν τρόπον καταγάγοι αὐτὰς ἐκ 20 τοῦ ὄρους. ὁ δὲ συνταξάμενος τῷ Διονύσῳ ὄργια κατάγει αὐτὰς βακχευούσας κιθαρίζων. αἱ δὲ νάρθηκας τότε πρῶτον ἔχουσαι κατέβαινον ἐκ τοῦ ὄρους καὶ κλῶνας δένδρων παντοδαπῶν. τοῖς δ' ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις ἐνεφαίνετο πρῶτον ξύλα καταγόμενα, καὶ ἔφασαν „Ὀρ-

2. ὅρα DM. ‖ 3. μὴ post τοῦτο habet b. ‖ σέριφοι V. ‖ θ. τὴν τῆς γ. κεφ. Vbd, θ. τ. γ. τ. κ. DM. ‖ γοργοῦς DM, vulg. Γοργόνος. ‖ ἀπελιθ. om. D. ‖ 4. καὶ ὑ. τ. π. DM.

XXXIII. vid. Eudoc. p. 38. ‖ inscr. om. ME. ‖ 5. τάδε λέγεται π. ἀ. DM, τάδε λέγουσι π. ἀ. E. ‖ 6. αἱ στρατεύσασαι post ἦσαν add. DM. ‖ 7. ποδήρις E. ‖ θρηνοῦσαι CGE. ‖ 8. ἀνεδεδοῦντο E. ‖ μήτραις V. ‖ ὡς καὶ νῦν post ξυρ. add. TDM. ‖ 9. τῶν om. E. ‖ δὲ post μαχ. add. D, post ἀγ. M, καὶ post γένος c. ‖ 10. στρατίαν E: στρ. sqq. om. c. ‖ γυναικῶν οὐδὲ πώποτε DM. ‖ 11. γὰρ ἦν οὐδαμῶς E.

XXXIV. vid. Apost. 18, 62. Eudoc. p. 318. ‖ inscr. π. ὀ. κιθάρας O. ‖ 12. ψευδεῖς D. ‖ τοῦ om. J. ‖ 13. μῦθος] λόγος C. ‖ 14. τὰ utrumque om. DM. ‖ τὰ add. R. ‖ δέ μοι libri et vulg. ‖ 15. διασπάζουσαι omisso δὲ R. ‖ 16. ἐργάζοντο b. ‖ τερπόμεναι ac. ‖ δὲ b. ‖ ὅρος ὅθι καὶ διέτρ. τὰς c. ‖ 17. λοιπὰς add. ROG, sed λιπὰς R, vulg. om. ‖ 18. μεταπεμψόμεναι b. ‖ 19. ἀπὸ τ. ὀ. αὐτὰς DM. ‖ 20. ἐκθυσάμενος DM. ‖ 24. ἐφαίνετο DM. ‖ ξύλα VDM, vulg. τὰ ξ. ‖ ὅτι, quod vulg.

φεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρους." καὶ ἐκ τούτου ὁ μῦθος ἀνεπλάσθη.

XXXV. *Περὶ Πανδώρας.* Ὁ περὶ Πανδώρας οὐκ ἀνεκτὸς λόγος, ὡς γῆς ἀναπλασθείσης ἀναδοῦναι αὐτὴν καὶ ἄλλοις τὸ πλάσμα. ἐμοὶ δὲ δοκεῖ τοῦτο. Πανδώρα γυνὴ ἐγένετο Ἑλληνὶς μάλιστα πλουσία, καὶ ὅτε ἐξίοι ἐκοσμεῖτο καὶ ἐχρίετο πολλῇ τῇ γῇ. καὶ τὸ μὲν ἔργον οὕτως ἔχει, ὁ δὲ λόγος ἐπὶ τὸ ἀμήχανον ἐτράπη.

XXXVI. *Περὶ Μελιῶν γενεᾶς.* Τὸ πρῶτον γένος ἄνωθεν ἐκ μελιῶν γενέσθαι φασίν. ἐμοὶ δὲ δοκεῖ ἀμήχανον ἐκ ξύλων ἀνθρώπους γενέσθαι. ἀλλὰ Μέλιός τις ἐγένετο καὶ Μελίαι αἱ ἀπὸ τούτου ἐκλήθησαν, ὥσπερ Ἕλληνες ἀπὸ Ἕλληνος καὶ Ἴωνες ἀπὸ Ἴωνος. ἀλλ' ἐκεῖνο μὲν ἐφθάρη τὸ γένος ὅλον, καὶ δὴ καὶ τὸ ὄνομα ἀπέσβη. σιδηρᾶ δὲ καὶ χαλκῆ γενεὰ οὐδέποτε ἐγένετο, ἀλλ' ἐφλυαρήθη ταῦτα.

XXXVII. *Περὶ Ἡρακλέους [φυλλίτου] λέγεται* ὡς ἐφ' ἑαυτῷ ἔσχε φύλλα. ὁ οὖν φυλλίτης *** εἴτε καὶ ἰδιώτης ὑπῆρχεν, ἐπινοήσας ἔκαυσεν. ὁ δὲ λόγος ἐντεῦθεν ἐλέχθη οὕτως.

est post ἔφασαν, om. VhDM. ‖ 1. ἐκ τ. ὀ. καὶ τῆς ὕλης ἄγει T, ἀ. ἐκ τ. ὀ. κ. τὴν ὕλην DM. ‖ 2. προσαν. cDM.

XXXV. om. O. ‖ 3. ὁ post ἀνεκτὸς habent JDM. ‖ 4. ὡς ἐκ γῆς ἀναπλασθεῖσαν καὶ ἀναδοῦναι ἐκ τοῦ πλάσματος DM. ‖ 5. τ. δοκ. DM. ‖ 6. ἕλληνος a, ἕλλην VDM. ‖ ἐξίοι DM, vulg. ἐξῄει. ‖ 7. πρώτη γὰρ αὕτη ἐξεῦρε χρίεσθαι τῇ γῇ διὰ τὸ χρῶμα· καὶ νῦν δὲ πολλαί· ὀνομάζεται δὲ οὐδεμία διὰ τὸ πλεῖστον post γῇ add. DM.

XXXVI. inscr. π. μελιῶν CO: γενεῶν J. ‖ dedi hanc fab. ex ROAT et partim DM: τὸ—ἀνθρώπους ROAT, nisi quod φασί T, τὰ (καὶ?)ἄλλα φασὶν οὕτως (οὕτως?) καὶ τὸ πρῶτον γένος ἐκ μελίας DM, καὶ τί φαυλότερόν (ἕτερον add. VJ) ἐστι τοῦ τὸ (om. τὸ VJa) πρῶτον γένος ἐκ μελιῶν (μελίας VJa: μελιᾶν Fischerus) vulg. ‖ 11. ἄλλοι ἄλιος DM. ‖ 12. ἀ. τ. ἐκλ. ROA, ἐκλ. ἀ. τ. vulg.: ἐκλ. ἃ ἐν τοῦτο DM (f. αἱ ἐκ τούτου). ‖ ἀπὸ τοῦ ἑ. et ἀπὸ τοῦ ἰ. T. ‖ 13. καὶ om. V. ‖ ἀλλ'—ἀπέσβη add. ROATDM, nisi quod τοὔνομα DM, vulg. om. ‖ 15. ἀλλ'—ταῦτα] add. ROATDM, sed ἀλλὰ T, vulg. om.

XXXVII. om. JO, in C ultima est: φυλλίτου om. libri, ex Js. Vossii sententia add. Tollius. ‖ 16. λέγεται ὡς] τοιοῦτο δὲ καὶ περὶ ἡρακλέους ἐγένετο DM. ‖ 17. φασιν post ἑαυτῷ add. DM. ‖ φυλλότης V, φυλίτης G, φιλοίτης DM. ‖ εἴτε DM, οὔτε V, vulg. εἰ: excidisse haud pauca apparet. ‖ ἰδιότης Js. Vossius. ‖ 18. ἐπινοήσας ἔκαυσεν libri, ἐπὶ πόῃ στὰς ἔκυσεν ex Vossii coni. vulg.: potest

XXXVIII. *Περὶ τοῦ κήτους.* *Περὶ τοῦ κήτους τάδε λέγεται, ὡς τοῖς Τρωσὶν ἐκ τῆς θαλάττης ἐπεφοίτα· καὶ εἰ μὲν αὐτῷ δοῖεν κόρας, ἀπήρχετο, εἰ δὲ μή, τὴν χώραν αὐτῶν ἐλυμαίνετο. ὡς δὲ μάταιον, τὸ ἄνδρας ἐκτίθεσθαι τὰς ἑαυτῶν θυγατέρας, τίς οὐκ οἶδεν; ἀλλ' ἦν ἀνὴρ βασιλεὺς μέγας καὶ πολλὴν ἔχων δύναμιν καὶ ναυτικὸν πολύ, ὃς κατέστρεψε τὸ παραθαλάσσιον τῆς Ἀσίας ἔλος, ὃ Τρῶες ἐκτῶντο. ἐδίδουν δὲ φόρον, ὅν τινες δασμὸν καλοῦσιν. ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι οὐκ ἐχρῶντο, ἀλλὰ σκεύεσι. προσετέτακτο δὲ τῶν πόλεων αἷς μὲν ἵππους διδόναι, αἷς δὲ βόας, αἷς δὲ κόρας. τὸν δὲ βασιλέα, ᾧ ὄνομα Κήτων, οἱ βάρβαροι ἐκάλουν Κῆτος. περιέπλει οὖν ὁ Κήτων κατὰ τὸν δέοντα χρόνον ἀπαιτῶν τὸν δασμόν· τῶν δὲ μὴ ἀποδιδόντων ἐκάκου τὰς χώρας. ἐξέρχεται δὲ εἰς Τροίαν καθ' ὃν χρόνον καὶ Ἡρακλῆς ἧκεν ἔχων στρατιὰν τῶν Ἑλλήνων. μισθοῦται δὲ τὸν Ἡρακλέα Λαομέδων ὁ βασιλεὺς ἀρῆξαι τοῖς Τρωσίν. ἀποβιβάσας δὲ τὴν στρατιὰν ὁ Κήτων ὡδοιπόρει, ὑπαντιάσαντες δ' αὐτῷ Ἡρακλῆς καὶ Λαομέδων, ἑκάτεροι ἔχοντες*

et fuisse ἐπανθήσας, dum non aliud quid subait quam quod narrat Paus. 2. 31, 10. ‖ καὶ ὑγείαν ἐποίησεν post ἐκ. add. DM. ‖ ἐλ. οὔτ. ἐ. DM.

XXXVIII. vid. Eud. p. 256. ‖ inscr. π. τ. κήτωνος RO, π. τ. κήτος D. ‖ 1. τὰ δὲ καὶ περὶ τούτου λέγεται OAT. ‖ 2. ἐφοίτα praeter R omnes. ‖ 3. κόρας εἴκοσι ἀπῄει OAT, κ. εἰκὸς ἐπῄες DM. ‖ ἐλ. τ. χ. (χωρίαν pr. m. D) εἰπὼν DM. ‖ 4. ὡς—μ.] μ. ἐστι OAT. ‖ τὸ—θυγατέρας] ἄνδρας ἰχθῦσι συνθήκας τίθεσθαι OATDM. ‖ 5. τοῦτο post ἦν add. OATDM. ‖ β. μὲν μ. T. ‖ 6. καὶ] εἶχεν DM. ‖ πολὺν DM. ‖ 7. ἅπαν ante τὸ add. TDM. ‖ τῆς ἀ. π. T. ‖ ἕλος om. OATDM. ‖ ὃ] οἵτινες V, qui pergit τρῶες καὶ φόρον: ὃ—φόρον om. DM. ‖ 8. ὃν] οἷ D. ‖ καλοῦσιν ἐτέλουν DM, ut scribendum ante fuerit φόρον δὲ. ‖ ἀργυρίῳ RDM, cett. ἀργυρίοις. ‖ 9. ἐχρῶντο] ἐτέλουν OAT, uti Galeus indicat, cuius tamen nota ad praecedens ἐδίδουν pertinere videtur. ‖ 10. προσετέτακτο—κόρας RDM, nisi quod δὲ om. R, αἷς δὲ βόας om. DM, sed αἷς μὲν—κόρας habent etiam O, vulg. προσέταξε δὲ ὁ βασιλεὺς (ᾧ ὄνομα κήτων add. libri) τῶν πόλεων τινὰς μὲν ἵππους διδόναι, τινὰς δὲ κόρας (κέρας aG). ‖ 11. τούτῳ τῷ βασιλεῖ ὃν. κ. οἱ δὲ β. αὐτὸν ἐκ. DM. ‖ 12. περιέπλει RATDM, cett. περιεπόλει. ‖ οὖν R, vulg. δὲ. ‖ ὁ Κήτων om. DM. ‖ 13. ὅσοι μὲν ἐδίδουν, εἰρηνικῶς διῆγον post δασμόν add. O. ‖ τῶν—χώρας] ὅσοι δὲ οὐκ ἀπεδίδοσαν (ἀπέδοσαν O) ἐκακοῦντο (ἐκακοῦτο corr. D) τ. χ. ODM. ‖ 14. ἔρχεται DM. ‖ εἰς τὴν τ. DM. ‖ 15. ἧκεν ἡρ. ἔ. τὴν στρ. DM, ἔσχε τὴν ἄλλ. στρ. O, ἔχεν στρ. τ. ἑ. T. ‖ 16. τὸν Ἡρ.] αὐτὸν TDM. ‖ 17. ὁ om. DM. ‖ κήτιος DM. ‖ ὡδοιπόρει V, ὁδοιπόρει c. ‖ ὑπαντιάσαντες R, cett. ὑπαντήσαντες. ‖ 18. ἑκάτεροι—στρατιὰν add. RODM, nisi quod ἑαυτοῦ DM, vulg. om. ‖

τὴν ἑαυτῶν στρατιὰν ἀναιροῦσιν αὐτόν. οὗ γενομένου προσανεπλάσθη ὁ μῦθος.

XXXIX. Περὶ ὕδρας. Λέγεται δὲ περὶ ὕδρας ὅτι Λερναῖος ὄφις ἦν ἔχων πεντήκοντα κεφαλάς, σῶμα δὲ ἕν, καὶ ἐπειδὰν αὐτῆς ἀνέλοι Ἡρακλῆς κεφαλὴν μίαν, δύο ἀναφύεσθαι, καὶ τὸν καρκῖνον ἐλθόντα βοηθεῖν τῇ ὕδρᾳ. τοιοῦτον δ' εἴ τις πείθεται γενέσθαι, μάταιός ἐστιν. τὸ δ' ἀληθὲς ἔχει ὧδε. Λέρνος ἦν βασιλεύς. ᾤκουν δὲ πάντες οἱ ἄνθρωποι κατὰ κώμας, ἦσαν δὲ καὶ βασιλεῖς ἐφ' ἑκάστῳ τῶν χωρίων τούτων. Σθένελος δὲ ὁ τοῦ Περσέως εἶχε τὸ μέγιστον καὶ πολυανθρωπότατον τὴν Μυκήνην. ὁ δὲ Λέρνος οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι. ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο. ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας ἦν τῷ Λέρνῳ πολίχνιόν τι καρτερόν, καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι, οἳ

1. αὐτὸν om. DM. ‖ ὁ μ. πρ. c.·

XXXIX. vid. Apost. 19, 85. Eudoc. p. 409. ‖ inscr. π. τῆς λερναίας ὑ. O, π. τῆς ὑ. DM. ‖ 3. λ. δ. π. ὑ. τῆς λερναίας ὡς ὄφις OAT, λ. π. τῆς λ. ὑ. ὡς ὀ. DM. ‖ 4. κεφ. ν' DM, ἑκατὸν κ. b. ‖ σῶμα α' DM. ‖ 5. ἐπειδὰν OATDM, vulg. ἐπειδή. ‖ ἐπ. μίαν αὐτῆς ἀφείλετο ἡρ. κ. OA, ἐπ. αὐτ. ἀφέλετο μ. ἡρ. κ. T, ἐπ. αὐτ. ἀνέλοι κ. μ. ὁ ἡρ. DM: ἡρ. om. Va. ‖ ἀναφύεται R, ἀνεφύοντο OATDM. ‖ 6. καὶ—βοηθεῖν] καὶ ὁ (om. ὁ T) καρκῖνος δὲ (om. δὲ DM) ἦλθε βοηθῶν OATDM: τὸν τοῦ καρκίνου V. ‖ τὴν ὕδραν V, om. T. ‖ καὶ τότε δὴ ὁ (δὲ ὅτι T) ἰόλαος ἀμύνει τῷ ἡρακλεῖ, ἐπειδὴ καὶ ὁ καρκίνος ἤμυνε τῇ ὕδρᾳ (τῇ ὑ. ἤμυνεν ὁ κ. DM) post ὕδρᾳ add. OADM, post βοηθῶν T. ‖ τοιοῦτον] τούτων T. ‖ 7. πείθ. τι γ. OAT. ‖ ἐστιν om. DM. ‖ γελοία γὰρ καὶ (om. καὶ OA) ἡ ὄψις. καὶ πῶς (om. πῶς TDM), ὁπότε ἡρακλῆς (om. ἡρ. TDM) ἀφέλοιτο μίαν κεφαλήν, ὑπὸ τῶν λοιπῶν οὐ κατησθίετο (κατεσθ. OAT) καὶ ἤλγει post ἐστιν add. OATDM. ‖ τὸ—ὧδε] ἦν οὖν τοιοῦτον (τοιοῦτο T) OAT, ἦν τοιοῦτον DM: ὧδε ἔ. b. ‖ 8. τοῦ χωρίου, ἔσχε (εἶχε DM) δὲ (καὶ add. T) ἀπ' ἐκείνου τὸ ὄνομα καὶ τὸ χωρίον (εἶχε τὸ ὄν. τοῦ χωρίου ἀποκτείνας, h. e. ἀπ' ἐκείνου, DM) post βασιλεύς add. OATDM. ‖ ᾤκουν—κώμας om. OAT, οἱ et κατὰ om. DM. ‖ 9. τῷ τότε καιρῷ post κώμας add. c. ‖ καὶ τοῦτο τὸ χωρίον νῦν ἀργεῖοι ἔχουσιν post κώμας add. DM, ἀργεῖοι (ἀρχεῖοι T) δὲ νῦν ἔχουσιν OAT. ‖ ἦσαν—βασιλεῖς] ἦσαν δὲ πόλεις τότε ἄργος, μυκήνη, τυρήνη (τίρυνς?), λέρνη, καὶ βασιλεὺς OAT, ἦσαν δὲ DM. ‖ ἐφ' om. DM. ‖ ἐτέτακτο (τέτακτο OAT) post ἑκάστῳ add. OATDM. ‖ 10. Σθένελος—εἶχε] οἱ μὲν οὖν ἄλλοι βασιλεῖς εὔρυσθεῖ τοῦ σθενέλεω τοῦ περσέως ὑπετάττοντο (εὔρυστεῖ τ. στεν. τ. π. ἐπετ. T)· εἶχε γὰρ αὐτὸς (om. αὐτὸς T) OAT, περσέως εἶχεν τὸν (sed in D ante περσέως est lineola, qua lacuna indicatur) DM: νέλος V, στένελος a. ‖ μεγ. χωρίον (om. χ. TDM) καὶ πολυανδρότατον (πολυανθρωπ. pr. m. D) τὰς μυκήνας (τῶν μυκηνῶν DM) OATDM. ‖ 12. οἱ δύο] αὐτῷ DM. ‖ 13. ἦν αὐτῷ καὶ τῷ λ. ἐν τ. ε. τ. χ. DM. ‖ πολίχνιον VD. ‖ ἰσχυρὸν c. ‖ 14. τοξόται ν' DM. ‖ οἳ ROTDM,

ἐπήεσαν ἐπὶ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν. ὄνομα δὲ ἦν τῷ πολιχνίῳ Ὕδρα. πέμπει οὖν Εὐρυσθεὺς Ἡρακλέα, ὃς καὶ ἐκπορθεῖ τὸ πολίχνιον. οἱ δὲ περὶ Ἡρακλέα ἐπυρπόλουν τοὺς ἐπὶ τῷ πύργῳ τοξότας. ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ' ἑνός, ἐπειδὰν ἀνδρεῖος ἦν ὁ προανῃρημένος. ἐπειδὴ δὲ συνείχετο ὁ Λέρνος ὑπὸ τοῦ Ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν. ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιὰν Καρκῖνος ὀνόματι ἀνὴρ μέγας τὴν ἰσχὺν καὶ πολεμικός, καὶ σὺν τούτῳ ἀντεῖχον πρὸς τὸν Ἡρακλέα. εἶτα βοηθεῖ ὁ Ἰόλαος ὁ Ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ Ἡρακλεῖ, ἔχων στρατιὰν ἀπὸ Θηβῶν, καὶ τὸν πεφυκότα πύργον πρὸς τῇ Ὕδρᾳ προσελθὼν ἐνέπρησε· καὶ σὺν ταύτῃ τῇ δυνάμει ἐπόρθησεν αὐτοὺς ὁ Ἡρακλῆς, καὶ τὴν Ὕδραν ἀναιρεῖ καὶ τὴν στρατιὰν ἀπόλλυσιν. οὗ γενομένου καὶ γράφουσι τὴν Ὕδραν ὄφιν καὶ τὸν μῦθον ἀναπλάττουσιν.

XL. *Περὶ Κερβέρου.* Λέγουσι περὶ Κερβέρου ὡς κύων ἦν ἔχων τρεῖς κεφαλάς. δῆλον δὲ ὅτι καὶ οὗτος ἀπὸ τῆς πόλεως ἐκλήθη Τρικάρηνος, ὥσπερ ὁ Γηρυόνης. ἔλεγον δὲ οἱ ἄνθρωποι „καλός τε καὶ μέγας ὁ Τρικάρηνος κύων." λέγεται δὲ περὶ αὐτοῦ ὡς Ἡρακλῆς ἐξ Ἅιδου ἀνήγαγεν. ἐγέ-

cett. οὔς. ‖ 1. ἐπίησαν O, ἐπίεσαν c. ‖ νύκτας καὶ ἡμέρας ATG. ‖ 2. δὲ om. DM. ‖ τῷ om. b. ‖ πολ. ἀπὸ τοῦ ὕδρα DM. ‖ ἐρυσθεὺς DM. ‖ 3. ὃς add. R, vulg. om. ‖ ἐκπορθήσαντα ATDM, πολιορκεῖ b. ‖ αὐτὸ ante τὸ add. Vabc et vulg. ‖ τὸ om. D. ‖ πολύχνιον V. ‖ οἱ δὲ ἐπὶ τῷ πύργῳ (τῶν πύργων c) ἐπυρπολοῦντο τοῖς ἐπὶ τῷ πύργῳ τοξόταις Vac, οἱ δὲ ἐπὶ τῷ πύργῳ ἐπυρπόλουν τοὺς κάτω b: τῶν πύργων DM. ‖ 5. δύο ἀν. DM. ‖ ἐπεὶ δὲ DM. ‖ 6. ὁ προανῃρημένος om. R: προειρημένος DM. ‖ ἐπεὶ δὲ Vb: συν. δὲ omisso ἐπειδὴ DM. ‖ τοῦ om. b. ‖ 7. ὀθν. στρ.] ἐπικούρους κάρας OAT, κούρους κάρας DM. ‖ 8. ὀνόματι ἀνὴρ DM, om. R, vulg. ὄνομα τῷ ἀνδρὶ. ‖ τὴν ἰσχὺν om. DM. ‖ 9. ἀντεῖχον VabcDM, vulg. ἀντεῖχε. ‖ 10. ὁ om. DM. ‖ ἰόλαος VbDM, vulg. Ἰόλεως. ‖ ἰφίκλου OT, ἰφεκλέους DM. ‖ ὁ ἀδ. O. ‖ ὢν om. ODM, τῷ om. M. ‖ 11. τὴν στρ. c. ‖ 12. προελθὼν O, om. DM. ‖ 14. καθαιρεῖ O. ‖ οὗ—ἀναπλάττουσιν VabODM, nisi quod καὶ om. ODM, οὗ γ. τοῦ πεντηκονταπεφάλου θηρίου ὁ μῦθος προσανεπλάσθη c, vulg. οὗ γ. ὁ μ. ἀνεπλάσθη.

XL. vid. Eudoc. p. 255. ‖ 16. εἴρηται π. κ. τοῦ θηρίου ὡς κ. ὢν τρ. εἶχε κ. DM. ‖ 18. τρικάρινος hic et infra VDM. ‖ ὁ om. DM. ‖ 19. τε om. DM. ‖ 20. λέγεται] εἴρηται TDM. ‖ αὐτὸν post ἡρ. add. DM. ‖ μυθικῶς post ἀνήγ. add. DM. ‖

νετο δὲ τοιοῦτόν τι. Γηρυόνῃ ἐπὶ ταῖς βουσὶν ἦσαν κύνες μεγάλοι καὶ νεανίαι. ὀνόματα δὲ ἦν αὐτοῖς τάδε, τῷ μὲν Κέρβερος, τῷ δὲ Ὄρθος, τὸν μὲν οὖν Ὄρθον Ἡρακλῆς ἐν Τρικαρηνίᾳ πρὶν περιελεῖν τὰς βοῦς ἀναιρεῖ, ὁ δὲ Κέρβερος συνηκολούθει ταῖς βουσίν. ἐπιθυμήσας δὲ τοῦ κυνὸς ἀνὴρ Μυκηναῖος, τοὔνομα Μολοττός, τὸ μὲν πρῶτον ᾔτει τὸν Εὐρυσθέα ἀποδοῦναι τὸν κύνα· οὐ βουλομένου δὲ τοῦ Εὐρυσθέως ἀναπείθει τοὺς βουκόλους, καὶ τὸν κύνα καθείργνυσι ἐν τῇ Λακωνικῇ ἐπὶ Ταινάρῳ ἐν σπηλαίῳ τινί, καὶ ἀφίησιν αὐτῷ κύνας θηλείας ἐμβατεύειν. Εὐρυσθεὺς δὲ πέμπει Ἡρακλέα ἐπὶ ζήτησιν τοῦ κυνός. ὁ δὲ πᾶσαν περιιὼν τὴν Πελοπόννησον ἦλθεν ὅπου ὁ κύων αὐτῷ ἐμηνύθη εἶναι, καὶ καταβὰς ἀνάγει ἐκ τοῦ ἄντρου τὸν κύνα. ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι διὰ τοῦ ἄντρου καταβὰς εἰς Ἅιδου ὁ Ἡρακλῆς ἀνήγαγε τὸν κύνα.

XLI. Περὶ Ἀλκήστιδος λέγεται μῦθος τραγικώδης, ὡς δὴ μέλλοντός ποτε τοῦ Ἀδμήτου ἀποθανεῖν αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον, καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ ἀναγαγὼν ἐκ τοῦ Ἅιδου ἀπέδωκεν Ἀδμήτῳ. ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαί τινα ἀναβιῶσαι.

1. δὲ τοιοῦτον] οὖν τοιόνδε DM. ‖ γηρυόνεοι T. ‖ 2. μεγάλοι DM, vulg. μεγάλαι. ‖ τε ante καὶ add. c. ‖ νεανίαι RDM, vulg. νεανικαί. ‖ ὄνομα a: ὀνόματα—τάδε om. c, quae sic pergit, ὧν ὁ μὲν κέρβερος τρικάρηνος, ἡ δὲ ὄρθος. ‖ αὐτοῖς D, vulg. αὐταῖς. ‖ 3. τῇ a. ‖ ὄρθος et ὄρθον ROATGDM, cett. ὦρος et ὦρον, vulg. Ὄρθρος et Ὄρθρον. ‖ τὴν Vac. ‖ τρικαρίᾳ a. ‖ 4. συνηκολούθησε DM. ‖ 5. τοῦ] τῆς DM. ‖ 6. ὄνομα λοτὸς DM. ‖ 7. ἀποδεδόσθαι AT. ‖ τὸν αὐτὸν κ. T. ‖ βουλόμενος DM. ‖ τοῦ Εὐρ. om. DM. ‖ 8. καθείργνυσι DM, καθειργνῦσι R, καθείρνυσιν G, vulg. καθειργνύουσιν. ‖ καθ. τὰς κύνας DM. ‖ 9. ἀποπίας (ἀπορίας?) ἕνεκεν post τινὶ add. DM. ‖ ὑφίησιν DM: ἐφίησιν Fischerus. ‖ 10. κύνας] ἐπὶ κ. R. ‖ ἐμβατεύειν RDM, vulg. συμβ. ‖ 11. ἐπὶ] κατὰ TDM. ‖ τὴν om. VDM: πελ. περ. DM. ‖ 12. ὅπου καὶ ὁ V. ‖ ἐμ. εἶναι αὐτῷ DM. ‖ εἶναι] ὑπάρχειν T. ‖ ἄγει DM. ‖ 13. ἄνθρωποι] τότε c. ‖ 14. ὅτι om. DM. ‖ ὁ om. DM.

XLI. vid. Apost. 2, 72. Eudoc. p. 21. Arsen. p. 42: cf. Tzetz. chil. 2, 53. ‖ 16. λέγεται] εἴρηται DM. ‖ 17. μέλλοντα (μέλλων τὰ pr. m. D) τότε ἄδμητον DM: τοῦ om. V, ποτε τοῦ om. bd. ‖ ἀποθανεῖν R, ἀποθανεῖσθαι DM, vulg. θανεῖν. ‖ 18. θάνατον libri, vulg. τὸν θ. ‖ καὶ ὡς ἡρ. DM. ‖ 19. τὸν θάνατον post ἀφελ. add. TDM. ‖ ἐκ] αὐτὴν ἐκ bd. ‖ 20. ἀναβιῶναι Vad, ἀναβιῶναι ποιῆσαι ODM, ἀναβιῶντα ποιήσασθαι R. ‖

ἀλλ' ἐγένετό τι τοιοῦτον. ἐπειδὴ Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ Πελίου ἐδίωκεν αὐτάς, ἀποκτεῖναι θέλων ἀντὶ τοῦ πατρός· καὶ τὰς μὲν ἄλλας λαμβάνει, Ἄλκηστις δὲ φεύγει εἰς Φερὰς πρὸς Ἄδμητον ἀνεψιὸν αὐτῆς. καὶ καθεζομένην ἐπὶ τῆς ἑστίας οὐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλὴν στρατιὰν παρακαθίσας ἐπὶ τὴν πόλιν ἐπυρπόλει αὐτούς. ἐπεξιὼν δὲ ὁ Ἄδμητος νύκτωρ ἔχων καὶ λοχαγοὺς συνελήφθη ζῶν· ἠπείλει δὲ Ἄκαστος ἀποκτείνειν αὐτόν, εἰ μὴ παραδοίη τὴν ἱκέτιν οὖσαν. πυθομένη δὲ ἡ Ἄλκηστις ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτήν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκεν. τὸν μὲν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνην δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι „ἀνδρεία γε ἡ Ἄλκηστις, ἑκοῦσα ὑπεραπέθανεν Ἀδμήτου.“ τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθός φησιν. κατὰ γοῦν τὸν καιρὸν τοῦτον Ἡρακλῆς ἧκεν ἄγων ἔκ τινων τόπων τὰς Διομήδους ἵππους. τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν Ἄδμητος. ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος ἀγανακτησάμενος Ἡρακλῆς ἐπιτίθεται τῷ Ἀκάστῳ καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει, καὶ τὰ μὲν λάφυρα τῇ αὐτοῦ στρατιᾷ διανέμει, τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσιν. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὡς ἐντυχὼν Ἡρακλῆς ἐκ τοῦ θανάτου ἐρρύσατο τὴν Ἄλκηστιν. τούτων γενομένων ὁ μῦθος προσανεπλάσθη.

1. τοιόνδε τι DM. ‖ πηλίαν hic et infra bd. ‖ ἀπέκτειαν V. ‖ 2. καὶ om. DM. ‖ ἀποκτεῖναι—λαμβάνει OATDM, nisi quod ἀνταποκτεῖναι OA, vulg. οὐ λαμβάνει μέν. ‖ 4. ἄλκιστις M, ἡ δὲ ἀ. OA. ‖ φεύγει OATDM, vulg. καταφεύγει. ‖ φέρας supra adscripto ρ D, φέρρας M. ‖ πρὸς] παρ' DM. ‖ ἀνεψιὸν VbdDM, vulg. τὸν ἀ. ‖ 5. καθεζομένην R, καθεζόμενος VabdDM, καθιζόμενος c, καθεξόμενος G. ‖ ἑστίας] οἰκίας DM. ‖ 6. ἐδύνατο T. ‖ ἄκαστον ἐξαιτούμενος δ. DM. ‖ ὁ δὲ περικαθίσας στρατιὰν πολλὴν περὶ DM. ‖ 7. αὐτήν R. ‖ 8. νύκτωρ ἐ. καὶ λ. R, ν. ἐ. λ. DM, ἐ. καὶ λ. ν. vulg. ‖ 9. ἀποκτεῖναι bdDM, ἀποκτεινεῖν (ἀποκτενεῖν?) c. ‖ εἰ—οὖσαν add. ROTDM, nisi quod ἐὰν DM, παραδώσῃ O, παραδώσει TDM, vulg. om. ‖ 10. δὲ ἡ] οὖν DM. ‖ 11. μὲν om. Vc. ‖ 12. ὁ om. DM. ‖ 13. ἡ add. dDM, vulg. om. ‖ 14. τοιοῦτο—φησι om. c: τοῦτο DM, qui om. ὡς—φησί. ‖ 15. γοῦν] γὰρ T. ‖ τοῦτον τ. ν. DM. ‖ ἧκεν] εἶχεν D. ‖ ἀποχωρῶν post ἧκεν add. DM. ‖ 16. ἐκ τ. ἄγων DM: τινος τόπου bd. ‖ 17. δὲ τοῦ ἀ. DM. ‖ 18. ἀνακτησάμενος libri ut videtur omnes, corr. Galeus: f. ἀνακτησόμενος. ‖ 19. αὐτοῦ c, ἑαυτοῦ DM, vulg. αὐτοῦ. ‖ 21. ἔλεγον—ἄνθρωποι] διὸ καὶ λέγεται c. ‖ 22. ἐρύσατο V. ‖ 23. τούτων sqq. om. c. ‖ γενομένων a.

XLII. *Περὶ Ζήθου καὶ Ἀμφίονος ἱστοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος, ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν. δοκοῦσι δὲ ἔνιοι κιθαρίζειν αὐτοὺς καὶ τοὺς λίθους ἐπὶ τὸ τεῖχος αὐτομάτως ἀναβαίνειν. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. κιθαρῳδοὶ οὗτοι ἄριστοι ἐγένοντο καὶ ἐπεδείκνυντο μισθῷ. ἀργύριον δὲ οὐκ εἶχον τότε οἱ ἄνθρωποι. ἐκέλευον οὖν οἱ περὶ τὸν Ἀμφίονα, εἴ τις βούλοιτο ἀκούειν αὐτῶν, ἐπὶ τὸ τεῖχος ἐρχόμενον ἐργάζεσθαι. οὐ μέντοι οἱ λίθοι ἀκροώμενοι ἵσταντο. εὐλόγως οὖν οἱ ἄνθρωποι ἔλεγον „λύρᾳ τὸ τεῖχος ἐκτίσθη.“*

XLIII. *Περὶ Ἰοῦς. Φασὶ καὶ τὴν Ἰὼ ἐκ γυναικὸς βοῦν γεγονέναι καὶ οἰστρήσασαν ἐξ Ἄργους διὰ τῆς θαλάσσης εἰς Αἴγυπτον ἀφικέσθαι. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἰὼ βασιλέως τῶν Ἀργείων ἦν θυγάτηρ. ταύτῃ οἱ ἀπὸ τῆς πόλεως τιμὴν ἔδωκαν ἱέρειαν εἶναι τῆς Ἀργείας Ἥρας. αὕτη ἔγκυος γεγονυῖα καὶ δείσασα τὸν πατέρα καὶ τοὺς πολίτας ἔφυγεν ἐκ τῆς πόλεως· καὶ τὰ τελευταῖα ἐμπόροις τισὶ ξένοις δίδωσιν αὐτὴν καὶ ἱκετεύει ἐξάγειν εἰς Αἴγυπτον, ἔνθα ἀφικομένη τίκτει. οἱ δὲ Ἀργεῖοι κατὰ ζήτησιν ἐξιόντες, ὅπου ἀνεῦρον συλλαμβάνοντες ἐν δεσμοῖς εἶχον. ἔλεγον οὖν „ὥσ-*

XLII. vid. Eudoc. p. 202. ‖ inscr. *π. ζ. κ. ἀ.* DM, *π. ἀμφίονος* J, *π. ἀμφίωνος καὶ τῆς λύρας αὐτοῦ* T, cett. *π. ζήθου.* ‖ 2. *τῆς θήβης* DM. ‖ *ἐτείχισαν*] *ἐκτίσθη* T. ‖ 3. *ζῆθος καὶ ἀμφίων* post *ἐτ.* add. G, omisso ut videtur inscr. ‖ *ἔνιοι τῷ κ.* DM omisso *καὶ.* ‖ *αὐτοὺς*] *ἀμφίονα* R. ‖ *λ. αὐτ. ἀν. ἐ. τ. τ.* DM. ‖ 4. *ἀναβαίνοντας* V. ‖ 5. *ἐπεδ. μισθῷ* DM, *ἐπ. μισθόν* R, *ἀπεδείκνυντο* (sic et ac) *μισθόν* OAT. ‖ 6. *οἱ τότε* DM. ‖ 7. *εἴ* RDM, vulg. *καὶ εἴ.* ‖ *ἀκούειν* RT, vulg. *ἀκοῦσαι.* ‖ *αὐτῶν—ἐργάζεσθαι* RDM, vulg. *αὐτῶν ἐρχόμενος εἰργάζετο ἐπὶ τὸ τεῖχος.* ‖ 9. *ἵσταντο*] *εἵποντο* TDM: *εἶπ. ἀκρ.* T. ‖ *εὐλόγως*] *ἐν λόγῳ* DM. ‖ *οἱ—ἔλεγον*] *ὁ μῦθος προσανεπλάσθη ὅτι* c, *ἔλ. οἱ ἀ.* DM. ‖ 10. *ἐτειχίσθη* ATDM.

XLIII. vid. Eudoc. p. 243. ‖ 11. *καὶ* add. R, vulg. om. ‖ *ἐκ—ἀφικέσθαι*] *ὡς ἐκγ. βοῦς γενομένη καὶ οἰστρήσασα διὰ τῆς θαλάττης ἐξ ἄργους εἰς αἴγυπτον ἀφίκοιτο* DM. ‖ 12. *γενομένην* T. ‖ *οἰστρήσασαν* R, *ἐξοιστρήσασαν* vulg., *ἐξοίστρησαν* V. ‖ 13. *ὅπερ ἐστὶν ἀπίθανον* add. TDM, nisi quod *ἀπέθανον* T, qui et add. *τὸ καὶ τοσαύτας ἡμέρας ἄσιτον μένειν.* ‖ *ἔχει* om. DM. ‖ 14. *ταύτην* DM. ‖ 15. *τὸ*, quod vulg. est post *ἔδωκαν*, om. RDM. ‖ *εἶναι* om. DM. ‖ *ἡρ. τ. ἀργ.* DM. ‖ 16. *γενομένη* TDM. ‖ *καὶ* om. DM. ‖ 17. *καὶ—Αἴγυπτον* add. TDM, nisi quod *καὶ* om. DM, *τελευταῖον* T, *ἑαυτὴν* T, sed transposita ibi sunt post *διαφεύγει*, ut et verba *ἔνθα ἀφ. τ.* in libris omnibus, quae omnia huc reponere non dubitavi. ‖ 19. *ὅπου δ'* D. ‖ 20. *ἂν εὗρον* libri et vulg. ‖ *οὖν* RD, vulg. *δὲ.* ‖ *ὅτι*, quod vulg. est post

περ βοῦς οἰστρήσασα διαφεύγει εἰς Αἴγυπτον." ὅθεν ὁ μῦθος προσανεπλάσθη.

XLIV. Περὶ Μηδείας φασὶν ὡς ἀφέψουσα τοὺς πρεσβύτας νέους ἐποίει. ἐγένετο δὲ τοιοῦτον. Μήδεια πρώτη τοιοῦτον ἄνθος εὗρε δυνάμενον καὶ τὰς λευκὰς τρίχας ποιῆσαι μελαίνας. τοὺς οὖν γέροντας ἐκ πολιῶν μελαίνας τρίχας ἔχοντας ἐποίει φαίνεσθαι. πυρίαν οὖν πρώτη Μήδεια ἐφεῦρεν. ἐπυρίαζε γὰρ τὰ σώματα οὐκ ἐν τῷ προφανεῖ, ἵνα μή τις μάθῃ τῶν ἰατρῶν, πυριῶσα δὲ ὅρκου μηδενὶ μηνύειν. ὄνομα δὲ ἦν τῷ πυριάματι παρέψησις. ὥσπερ οὖν κουφότεροι οἱ ἄνθρωποι καὶ ὑγιεινότεροι ἐγίνοντο πυριώμενοι. ἐκ δὴ τούτου ὁρῶντες τὴν παρασκευήν, λέβητας καὶ ξύλα καὶ πῦρ, ἐνόμισαν ὡς ἕψει τοὺς ἀνθρώπους. ὁ δὲ Πελίας, ἄνθρωπος γέρων καὶ ἀσθενής, πυριώμενος ἀπέθανεν.

XLV. Περὶ Ὀμφάλης. Λέγεται ὡς λατρεύει Ἡρακλῆς ταύτῃ. ὁ δὲ λόγος μάταιος· ἐξῆν γὰρ κἀκείνης καὶ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν. ἐγένετο οὖν τοιόνδε τι. Ὀμφάλη ἦν Ἰαρδάνου θυγάτηρ, Λυδῶν βασιλέως. αὕτη ἀκού-

οὖν om. R. ‖ 1. εἰς αἰγ. om. TDM. ‖ ὅθεν] καὶ DM. ‖ 2. ἀνεπλάσθη c.

XLIV. vid. Eudoc. p. 290: cf. Theon. prog. 6, 12. ‖ inscr. π. τῆς ἀφέψεως τ. μ. RO. ‖ 3. πρεσβύτας ν. ἐπ., οὐδένα δὲ δείκνυται νέον ποιήσασα: vulg. πρεσβυτέρους. ‖ 4. τοῦτο DM: τοιοῦτο· ἡ μήδεια ἄνθος (ἄνον DM) τι πρώτη εὗρε c. ‖ 5. καὶ λευκὰς π. τὰς (om. τὰς DM) τρ. καὶ μέλαινας (μέλανας ac) VacDM. ‖ 6. γαίροντας VacG. ‖ ἐκ πολλῶν DM, ἐκ πολιᾶς VG, ἐκ τοῦ πολιὰς ac. ‖ τρίχας om. cG: ἔχειν τὰς τρ. V, ἔχειν μελ. τρ. a, ἔχειν μέλανας c. ‖ 7. φαίνων DM. ‖ παρείαν DM, sed in D corr. παρίαν. ‖ οὖν om. R. ‖ ἐφεῦρεν R, vulg. ἐξεῦρεν. ‖ 8. ἀνθρώποις ὄφελος post ἐξεῦρεν add. DM. ‖ ἐπυρίαζε γὰρ (om. γὰρ A,) τὰ σώματα RAT, ἐπυρία δὲ τοὺς βουλομένους c et vulg., cett. ἐπυρία οὖν τ. β. ‖ μηδεὶς R. ‖ 9. πυριῶσα—μηνύειν add. RDM, nisi quod πυρῶσα DM, μὴ θύειν R, qui et om. δὲ. ‖ 10. πυριάματι RAT, vulg. πράγματι. ‖ ὥσπερ οὖν RAT, vulg. οἱ γοῦν. ‖ κουφότεροι — πυριώμενοι DM, nisi quod πυριάσεων post οὖν add. D, vulg. ἄνθρωποι ταῖς πυριάσεσιν ἐγίνοντο κουφ. καὶ ὑγ. ‖ 12. τὴν om. DM. ‖ 13. ἐπείσθησαν TDM. ‖ ἕψει D. ‖ πελίας, ὅ φασιν ὑπὸ τῆς ἑψέσεως τῆς μηδείας τελευτῆσαι ἄνθ. c. ‖ 14. πυρ. ἀπ. RATDM, vulg. πυρία χρώμενος ἐτελεύτησε.

XLV. vid. Apost. 14, 49. Eudoc. p. 315. Arsen. p. 382. ‖ 15. λ. ὡς λατρεὺς τῇ ὀμφάλῃ ἐγένετο ὁ ἡρ. J, τῇ ὀμφ. λ. ὅτι ἡρ. λατρεύει c, λόγος ἦν μάταιος ὅτι ἡρ. ἐλάτρευε τῇ ὀμφ. bd, εἴρηται περὶ ταύτης ὡς ἡρ. λατρεύοι παρ' αὐτῇ DM: ὡς] ὅτι ὡς V. ‖ 16. ματ. δὲ λόγος DM: μυθώδης c. ‖ ἐξ ὧν pr. m. D, ἐξὸν cett. et vulg.: καίτοιγε ἐξὸν ἡρακλεῖ κἀκ. bd. ‖ 17. οὖν add. RDM, δὲ c: τὸ δ' ἀληθὲς τοιόνδε τι bd: τοιοῦτον D, τοιοῦτόν τι M. ‖ 18. ἦν] οὖν ἦν DM. ‖ ἰουρδάνου T,

σασα τὴν ἰσχὺν Ἡρακλέους προσεποιήθη ἐρᾷν αὐτοῦ. Ἡρακλῆς δὲ πλησιάσας ἔρωτι ἑάλω αὐτῆς· γεννᾷ δὲ ἐξ αὐτῆς υἱὸν Λαομήδην. ἡδόμενος δ' αὐτῇ ἐποίει ὅ τι ἂν προστάττοι αὐτῷ ἡ Ὀμφάλη. οἱ δὲ εὐήθεις ὑπέλαβον λατρεύειν αὐτὸν αὐτῇ. 5

XLVI. Περὶ τοῦ κέρατος τῆς Ἀμαλθείας. Φασὶν ὡς Ἡρακλῆς τοῦτο πανταχοῦ περιέφερεν· ἐξ οὗ ἐγίνετο αὐτῷ ὅσα ἐβούλετο. ἡ δὲ ἀλήθεια οὕτως ἔχει. Ἡρακλῆς ἀποδημῶν κατὰ Βοιωτίαν μετ' Ἰολάου τοῦ ἀδελφιδοῦ καταλύει ἐν Θεσπιαῖς ἔν τινι πανδοκείῳ, ἐν ᾧ ἐτύγχανε γυνὴ καλουμένη 10 Ἀμάλθεια πανδοκὶς οὖσα, ὡραία καὶ καλή. ὁ δὲ Ἡρακλῆς ἡδόμενος αὐτῇ πλείονα χρόνον ἐπεξενοῦτο. Ἰόλαος δὲ βαρέως φέρων ἐπινοεῖ τὴν ἐμπολὴν τῆς Ἀμαλθείας ἐν κέρατι κειμένην ἀφελέσθαι, ἐξ ἧς ἐμπολῆς, εἴ τι ἤθελεν, ὠνεῖτο ἑαυτῷ τε καὶ τῷ Ἡρακλεῖ. ἔλεγον οὖν οἱ συνέκδημοι „Ἡρακλῆς τὸ κέρας 15 ἔσχε τῆς Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο ὅσα βουλητέον αὐτῷ." ἐξ οὗ ὁ μῦθος προσανεπλάσθη.

[XLVII. Περὶ Ὑακίνθου διήγημα. Ὑάκινθος Ἀμυκλαῖον ἦν μειράκιον ὡραῖον καὶ καλόν. εἰς τοῦτον εἶδε μὲν

ἰορδάνου V. ‖ 2. δὲ add. RcDM: πλ. δὲ ἤρ. DM. ‖ ἐρῶν TDM. ‖ δὲ] τοιγαροῦν c. ‖ αὐτοῦ DM. ‖ 3. λαμήδη DM. ‖ ἡδομένη DM. ‖ ἂν add. R, vulg. om. ‖ προστάττοι R, cett. προστάττει. ‖ 4. αὐτῷ add. R, vulg. om. ‖ ἡ om. DM. ‖ οἱ δὲ εὐήθεις] διὸ c.

XLVI. vid. Apost. 2, 86. Eudoc. p. 254. Arsen. p. 49. ‖ 7. ἤρ. τὸ ἀμ. κέρας καλούμενον παντ. περιέφερεν T, ἤρ. παντ. περιέφερεν αὐτό DM: ἔφερε παντ. cett. et vulg. ‖ αὐτῇ V. ‖ εὐξαμένῳ post αὐτῷ add. DM. ‖ 8. ἠβούλετο DM. ‖ οὕτως ἔχει] ὧδέ πως ἔχει AT, ὧδε DM, οὕτως Va. ‖ 9. μετὰ bcdD, κατὰ a. ‖ ἀδελφοῦ DM. ‖ 10. θεσπεσίαις Vac, θεσπειαῖς DM. ‖ πανδοχεῖ Va, πανδοχείῳ c, πανδοκείων pr. m. D. ‖ ἐτύγχανε R, ἐτύγχανέ τις T, τυγχάνει DM, vulg. ἦν τις. ‖ 11. πανδοκὶς οὖσα add. D, πανδοκεύουσα OM, vulg. om. ‖ καλὴ σφόδρα DM. ‖ ἤρ. δὲ DM. ‖ 12. ἐπεξενοῦτο ROATDM, vulg. ἐξενίζετο. ‖ 13. φέρων β. d. ‖ ἐμπωλὴν hic et infra Va. ‖ 14. ἀφελέσθαι R, cett., ut videtur, ἀνελέσθαι. ‖ ἐμπολῆς in lac. om. DM. ‖ ὅ τι DM. ‖ ὠν. ἑαυτῷ τε καὶ τῷ DM, καὶ τῷ Vbd, vulg. τῷ. ‖ 15. οὖν διὰ τοῦτο οἱ c. ‖ τὸ ἀμ. κ. ἔσχεν DM. ‖ 16. δι' οὗ ὠνεῖτας DM. ‖ βουλητέον RO et Laur. ap. Bandin. 2. p. 609, βούλεται DM, cett., ut videtur, βούλοιτο ἐπ'. ‖ 17. ἐξ οὗ] ὅθεν bd, ἐκ τούτων οὖν AT et Laur., sed hic omisso προσαν.

18. quae sequuntur usque ad c. 51 soli habent VJG. ‖ XLVII. vid. Apost. 21, 19. Eudoc. p. 408. Arsen. p. 488. ‖ ἀμυκλαῖον ac. ‖ 19. ὡραῖον om bd. ‖ τοῦ-

ὁ Ἀπόλλων, εἶδε δὲ καὶ ὁ Ζέφυρος, καὶ ἄμφω κατείχοντο τῇ μορφῇ, καὶ φιλότιμος ἦν ἀφ' ὧν εἶχεν ἑκάτερος. ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος, μέλη μὲν ἦν τὰ παρ' ἐκείνου καὶ ἡδονή, φόβος δὲ τὰ παρὰ τούτου καὶ ταραχή. ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον καὶ Ζέφυρον ὑπὸ τῆς ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνασία τῷ μειρακίῳ καὶ τιμωρία παρὰ Ζεφύρου. δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας, ὑπὸ τούτου μὲν ἀφεθείς, ὑπ' ἐκείνου δὲ ἐνεχθείς. καὶ ὁ μὲν ἐτεθνήκει, τὴν δὲ Γῆν οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται καὶ τοὔνομα δέχεται. λέγουσι δ' ὅτι καὶ τῆς προσηγορίας ἐν φύλλοις ἐπιγέγραπται τὸ προοίμιον.

XLVIII. *Περὶ Μαρσύου διήγημα.* Ὁ Μαρσύας ἀγροῖκος ἦν. γίνεται δ' οὕτω μουσικός. ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλούς· οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους, ἡ δὲ πηγὴ τὴν εἰκόνα δεξαμένη τὸ συμβὰν ἐδίδαξεν. οὕτω δὲ ἐρριμένων τῶν αὐλῶν ὁ Μαρσύας ὑφίσταται. προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν, οἱ δὲ ἥδον θείᾳ δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου. τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι τὴν δύναμιν· καὶ χωρεῖ μὲν κατὰ Μουσῶν, χωρεῖ δὲ κατὰ Ἀπόλλωνος, λέγων οὐδὲ θέλειν εἶναι λοιπόν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος. ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται καὶ τὸ δέρμα μετὰ ἧττων ἐκδύεται. εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίᾳ· Μαρσύας ὄνομα τῷ ποταμῷ· καὶ ἔλεγον οἱ Φρύγες ὅτι τὸ ῥεῦμα τοῦτο ἐξ αἵματός ἐστι τοῦ Μαρσύου.

XLIX. *Περὶ Φάωνος [διήγημα].* Τῷ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλασσαν. πορθμὸς ἦν θάλασσα.

τον] ὅν c. ‖ 1. δὲ om. a. ‖ καὶ om. d. ‖ 4. τούτου] ἐκείνου bd. ‖ 5. τῆς om. cd. ‖ 8. ἐκείνου Vbc, vulg. αὐτοῦ. ‖ 9. τὴν δὲ γῆν V, vulg. τὴν γ. δὲ. ‖ 11. γίνεται, ὅ τοὔνομα—καὶ ἡ προσηγορία ἐν φ. ἐπ. (hoc et d) b. ‖ ὑποκυανίζει δὲ τὴν χρόαν τὸ ἄνθος κατάστικτον ἐν ἰνίοις post δέχεται add. c. ‖ XLVIII. vid. Apost. 12, 45. Eudoc. p. 285. Arsen. p. 348. ‖ 15. δ' οὕτω Vbd, δὲ οὗτος ac, vulg. δὲ οὕτω. ‖ 16. δὲ om. Vcd. ‖ 17. ἐδίδαξε καὶ οὕτω bd. ‖ 18. ἐφίσταται b. ‖ 19. φασι post ἥδον add. c et vulg. ‖ 22. οὐδὲ θέλειν Vacd, οὐδὲ ἐθέλειν b, vulg. οὐδ' ἐθέλειν. ‖ 24. μετὰ V, κατὰ d, vulg. μετὰ τὴν. ‖ 25. ἔστι δὲ καὶ ποταμὸς ἐν φρυγίᾳ μαρσύας καλούμενος· οἱ δὲ φρύγες, ὥς φασι, δοξάζουσι τὸ ῥεῦμα τοῦ ποταμοῦ ἐξ αἵματος εἶναι τοῦ μαρσύου c. ‖ XLIX. vid. Apost. 20, 15. Eudoc. p. 413. Arsen. p. 461. ‖ 28. θάλασσ-

ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο, ἐπεὶ καὶ μέτριος ἦν καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο. θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις. ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεός (Ἀφροδίτην λέγουσι τὴν θεόν), καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας τῷ Φάωνι διαλέγεται περὶ πλοῦ. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι. τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον, καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα. οὗτος ὁ Φάων ἐστίν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις ᾆσμα ἐποίησεν.

L. Περὶ Λάδωνος διήγημα. Ἔδοξε τῇ Γῇ Λάδωνι τῷ ποταμῷ πρὸς συνουσίαν ἐλθεῖν. καὶ ἐπεὶ συνῆλθον ἀλλήλοις, κύει μὲν ἡ Γῆ, τίκτεται δὲ ἡ Δάφνη. φιλεῖ δὲ ἐκείνην ὁ Πύθιος, καὶ ῥήματα ἦν ἐραστοῦ πρὸς τὴν κόρην. ἀλλ' ἡ Δάφνη τὴν σωφροσύνην ἐφίλει. διώκειν οὖν ἔδει, καὶ ἐδιώκετο. πρὶν δὲ ἀπειπεῖν ἐν τῇ φυγῇ, παρακαλεῖ τὴν μητέρα αὐτῆς πάλιν αὐτὴν εἴσω ποιῆσαι καὶ τηρῆσαι οἷα γεγένηται. ἡ μὲν οὖν ὧδε ἐποίει καὶ τὴν Δάφνην εἶχεν ἐν ἑαυτῇ. κατὰ δὲ τὸ μέρος ἐκεῖνο εὐθὺς ἀνεπήδα φυτόν· καὶ παραπεσὼν αὐτῷ κατὰ τὴν ἀκμὴν τοῦ ἔρωτος ὁ θεὸς οὐκ εἶχεν ὅπως ἀποστῇ τοῦ φυτοῦ, ἀλλ' αἵ τε χεῖρες ἀνελαμβάνοντο καὶ ἡ κεφαλὴ τὸ λοιπὸν ἐκοσμεῖτο. λέγεται δὲ καὶ ὁ τρίπους οὐκ ἄνευ τῆς δάφνης ἱδρύσθαι κατὰ Βοιωτίαν ἐπὶ τοῦ χάσματος.

LI. Περὶ Ἥρας [διήγημα]. Ἀργεῖοι πολιοῦχον αὐτοῖς τὴν Ἥραν ἡγοῦντο. καὶ διὰ τοῦτο καὶ πανήγυριν αὐτῇ τεταγμένην ἄγουσιν. ὁ δὲ τρόπος τῆς ἑορτῆς ἅμαξα βοῶν τὸ χρῶμα λευκῶν. ἐπὶ δὲ τῆς ἁμάξης εἶναι δεῖ τὴν ἱέρειαν, οὕτω δὲ ἔχειν ἄχρι τοῦ νεώ. τὸ δὲ ἱερὸν ἔξω τοῦ ἄστεος.

σαν c, vulg. θάλατταν. ‖ πορθμὸς ἦν θ. om c, sed post πλοῦ v. 6. add. πορθμὸς ἦν ὁ πλοῦς. ‖ 2. τοῦ] τὸ τοῦ b et vulg. ‖ 3. τοῖς om. c. ‖ θεὸς — θεόν] ἀφροδίτη c. ‖ 5. μορφήν post γεγηρ. add. bd. ‖ φ. δὲ διαλέγεται omissis περὶ πλοῦ b· ‖ 6. διακοσμίσαι V. ‖ 7. ἀπατῆσαι b. ‖ 9. ὅθεν ὅταν ἀκούσεις φάων, τῶν εὐμόρφων νοητέον post γέροντα add. c. ‖ ᾧ Vabcd, ὃν vulg. ‖ 10. ᾆσμα c, cett. αἶμα. ‖ L. 15. τὴν add. V, vulg. om. ‖ 17. οἷα a. ‖ γεγένηται Va, vulg. γεγίνηται. ‖ LI. vid. Eudoc. p. 208, ubi inscr. περὶ τοῦ τῆς ἥρας ἐν τῷ ἄργει ἱδρύματος. ‖ 25. τὴν ἥραν πολ. οἱ ἀργ. αὐτοῖς (sic et V, vulg. αὐτοῖς) ἡγ. c. ‖ 27. ἦγον c. ‖ ὁ δὲ τ. ἑ. τρ. c. ‖ 28. λευκὸν VG. ‖ ἐπὶ V, vulg. ἀπὸ. ‖ ἔδει τὴν ἱ. εἶναι c. ‖ 29. ἔχειν]

ἧκεν οὖν ποτε ὁ χρόνος φέρων τὴν ἑορτήν, ὁ δὲ νόμος ἀπὸ τῶν βοῶν οὐκ ὄντων ἐχώλευεν. ἀλλ' ἐσοφίσατο τὴν ἀπορίαν ἡ ἱέρεια, μήτηρ οὖσα νεανίσκων ἀντὶ βοῶν τῷ σχήματι γενομένων. ἐπεὶ τοίνυν τὸ παρὰ τῶν βοῶν παρὰ τῶν παίδων ἐγένετο, στᾶσα κατὰ τὸ ἄγαλμα μισθὸν ἀπῄτει τοῦ πόνου, καὶ ἔδωκε, φασίν, ἡ θεός. ὕπνος ἦν ὁ αὐτὸς καὶ τοῦ βίου πέρας γενόμενος.

LII. *Περὶ ἐφευρέσεως κογχύλης.* Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ἡρακλῆς ὁ φιλόσοφος, ὁ λεγόμενος Τύριος, ὅστις ἐφεῦρε τὴν κογχύλην. ἐωριζόμενος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου πόλεως εἶδε ποιμενικὸν κύνα ἐσθίοντα τὴν λεγομένην κογχύλην (ὅπερ ἐστὶ μικρὸν εἶδος θαλάσσιον κογχυλιῶδες), καὶ ποιμένα νομίζοντα αἱμάσσειν τὸν κύνα λαβόντα ἀπὸ προβάτου πόκον ἐρέας καὶ καταμάσσοντα τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς καὶ βάπτοντα τὸν πόκον. ὁ δὲ Ἡρακλῆς προσεσχηκὼς μὴ εἶναι αὐτὸ αἷμα, ἀλλὰ βάμματος παραξένου ἀρετήν, ἐθαύμασεν· καὶ γνοὺς ὅτι ἐκ τῆς κογχύλης ἐστὶ τὸ βάμμα τοῦ πόκου, εἰληφὼς ἐκ τοῦ ποιμένος τὸν πόκον, ὡς μέγα δῶρον τοῦτον προσήγαγε τῷ βασιλεῖ τῆς Τύρου Φοίνικι. καὶ ἐκπλαγεὶς καὶ αὐτὸς ἐπὶ τῇ θέᾳ τῆς ξένης χροιᾶς τοῦ βάμματος, θαυμάζων τὴν αὐτοῦ εὕρεσιν ἐκέλευσεν ἐξ αὐτοῦ τοῦ βάμματος τῆς κογχύλης βαφῆναι ἐρέαν καὶ γενέσθαι αὐτῷ περιβόλαιον βασιλικόν· καὶ ἐφόρεσεν αὐτὸς πρῶτος περιβόλαιον ἐκ πορφύρας, καὶ πάντες ἐθαύμασαν τὴν αὐτὴν βασιλικὴν ἐσθῆτα ὡς ξένην θέαν. καὶ ἐξ ἐκείνου ἐκέλευσεν ὁ βασιλεὺς Φοίνιξ μηδένα ὑπὸ τὴν αὐτοῦ ὄντα βασιλείαν τολμᾶν φορεῖν τὴν αὐτὴν ἐνάρετον ἐκ γῆς καὶ θαλάσσης οὖσαν φορεσίαν εἰ μήτι αὐτὸν καὶ τοὺς μετ' αὐτὸν βασιλεύοντας

ἥχειν c, fort. ἤκειν. ‖ ναοῦ c, νεοῦ a. ‖ ὅπου καὶ τὸ αὐτῆς εἴδωλον ἵδρυτο, ὃ καὶ ψαλίδα χαλκῆν ἀνεβάσταζεν, ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα, ἐπεὶ ὁ ἀὴρ καθαίρει, εἰς ὃν ἀλληγορεῖται ἡ ἥρα post ἄστεος add. c. ‖ 2. ἀλλ' ἡ ἱέρεια τ. ἀπ. ἐσοφ. μ. οὖσα νεανίσκων θύο, βίτωνος καὶ κλεόβου, ἀντὶ c. ‖ 6. ἔδωκεν c. ‖ 7. s. fin. ταῦτα παρὰ τῶν ἀργείων ἐθρυλλεῖτο add. c. ‖ LII. primus hanc fabulam ex chron. Pasch. p. 48 Par. (78 Bonn.) add. Tollius: cf. Jo. Malal. chr. p. 36. ‖

Φοινίκης, διὰ τὸ γινώσκεσθαι τὸν βασιλέα τῷ στρατῷ καὶ παντὶ τῷ πλήθει ἐκ τῆς θαυμαστῆς καὶ παραξένου φορεσίας. πρώην γὰρ οὐκ ἐγίνωσκον οἱ ἄνθρωποι βάπτειν χρόας ἱματίων, ἀλλὰ τὰς τῶν προβάτων ἐρέας, οἷαι καὶ ἦσαν, ἐποίουν ἱμάτια καὶ ἐφόρουν, καὶ οἱ βασιλεῖς δὲ τὰς αὐτὰς χρόας τῆς τυχούσης ἐρέας ἱμάτια ἐφόρουν, καὶ οὐκ εὐχερῶς ἐγνωρίζοντο τῷ ὑπηκόῳ πλήθει οἱ βασιλεῖς. λοιπὸν οἱ κατὰ τὸν τόπον βασιλεῖς ἤτοι ῥῆγες καὶ τοπάρχαι ἀκηκοότες τοῦτο, οἱ μὲν περιβόλαια, οἱ δὲ φίβλας χρυσᾶς καὶ μαντία ἐπενόησαν ἑαυτοῖς πορφύρεα ἢ ῥούσεα, βάπτοντες αὐτὰ ἀπὸ βοτανῶν, καὶ ἐφόρουν διὰ τὸ γινώσκεσθαι τῷ ἰδίῳ πλήθει, καθὼς Παλαίφατος ὁ σοφώτατος ἐξέθετο.

LIII. Περὶ σιδήρου τίς πρῶτος ἐφεῦρεν. Ὁ δὲ αὐτὸς Ἥφαιστος ἀπὸ μυστικῆς τινος εὐχῆς τὴν ὀξυλάβην ἐδέξατο ἐκ τοῦ ἀέρος εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα, ὅθεν καὶ ἐπικρατὴς σιδήρου ηὑρέθη εἰς τοὺς πολέμους. ἀπεθέωσαν οὖν αὐτὸν ὡς σωφροσύνην νομοθετήσαντα καὶ τροφὴν ἀνθρώποις διὰ κατασκευῆς ὅπλων εὑρηκότα καὶ ἐν τοῖς πολέμοις δύναμιν καὶ σωτηρίαν ποιήσαντα. πρὸ γὰρ αὐτοῦ ῥοπάλοις καὶ λίθοις ἐπολέμουν. μετὰ δὲ τὴν τελευτὴν Ἡφαίστου ἐβασίλευσεν Αἰγυπτίων ὁ υἱὸς αὐτοῦ ὀνόματι Ἥλιος ἡμέρας δυοζ', ὡς εἶναι ἔτη ιβ', μῆνας γ', ἡμέρας δ'. οὐ γὰρ ᾔδεισαν οἱ Αἰγύπτιοι τότε ἢ ἄλλοι τινὲς ἀριθμὸν ἐν τῷ ψηφίζειν, ἀλλὰ τὰς περιόδους τῶν ἡμερῶν εἰς ἔτη ἐψήφιζον. οἱ γὰρ τῶν ιβ' μηνῶν ἀριθμοὶ μετὰ ταῦτα ἐπενοήθησαν, ἐξότε ἐνομίσθη ὑποτελεῖς εἶναι τοὺς ἀνθρώπους τοῖς βασιλεῦσιν. ὁ δὲ αὐτὸς Ἥλιος βασιλεὺς ὁ υἱὸς Ἡφαίστου ἦν φιλόσοφος δυνατός, ὅστις ἐδιδάχθη παρά τινος, ὡς γυνή τις Αἰγυπτία τῶν ἐν εὐπορίᾳ καὶ ἀξίᾳ οὐσῶν παρ' αὐτοῖς ἐρῶσά τινος ἐμοιχεύετο ὑπ' αὐτοῦ. καὶ ἀκούσας ὁ Ἥλιος ἐζήτησεν αὐτὴν πιάσαι διὰ τὴν τοῦ πατρὸς αὐτοῦ Ἡφαίστου νομοθεσίαν, ἵνα μὴ λυθῇ. καὶ λαβὼν στρατιώτας ἐκ τοῦ ἰδίου στρατοῦ, μαθὼν τὸν καιρὸν τῆς μοιχείας αὐτῆς ὅτι γίνεσθαι ἔμελλε νυκτός, ἐπιρρίψας αὐτῇ, τοῦ ἀνδρὸς αὐτῆς μὴ ὄντος αὐτόθι, εὗρεν αὐτὴν μετ' ἄλλου καθεύδουσαν τοῦ ἐρωμένου

LIII. add. Tollius ex chr. Pasch. p. 45 Par. (82 Bonn.): cf. Jo. Malal. p. 25. ‖

παρ' αὐτῆς. ἥντινα εὐθέως καταγαγὼν ἐπόμπευσεν ἐν πάσῃ τῇ χώρᾳ τῆς Αἰγύπτου, τιμωρησάμενος αὐτήν. καὶ γέγονε σωφροσύνη μεγάλη ἐν τῇ γῇ τῆς Αἰγύπτου. κἀκεῖνον δὲ τὸν μοιχὸν ἀνεῖλε καὶ ηὐχαριστήθη. περὶ οὗ ἱστορεῖ ποιητικῶς
5 Ὅμηρος ὁ ποιητής, ὡς ὁ Ἥλιος, φησίν, ἤλεγξεν τὴν Ἀφροδίτην συμμιγνυμένην νυκτὸς Ἄρει. Ἀφροδίτην δὲ ἐκάλεσεν τὴν ἐπιθυμίαν τῆς πορνείας ἀπὸ τοῦ Ἡλίου βασιλέως ἐλεγχθεῖσαν. τὸ δὲ ἀληθὲς, ὡς προγέγραπται, Παλαίφατος ὁ σοφώτατος συνεγράψατο.]

5. Odyss. 8, 270.

ΗΡΑΚΛΕΙΤΟΥ

ΠΕΡΙ ΑΠΙΣΤΩΝ

I. *Περὶ Μεδούσης.* Φασὶ ταύτην ἀπολιθοῦν τοὺς θεασαμένους αὐτήν, καὶ Περσέως ἀποτεμόντος αὐτῆς τὴν κεφαλὴν ἐξελθεῖν ἵππον πτερωτόν. ἔχει δὲ οὕτως. αὕτη ἑταίρα καλὴ ἐγένετο, ὡς τὸν ἰδόντα αὐτὴν ἔκπληκτον γενόμενον οἷον ἀπολιθοῦσθαι. λέγομεν δὲ καὶ ἡμεῖς „ἰδὼν αὐτὴν ἀπελιθώθην". παραγενομένου δὲ Περσέως ἐν ἔρωτι γενομένη τά τε ὑπάρχοντα κατέφαγε καὶ τὴν ἑαυτῆς ἡλικίαν κατέφθειρεν, ἀπολέσασα δὲ τὴν ἡλικίαν καὶ τὰ ὑπάρχοντα ἵππειον γῆρας ἐγήρασεν· ἡ γὰρ κεφαλὴ τὸ τῆς ἡλικίας ἄνθος ἐστίν, ὃ ἀφείλετο αὐτῆς ὁ Περσεύς.

II. *Περὶ Σκύλλης.* Λέγεται περὶ ταύτης ὅτι κατήσθιε τοὺς παραπλέοντας. ἦν δὲ αὕτη νησιῶτις καλὴ ἑταίρα, καὶ εἶχε παρασίτους λοιμούς τε καὶ κυνώδεις, μεθ' ὧν τοὺς ξένους κατήσθιεν, ἐν οἷς καὶ τοὺς Ὀδυσσέως ἑταίρους· αὐτὸν δὲ ὡς φρόνιμον οὐκ ἠδυνήθη.

III. *Περὶ Καινέως.* Λέγεται τοῦτον πρότερον γυναῖκα γεγονέναι, εἶτα ὑπὸ Ποσειδῶνος γενέσθαι ἄνδρα ἄτρωτον χαλκῷ καὶ σιδήρῳ. οὗτος δὲ ὢν νέος ἐρώμενος ἐγένετο τοῦ Ποσειδῶνος, ἀνδρωθεὶς δὲ μέγας κατὰ ψυχὴν ἐγένετο, ὑπ'

6. ἀπολιθωθῆναι Allatius. ‖ 11. cf. Ciris v. 85 sqq. ‖ 12. νησιώτης vulg. ‖ 13. λοιμούς] f. λάβρους. ‖

οὐδενὸς καταπονηθῆναι δυνάμενος, οὔτε δώροις ἐξαλλαγῆναι χαλκοῦ καὶ σιδήρου· οὔπω γὰρ χρυσὸς καὶ ἄργυρος εὕρηται.

IV. *Περὶ Ἄτλαντος.* Οὗτος παραδέδοται φέρων τὸν
5 οὐρανὸν ἐπὶ τῶν ὤμων, ὃ ἀδύνατον ὑπὸ οὐρανὸν καὶ αὐτὸν ὄντα. ἀνὴρ δὲ σοφὸς ὢν τὰ κατὰ ἀστρολογίαν πρῶτος κατώπτευσε, προλέγων δὲ χειμῶνας καὶ μεταβολὰς ἄστρων καὶ δύσεις ἐμυθεύθη φέρειν ἐπ' αὐτῷ τὸν κόσμον.

V. *Περὶ Κενταύρων.* Λέγεται περὶ τὸ Πήλιον καὶ
10 τὴν Φολόην γεγονέναι διφυεῖς, τὰ μὲν ἐπάνω τῶν λαγόνων ἀνδρῶν ἔχοντας, τὸ δ' ἄλλο τοῦ * μέρος πᾶν ἵππων. οὐκ ἀληθὲς δὲ τοῦτο· δύο γὰρ διηλλαγμένας φύσεις εἰς ἓν συνελθούσας ἀδύνατον ζωογονηθῆναι καὶ τραφῆναι. ἀλλ' ἔτι τῆς τῶν ἵππων χρήσεως οὔσης ἀγνώστου πρῶτοι καθίσαντες ἐφ'
15 ἵππων κατέτρεχον τὰ πεδία λῃστεύοντες, φαντασίαν τε ἀπετέλεσαν τοῖς πρώτως θεασαμένοις μακρόθεν ὡς ἐκ δυοῖν εἰσι γεγονότες φύσεων.

VI. *Περὶ Πασιφάης.* Ταύτην φασὶν ἐρασθῆναι Ταύρου, οὐχ ὡς πολλοὶ νομίζουσι τοῦ κατὰ τὴν ἀγέλην ζώου
20 (γελοῖον γὰρ ἀκοινωνήτου συνουσίας ὠρέχθαι τὴν βασίλισσαν), ἑνὸς δέ τινος τῶν ἐντοπίων, ᾧ Ταῦρος ἦν ὄνομα. συνεργῷ δὲ χρησαμένη πρὸς τὴν ἐπιθυμίαν Δαιδάλῳ καὶ γεγονυῖα ἔγκυος ἐγέννησε καθ' ὁμοιότητα τοῦ Ταύρου, ὃν οἱ πολλοὶ Μίνω μὲν ἐκάλουν, ταύρῳ δὲ εἴκαζον· κατὰ δὲ σύν-
25 θεσιν Μινώταυρος ἐκλήθη.

VII. *Περὶ Τειρεσίου.* Οὗτος μετασχεῖν λέγεται τῆς γυναικείας καὶ ἀνδρείας φύσεως κατὰ τὴν αὐτὴν ὑπόληψιν, ἣν ἐπὶ Καινέως ἐγράψαμεν.

VIII. *Περὶ Ἁρπυιῶν.* Ταύτας ὁ μῦθος παραδέδωκε
30 γυναῖκας ὑποπτέρους τὸ τοῦ Φινέως δεῖπνον ἁρπαζούσας. ὑπολάβοι δ' ἄν τις ταύτας ἑταίρας καταφαγούσας τὴν τοῦ Φινέως οἰκίαν εἶναι, καὶ καταλιπούσας αὐτὸν καὶ τῆς ἀναγκαίας τροφῆς ἐνδεῆ κεχωρίσθαι ἀπ' αὐτοῦ, ἀεὶ δὲ ὅσα ἂν

1. ἐξαλλαγῆναι in cod. Vat. admodum distincte legi testis est Bast. ep. crit. p. 242, Allatius ἐξαλαστῆναι, Galeus ἐξιλασθῆναι. ‖ 8. ἐν αὐτῷ Allatius, ἐπ' ὤμων Galeus. ‖ 11. ἄλλο τοῦ μέρους Allatius: f. σώματος excidit. ‖ τῶν post πᾶν add. Galeus. ‖ 19. malim οἱ πολλοὶ. ‖

κτήσαιτο παραγινομένας ἐσθίειν καὶ αὖθις χωρίζεσθαι, ὃ σύνηθες ποιεῖν ταῖς ἑταίραις.

IX. *Περὶ Περσέως.* Τούτῳ ἱστορεῖται τὸν Ἑρμῆν πέδιλα πτερωτὰ δεδωκέναι. Ἑρμῆς γὰρ τὴν πρὸς δρόμον γυμνασίαν ἐπενόησεν, ἐν ᾗ εὐδόκιμος ἦν ὁ Περσεύς. οἱ γοῦν θεώμενοι τὸ τάχος θαυμάζοντες πτερὰ εἶπον προστεθεῖσθαι τοῖς ποσὶν αὐτοῦ, καθὼς εἰώθαμεν λέγειν ἐπὶ τῶν ταχέως τρεχόντων, ὅτι ἕπτη.

X. *Περὶ Γλαύκου τοῦ θαλασσίου.* Οὗτος θαλάσσιος ἀναφέρεται μάντις. νῆσον γὰρ οὗτος οἰκῶν αἰεὶ τοῖς παραπλέουσιν ἐσήμαινεν ὡς δεῖ ποιεῖσθαι τὸν πλοῦν, προλέγων τὰ συμβησόμενα.

XI. *Περὶ Κύκλωπος.* Τοῦτον ἄν τις ὑπολάβοι διαιτώμενον ἐπ' ἐρημίᾳ νόμων ἄπειρον εἶναι, πεποιθέναι δὲ τῇ βίᾳ, μίαν αἴσθησιν ἔχοντα τὴν ἀπὸ τῆς ὁράσεως, λογισμῷ δὲ μηδὲν προβλέποντα· ὃν ὁ σοφὸς Ὀδυσσεὺς κατεπόνησεν.

XII. *Περὶ Ἀταλάντης τῆς Σχοινέως καὶ Ἱππομένους.* Φασὶ τούτους ἀπολεοντωθῆναι ἐν τῷ ὄρει, τῆς περὶ αὐτῶν ὑπολήψεως τοιαύτης οὔσης. μεσημβρίας οὔσης εἰσῆλθον εἴς τι σπήλαιον γενέσθαι θέλοντες μετ' ἀλλήλων. κατὰ τύχην δὲ λέοντες ὄντες ἐν τῷ σπηλαίῳ κατέφαγον αὐτούς. ὕστερον δὲ τῶν θηρίων ἐξελθόντων, ἐκείνων δὲ μὴ φαινομένων, μεταμορφωθῆναι ὑπέλαβον αὐτοὺς οἱ προσεδρεύοντες.

XIII. *Περὶ Φορκίδων.* Ταύτας ὑφίστανται μιᾷ ὁράσει χρῆσθαι ἀεὶ πρὸς τὴν χρείαν μεταλαμβανούσας παρὰ τῆς ἐχούσης. εἰκὸς δέ ἐστι τρεῖς γυναῖκας τυφλωθείσας ὁδηγῷ ἑνὶ χρῆσθαι πρὸς τὴν πορείαν. ὀνόματα δὲ αὐτῶν Πεφρηδώ, Ἐννώ, Περσώ. ἐφύλαττον δὲ τὰ χρυσᾶ μῆλα.

XIV. *Περὶ Σειρήνων.* Ταύτας διφυεῖς μυθολογοῦσι, τὰ μὲν σκέλη ὀρνίθων, τὸ δὲ σῶμα γυναικῶν ἐχούσας. ἀπώλλυον δὲ τοὺς παριόντας. ἦσαν γὰρ ἑταῖραι εὐπρεπεῖς, τῇ τε δι' ὀργάνων μούσῃ καὶ γλυκυφωνίᾳ κάλλισται, αἷς οἱ προσερχόμενοι κατησθίοντο τὰς οὐσίας. ὀρνίθων δὲ σκέλη ἐλέγοντο ἔχειν, ὅτι ταχέως ἀπὸ τῶν ἀποβαλλόντων τὰς οὐσίας ἐχωρίζοντο.

14. ἐρημίᾳ Allatius, ἐρημίας Galeus. ‖ 28. Ἐννυώ vulg. ‖

XV. *Περὶ Χιμαίρας.* *Ταύτην Ὅμηρος εἰκονογραφῶν φησι „πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα.“ γένοιτο δ' ἂν τὸ ἀληθὲς τοιοῦτον. γυνὴ τῶν τόπων κρατοῦσα δύο πρὸς ὑπηρεσίαν ἀδελφοὺς εἶχεν, ὀνόματι Λέοντα καὶ Δράκοντα. παράσπονδος δὲ οὖσα καὶ ἐξενοκτόνει. ἀνῃρέθη δὲ ὑπὸ Βελλεροφόντου.*

XVI. *Περὶ Κίρκης.* *Ταύτην ὁ μῦθος παρέδωκε ποτῷ μεταμορφοῦσαν ἀνθρώπους. ἦν δὲ ἑταίρα, καὶ πατακηλοῦσα τοὺς ξένους τὸ πρῶτον ἀρεσκείᾳ παντοδαπῇ ἐπεσπᾶτο πρὸς εὔνοιαν, γενομένους δὲ ἐν προσπαθείᾳ κατεῖχε ταῖς ἐπιθυμίαις ἀλογίστως φερομένους πρὸς τὰς ἡδονάς. ἥττησε δὲ καὶ τήνδε Ὀδυσσεύς.*

XVII. *Περὶ τῶν πυριπνόων ταύρων.* *Τίς ἂν ὑπολάβοι θνητὴν φύσιν πῦρ πνέειν ἐξ αὐτῆς, ὃ πάντων ἐστὶν ἀναιρετικόν; ἄγριοι καὶ τραχεῖς ὄντες πρὸς τὴν ἀναίρεσιν τῶν ὁραθέντων ὀξεῖς ἦσαν. τὸ οὖν ἐν τάχει περὶ αὐτοὺς ἀναιρετικὸν εἰκάσθη πυρί.*

XVIII. *Περὶ ὕδρας.* *Πολυκέφαλον ἱστορεῖται θηρίον, οὐχ οὕτως ἔχοντος τἀληθοῦς. εἰκὸς δὲ νεοσσοὺς αὐτὴν ἐσχηκέναι πολλούς, οἳ συνόντες αὐτῇ καὶ [τῇ] τεκούσῃ βοηθοῦντες τοὺς προσιόντας ἀπώλλυον μετ' αὐτῆς.*

XIX. *Περὶ τῶν Σπαρτῶν.* *Τίς πιστεῦσαι δύναται ὅτι τοῦ Κάδμου σπείραντος τοὺς δράκοντος ὀδόντας ἔφυσαν ἔνοπλοι ἄνθρωποι; κρατήσας δὲ τῶν τόπων ὁ Κάδμος καὶ τὸ θηρίον ἀνελών, δι' ὃ συνέβαινεν ἔρημον εἶναι τὸν τόπον, τοὺς σποράδην οἰκοῦντας εἰς ἓν συνήγαγεν, οἳ ὄντες ἔνοπλοι καὶ θηριώδεις διηνέχθησαν εὐθὺς πρὸς ἀλλήλους καὶ πλὴν ὀλίγων πάντες ἀπώλοντο.*

XX. *Περὶ τῶν χρυσῶν μήλων.* *Δράκοντά φασι τὰ τῶν Ἑσπερίδων χρυσᾶ μῆλα φυλάττειν. ἀνὴρ δὲ ἐγένετο Δράκων, ὃς ἐκ τῆς ἐπιμελείας τῶν δένδρων πολὺν ἐσώρευσε χρυσόν. τοῦτον διαπρεπεῖς ἐθήρευσαν γυναῖκες, καὶ ταῖς*

1. Homer. Iliad. 6, 181. ‖ 2. ὄπισθε et μέση Allatius. ‖ 13. ὑπολάβοι idem. ‖ 20. τῇ videtur excidisse. ‖ 23. τοῦ post τοὺς add. Galeus. ‖ 24. τόπων] f. Θηβῶν, sed vid. c. 15. ‖

ἐρωτικαῖς ἐπιθυμίαις ἐνδήσασαι τὴν ψυχὴν αὐτοῦ πρὸς τὸ λοιπὸν ὑπηρέτην ἔσχον καὶ φύλακα τοῦ κήπου.

XXI. Περὶ τῶν ἐν Ἅιδου. Λέγεται ὡς Ἡρακλῆς κατελθὼν ἀνῆλθεν ἀναγαγὼν τὸν Κέρβερον, καὶ Ὀρφεὺς ὡσαύτως Εὐρυδίκην τὴν γυναῖκα. τὸ δ' ἀληθὲς ὅτι, ὁπηνίκα τις 5 ἐκ μακρᾶς ἀποδημίας καὶ ἐπικινδύνου διατλήσας ἐσώθη, ἔφασκον ἐξ Ἅιδου αὐτὸν διασεσῶσθαι. ὅθεν ἔτι καὶ νῦν τοὺς μακροὺς πόνους καὶ παραβόλους ὁδοὺς καὶ ἐπισφαλεῖς νόσους φεύγοντας φάσκομεν ἐξ Ἅιδου σεσῶσθαι.

XXII. Περὶ Φαέθοντος. Οὗτος Ἡλίου ὢν υἱὸς ἐπε- 10 θύμησεν εἰς τὸ τοῦ πατρὸς ἅρμα ἀναβὰς διφρεῦσαι. ἀπείρως δὲ τοῦτο ποιοῦντος καὶ τῶν ἀνθρώπων ἀπολλυμένων ὑπὸ τοῦ καύματος ὁ Ζεὺς αὐτὸν ἐκεραύνωσεν.

XXIII. Περὶ Ὀρφέως. Οὗτος κινεῖν λέγεται καὶ πέτρας καὶ δένδρα καὶ θήρας οἰωνούς τε. εἴποι δ' ἄν τις 15 ἀληθῶς ὅτι θηριώδεις ὄντας τοὺς ἀνθρώπους καὶ οὔτε ἔθη οὔτε νόμους εἰδότας εἰς δεισιδαιμονίαν ἀγαγὼν καὶ ἐπὶ τὸ εὐσεβεῖν παρακαλέσας, πετρώδεις ὄντας καὶ θηριώδεις διὰ τῶν λόγων κηλήσας, ταύτης τῆς φήμης ἔτυχεν.

XXIV. Περὶ Ἕλλης καὶ Φρίξου. Ἡνίκα τὴν Ἰνοῦς 20 ἐπιβουλὴν μητρυιᾶς οὔσης ἔφευγον Ἕλλη καὶ Φρίξος, ὁ παιδαγωγός, ᾧ ἦν Κριὸς ὄνομα, ἐπὶ πλοιαρίῳ μικρῷ χειμῶνος ὄντος ἔφυγεν ἔχων αὐτούς· καὶ συμβαίνει τὴν μὲν Ἕλλην ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ὅθεν ἐκλήθη Ἑλλήσποντος, τοῦ δὲ Φρίξου σωθέντος ἐπιθυμητικῶς ἔχειν τὸν Αἰήτην, τὸν δὲ 25 Κριὸν διακωλύοντα καὶ πειρώμενον ἄφθορον διατηρῆσαι τὸν Φρίξον ἀποδαρθῆναι, καὶ τὸ δέρμα αὐτοῦ προσπασσαλευθῆναι, χρυσοῦν δὲ προσαγορευθῆναι διὰ τὸ πιστότατον γεγενῆσθαι.

XXV. Περὶ Πάνων καὶ Σατύρων. Ἐν ὄρεσι 30 καταγινόμενοι καὶ γυναικῶν ἄπειροι ὄντες, ὅταν τις παρεφάνη γυνή, κοινῶς αὐτῇ ἐχρῶντο. τράγων δὲ τρίχας καὶ σκέλη ἐδόκουν ἔχειν διὰ τὴν περὶ τὰ λουτρὰ ἀμέλειαν καὶ τὴν περὶ ταῦτα δυσοσμίαν, καὶ διὰ τοῦτο Διονύσου φίλοι· τὴν γὰρ ἐργασίαν τῶν ἀμπέλων ἐποίουν. καὶ νῦν 35

20. Ἰοῦς vulg. | 22. πλοιαρίῳ μικρῷ Allatius, πλοιαρίου μικροῦ Galeus. |

δὲ ἔτι τὰς εἰς πλῆθος γυναῖκας λέγομεν ὅτι ἐπανεύομεν αὐτάς.

XXVI. Περὶ Ἀσκληπιοῦ. Λέγουσιν αὐτὸν κεκεραυνῶσθαι. εἴη δ' ἂν πιθανώτερον οὕτω. ἰατρικὴν νικήσας καὶ ὑψώσας αὐτὸς ὑπὸ πυρετοῦ φλεχθεὶς ὤλετο· ὅθεν διὰ τὴν φλεγμονὴν αὐτὸς κεραυνωθῆναι λέγεται.

XXVII. Περὶ τῆς τοῦ Ἅιδου κυνέης. [Λέγεται] ὅτι ὁ τὴν Ἅϊδος κυνῆν, ὡς καὶ ὁ Περσεύς, περιθέμενος ἀόρατος ἐγίνετο. ἔστι δὲ κυνῆ Ἅϊδος τὸ τέλος εἰς ὃ ἀπελθὼν ὁ τετελευτηκὼς ἀόρατος γίνεται.

XXVIII. Περὶ Βορέου καὶ Ὠρειθυίας. Λέγεται δὲ ὅτι Βορέας Ὠρείθυιαν ἥρπασεν. ἦν δὲ βασιλεὺς τῶν τόπων ἐκείνων. ἡ δὲ αὐτὴ ὑπόληψις καὶ μέθοδος καὶ περὶ Διὸς καὶ Γανυμήδους· βασιλεύων γὰρ ἁρπάζει τὸν Γανυμήδην ἀετὸς γενόμενος, ὅτι καὶ τὸ ζῶον ἄλκιμον. ὁ δ' αὐτὸς τρόπος καὶ περὶ Ἠοῦς καὶ Τιθωνοῦ, καὶ Ἀγχίσου καὶ Ἀφροδίτης.

XXIX. Περὶ Πρωτέως. Λέγεται ὅτι ἐγένετο ποτὲ μὲν ὕδωρ ποτὲ δὲ πῦρ, δηλονότι τοῖς μὲν χρηστοῖς ὡς ὕδωρ, τοῖς δὲ πονηροῖς κατ' ἀξίαν τιμωρητικός. ὅθεν ταύτην τὴν φήμην περὶ αὐτοῦ διέσπειραν.

XXX. Περὶ τοῦ κυνὸς καὶ τῆς ἀλώπεκος. Τῷ μὲν κυνὶ τοῦ Κεφάλου δεδομένον εἶναί φασιν γέρας, ὃ ἂν ἴδῃ θηρίον καταλαμβάνειν, τῇ δὲ ἀλώπεκι ὑπὸ μηδενὸς καταλαμβάνεσθαι. διώκοντος οὖν τοῦ κυνὸς τὴν ἀλώπεκα, ἵνα μὴ λυθῇ τὸ πεπρωμένον, τοὺς δύο λίθους ὁ Ζεὺς ἐποίησεν. εἴη δ' ἂν τὸ τοιοῦτον πλάσμα παρὰ τὴν τῶν ἀμφοτέρων κατὰ τὸν διωγμὸν πλάνην.

XXXI. Περὶ τῶν Διομήδους ἵππων. Φασὶ ταύτας ἀνθρωποφάγους εἶναι. ἄγριαι δὲ ἦσαν νομάδες, οὐ δυναμένου δέ τινος αὐτὰς ὑφ' ἅρμα ζεῦξαι ὁ Ἡρακλῆς ἔζευξεν.

XXXII. Περὶ Καλυψοῦς καὶ Ὀδυσσέως. Ἄλογον θνητὸν ὄντα Ὀδυσσέα αὐτὴν ἐπαγγέλλεσθαι ποιήσειν ἀθάνατον, ἀλλὰ τὸ τὰ πρὸς τροφὴν καὶ πρὸς βίου ἀπόλαυσιν ἄφ-

4. νικήσας] malim ἀσκήσας. ‖ 7. λέγεται videtur excidisse. ‖

θονα καὶ λαμπρὰ ἕξειν. ὅθεν καὶ ἡμεῖς, ὅταν πῃ κληθῶμεν καὶ λαμπρῶς εὐωχώμεθα, ἐν θεοῖς φαμεν γεγονέναι.

XXXIII. *Περὶ Κερβέρου.* Τοῦτο ἂν εἴη ὃ καὶ ἐπὶ τῆς ὕδρας. οὗτος γὰρ εἶχε δύο σκύμνους, ὧν ἀεὶ συμβαδιζόντων τῷ πατρὶ ἐφαίνετο εἶναι τρικέφαλος. 5

XXXIV. *Περὶ Λαμίας.* Ἱστοροῦσιν ὅτι Διὸς αὐτῇ συμμιγέντος Ἥρα ἀπεθηρίωσεν αὐτήν, καὶ ὅτι, ἡνίκα ἂν μανῇ, τοὺς ὀφθαλμοὺς ἐξαιρεῖ καὶ εἰς κοτύλην βάλλει, καὶ ὅτι σαρκοφαγεῖ καὶ ἀνθρώπους ἐσθίει. εἴη δ' ἂν τάδε. καλῇ αὐτῇ οὔσῃ ὁ Ζεὺς ἐπλησίασεν βασιλεύων, Ἥρα δὲ συν- 10 αρπάζουσα αὐτὴν τοὺς ὀφθαλμοὺς ἐξώρυξε καὶ εἰς τὰ ὄρη ἔρριψεν· ὅθεν ἐπιπόνως ἔζη ἐπικουρουμένη οὐδέν, ἐπὶ ταῖς ἐρημίαις καταγινομένη αὐτή, καὶ διὰ τὸ ἄλουτος καὶ ἀθεράπευτος εἶναι ἐδόκει θηρίον ὑπάρχειν.

XXXV. *Περὶ Πρόκνης καὶ Φιλομήλας* [*καὶ Τη-* 15 *ρέως*]. Ἱστοροῦνται ὄρνιθες γενέσθαι, ἡ μὲν χελιδών, ἡ δὲ ἀηδών, ὁ δὲ ἔποψ. τοῦτο δ' ἂν ἔχοι οὕτως. ἀποκτείνασαι τὸν Ἴτυν καὶ πορθήσασαι τὸν οἶκον, εἴς τι πλοιάριον ἐμβᾶσαι ταχεῖαν τὴν φυγὴν ἐποιήσαντο· ὁ δὲ Τηρεύς, ἐπεὶ διώξας οὐ κατέλαβεν αὐτάς, αὐτὸν ἀναιρεῖ. ὅθεν οἱ ἄνθρωποι 20 οὐ φαινομένων αὐτῶν διὰ τὸ ἐξαίφνης ἀφανεῖς γενέσθαι εἶπον ὅτι ἀπωρνιθώθησαν.

XXXVI. *Περὶ τῶν Ἡλιάδων.* Ταύτας φασὶν ἐξ ἀνθρώπων αἰγείρους γενέσθαι. οὐ τοῦτο δέ, ἀλλὰ διὰ τὸ πάθος τοῦ ἀδελφοῦ εἰς τὸν Ἠριδανὸν αὐτὰς ἔβαλον· διὸ 25 οἱ ζητοῦντες ἐπὶ τὸν ποταμὸν παραγενόμενοι καὶ τὰς μὲν οὐχ εὑρόντες, τρία δὲ στελέχη αἰγείρων, ὑπέλαβον αὐτὰς ἀποδενδρωθῆναι. ὄνομα δὲ αὐταῖς Φοίβη, Λαμπετώ, Αἴγλη.

XXXVII. *Περὶ Πανόπτου.* Τοῦτον πάντα βουλόμενον ἀκούειν καὶ ὁρᾷν ἐν παντὶ τῷ σώματι ὀφθαλμοὺς 30 ἔχειν ἐπλάσαντο. ὅθεν ἔτι καὶ νῦν τοὺς τοιούτους Πανόπτας καλοῦμεν.

XXXVIII. *Περὶ Ἐνδυμίωνος καὶ Σελήνης.* Λέγεται ὅτι καθεύδοντος αὐτοῦ Σελήνη ἐρασθεῖσα καταβᾶσα

3. f. ταὐτὸ. ‖ 8. vulg. ἐξαίρειν et βάλλειν. ‖ 12. ὑπὸ ταῖς ἐρημίαις Allatius, ἐπὶ τῆς ἐρημίας Galeus: praeterea videtur scribendum καὶ ἐπὶ aut ἐπὶ δὲ. ‖ 15. Φιλομήλης vulg. ‖ addidi καὶ Τηρέως. ‖ 28. vulg. Φόβη. ‖

ἐμίγη αὐτῷ. εἴη δ' ἂν ὁ μὲν Ἐνδυμίων ποιμὴν ἄπειρος γυναικός, ἐπιθυμητικῶς δὲ σχοῦσα γυνὴ αὐτοῦ, ἐρωτηθεῖσα παρά τινος τίς εἴη, ἔφη „Σελήνη."

XXXIX. Περὶ τῶν Ἡλίου βοῶν. Περὶ τούτων οὕ-
5 τως εὗρον ἀλληγορημένον ἐν Ἰλιάδι. οὐκ ἐξῆν τοῖς ἀρχαίοις ἱεροθυτεῖν βοῦς ἐργάτας. καὶ τοῦτό φησι μὲν καὶ Ἄρατος, δῆλον δὲ καὶ ἐξ αὐτῆς τῆς ποιήσεως. φησὶ γὰρ Ἑκάβη πρὸς Ἀθηνᾶν·

σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἤνιν, εὐρυμέτωπον,
10 ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.

οὐ μόνον δὲ * ἀλλὰ καὶ Ἡλίου βόας τούτους ἐκάλουν ὡς τὴν γῆν ἐργαζομένους καὶ ἡμᾶς τρέφοντας. οἱ δὲ τοῦ Ὀδυσσέως ἑταῖροι οὐχ Ἡλίου βοῦς, ἀλλὰ τοὺς ἐργάτας θαινηθέντες

15 σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἐπέσπον.

5. Ἰλιάδι] immo Ὀδυσσείᾳ. vid. Od. 12. 260 sqq. ‖ 6. Arat. phaen. 132. ‖ 8. Ἑκάβη] immo Διομήδης. vid. Iliad. 10, 292 sq. ‖ 9. βοῦν ῥέξω Allatius. ‖ 15. Odyss. 1, 34, ubi nunc ἔχουσιν pro ἐπέσπον legitur: σφίσιν Allatius.

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΑΠΙΣΤΩΝ

I. *Περὶ τῶν ἀρχαιοτάτων ἀνθρώπων.* Ἰστέον ὅτι ἀρχαιοτάτους ἀνθρώπων οἱ μὲν Αἰγυπτίους, οἱ δὲ Φρύγας φασίν, Ἑλλήνων δὲ ἀρχαιοτάτους Ἀθηναίους καὶ τοὺς πρὶν Πελασγούς, νῦν δὲ Ἀρκάδας. ἐν δὲ πόλεσι τήν τε Ἀθηναίων ἀκρόπολιν ὑπὸ Κέκροπος τοῦ αὐτόχθονος κτισθεῖσαν τοῦ διφυοῦς, καὶ δευτέραν τὴν ὑπὸ Φορωνέως τοῦ Ἰνάχου κτισθεῖσαν, τρίτην δὲ Ἤτωνος ἐν Θεσσαλίᾳ ὑπὸ Δευκαλίωνος τοῦ Προμηθέως.

II. *Τὰ ἑπτὰ θεάματα.* α' ὁ ἐν Ὀλυμπίᾳ Ζεὺς πήχεων λς', β' ὁ τῆς Ἐφεσίων Ἀρτέμιδος ναός, γ' ὁ ἐν Δήλῳ κεράτειος βωμός, ὃς λέγεται γενέσθαι ἐκ θυμάτων τοῦ θεοῦ μιᾶς ἡμέρας δεξιῶν κεράτων, δ' τὸ Μαυσώλειον τὸ ἐν Ἁλικαρνασσῷ, ε' αἱ ἐν Αἰγύπτῳ πυραμίδες, ὧν ἡ μείζων πήχεις ἔχει τετρακοσίας, ς' τὰ Βαβυλώνια τείχη, ζ' ὁ ἐν Ῥόδῳ κολοσσὸς πήχεων ἑβδομήκοντα, ὃν ἐποίησε Χάρης ὁ Λίνδιος. τινὲς δὲ τάττουσι καὶ τὸν ἐν Ἐπιδαύρῳ Ἀσκληπιὸν καὶ τὸν ἐν Παρίῳ βωμὸν καὶ τοὺς κρεμαστοὺς κήπους καὶ τὴν ἱσταμένην Ἀθηνᾶν ἐν Ἀθήναις καὶ τὰ Κύρου βασίλεια.

III. *Περὶ τοῦ χρυσοῦ δέρους.* Ὅτι τὸ ἐν Κόλχοις φυλασσόμενον οὐκ ἦν δέρας ἀληθῶς χρυσοῦν (τοῦτο γὰρ

7. f. Ἴτωνα s. Ἴτωνον. ‖ 12. Μαυσώλιον Allatius. ‖ 15. Χάρις Allatius. ‖ 19. leguntur haec etiam ap. Eudoc. p. 108, Suid. et Phavor. s. v. δέρας. ‖

ποιητικευόμενόν ἐστιν), ἀλλὰ βιβλίον ἐν δέρμασι γεγραμμένον περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χυμείας χρυσόν. εἰκότως οὖν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ διὰ τὴν ἐξ αὐτοῦ ἐνέργειαν.

5 IV. Περὶ Ἰλίου. Ὅτι τὸν Ἀπόλλωνα καὶ τὸν Ποσειδῶνα λέγουσι τειχίσαι τὴν Ἴλιον. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ὁ Λαομέδων ἐτείχισε τὴν πόλιν οὐχ ὁσίως. ἦν δὲ ἐν τῇ ἀκροπόλει ἱερὸν Ἀπόλλωνος καὶ Ποσειδῶνος διαφερόντως τιμώμενον, ὅθεν συλῶν ἀνήλισκε τὰ χρήματα εἰς τὴν τοῦ τείχους
10 κατασκευήν.

V. Περὶ Ἀχελῴου. Ὅτι φασὶ τὸν Ἡρακλῆ μονομαχῆσαι τῷ Ἀχελῴῳ. ἔχει δὲ οὕτω. ῥέων ὁ Ἀχελῷος μεταξὺ Θεσπρωτῶν καὶ Κουρήτων πολλὰ τῆς χώρας ἀπετέμνετο, ποτὲ μὲν τούτοις ποτὲ δὲ ἐκείνοις προστιθείς, ἐφ' ᾧ καὶ νεῖ-
15 κος ἦν ἑκατέροις κρατερόν. Ἡρακλῆς οὖν ἐλθὼν ἐπίκουρος Αἰτωλοῖς ὑπέρτερος τῶν Κουρήτων ἐγένετο, καὶ τὸν ποταμὸν κατακλείσας εἰς ἓν ῥεῖθρον καὶ μίαν ἐκβολὴν ἐκρατύνατο τοῖς Αἰτωλοῖς τὴν γῆν καὶ τὴν Οἰνέως Δηιάνειραν ἔλαβεν.

VI. Περὶ Κερβέρου. Ὅτι Κέρβερος ὁ Ἀϊδωνέως ἦν
20 βασιλεὺς Θεσπρωτῶν, ὃν νυκτὸς ὑφελόμενοι κλῶπες ὑπὸ σπήλαιον ἔκρυψαν ἀφεγγές. ὁ δὲ Ἡρακλῆς τοῦτον ἀνελόμενος Εὐρυσθεῖ ἔδωκεν.

VII. Περὶ Πασιφάης. Πασιφάη ἐρῶσα νεανίσκου ἐπιχωρίου ξυλλήπτορα ποιεῖται τὸν Δαίδαλον καὶ ὑπουργὸν
25 ποιεῖται τῷ ἔρωτι, καὶ εἰωθυῖα καὶ πρὶν ὅτε τι ἐργάζοιτο ἐπισκοπεῖν, εἴδωλον βοὸς τεκταίνοντος περικαλλὲς καὶ εἰς τὰ μάλιστα ζώσῃ ἐοικός, συνετῶς εἰς τὸν Δαιδάλου οἶκον ἰοῦσα καὶ τότε διὰ θέαν τῆς βοὸς ξυνῆν τῷ ἐρωμένῳ, ὥστε ἐπάϊστος ἐγένετο. τὰ δὲ ἱστορούμενα μυθικά.

30 VIII. Περὶ τῆς Χιμαίρας. Περὶ τῆς Χιμαίρας οὕτω φησὶ Πλούταρχος ἐν τῷ μονοβίβλῳ τῷ περὶ ἀρετῆς γυναικῶν. τὴν Χίμαιραν ὄρος ἀντήλιον γεγονέναι φησί, καὶ ποιεῖν ἀνακλάσεις καὶ ἀνακαύσεις ἐν τῷ θέρει χαλεπὰς καὶ πυρώδεις, ὑφ' ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων μαραίνεσθαι τοὺς

26. βοῶν vulg. ‖ 27. f. συνεχῶς. ‖ 28. ὥστε] f. ἔστε. ‖ 31. Plut. d. mul. virt. p. 248. C. ‖ 33. θέρει] hinc corrigendum ὄρει ap. Plut. ‖

καρπούς, τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα διακόψαι τοῦ κρημνοῦ τὸ λειότατον καὶ μάλιστα τὸ τὰς ἀνακλάσεις ἀποστέλλον.

IX. Περὶ Ναρκίσσου. Λέγεται περὶ αὐτοῦ, ὡς ἐν ὕδατι τὴν ἑαυτοῦ σκιὰν ἰδὼν καὶ ἐρασθεὶς ἥλατο εἰς τὸ ὕδωρ, ἐφ' ᾧ τὴν αὐτοῦ σκιὰν περιπτύξασθαι, καὶ οὕτως ἀπεπνίγη. οὐκ ἀληθὲς δὲ τοῦτο. οὐ γὰρ εἰς ὕδωρ ἀπεπνίγη, ἀλλ' ἐν τῇ ῥευστῇ τοῦ ἐνύλου σώματος φύσει τὴν ἑαυτοῦ θεασάμενος σκιάν, ἤτοι τὴν ἐν τῷ σώματι ζωήν, ἥτις ἐστὶ τὸ ἔσχατον εἴδωλον τῆς ὄντως ψυχῆς, καὶ ταύτην ὡς οἰκείαν περιπτύξασθαι σπουδάσας, τουτέστι τὴν κατ' αὐτὴν ζωὴν ἀγαπήσας, ἀπεπνίγη γεγονὼς ὑποβρύχιος, ὡς φθείρας τὴν ὄντως ψυχήν, ταὐτὸν δὲ εἰπεῖν τὸν ὄντως ἑαυτῷ προσήκοντα βίον. ὅθεν καὶ παροιμία τις φάσκει, δεδιὼς τὴν σαυτοῦ σκιάν. διδάσκει δὲ δεδιέναι τὴν περὶ τὰ ἔσχατα ὡς πρῶτα σπουδὴν ὄλεθρον ἡμῖν ἐνάγουσαν τῆς ψυχῆς ἤτοι ἀφανισμὸν τῆς ἀληθοῦς τῶν πραγμάτων γνώσεως καὶ τῆς προσηκούσης αὐτῇ κατ' οὐσίαν τελειότητος. οὕτως ὁ εἰς τὰς παρὰ Πλάτωνι παροιμίας γράψας.

X. Περὶ Ἀλεξάνδρου. Ἰστέον ὅτι Ἀλέξανδρος ὁ καὶ Πάρις οὐκ ἔκρινε τὰς θεάς, ἀλλὰ σοφὸς γεγονὼς ἐγκώμιον εἰς αὐτὰς ἐποίησεν, ὅθεν ἐδόθη μῦθος, κρίναι αὐτὸν μεταξὺ Παλλάδος καὶ Ἥρας καὶ Ἀφροδίτης.

XI. Περὶ Πανός. Φησὶ Πολύαινος ἐν τοῖς στρατηγικοῖς, ὅτι πρῶτος οὗτος τάξιν εὗρε καὶ φάλαγγα ὠνόμασε [καὶ] κέρας ἔταξε δεξιὸν καὶ λαιόν. ταύτῃ ἄρα κερασφόρον πλάττουσι. καὶ πρῶτος πολεμίοις φόβον ἐνέβαλε σοφίᾳ καὶ τέχνῃ. μετὰ γὰρ μυρίαν χεῖρα πολεμίων ἐπάγεσθαι τῷ Διονύσῳ ἐκ τῶν σκοπῶν, τοῦ Διονύσου δείσαντος αὐτὸς ὅμως οὐκ ἔδεισεν, ἀλλ' ἐσήμαινε νύκτωρ τῇ Διονυσιακῇ στρατιᾷ ἀλαλάξαι μέγιστον· οἱ μὲν οὖν ἐσάλπισαν καὶ ἠλάλαξαν, ἀντήχησαν δὲ αἱ πέτραι καὶ τὸ κοῖλον τῆς νάπης· οἱ μὲν οὖν πολέμιοι φόβῳ πληγέντες ἔφυγον, τοῦ δὲ Πανὸς τὸ στρατή-

3. ἀνταποστέλλον corr. ex Plut.: Allatius ἀποστέλλειν. ‖ 5. ἥλλατο Allatius. ‖ 18. cf. Schneidewini praef. ad corp. paroemiogr. 1. p. XVIII. ‖ 24. Polyaen. strat. 1, 2. ‖ 26. καὶ videtur excidisse. ‖ 28. μετὰ] si non maior est lacuna, ex Polyaeno et ipso corrupto explenda, malim scribi μαθὼν. ‖

γημα τιμῶντες τὴν Ἠχὼ τῷ Πανὶ φίλην ᾄδομεν καὶ τοὺς νυκτερινοὺς φόβους Πανικοὺς κληΐζομεν.

XII. Περὶ Ἐνδυμίωνος. Ὅτι πρῶτος Ἐνδυμίων τῇ περὶ τοὺς ἀστέρας ἐσχόλασε θεωρίᾳ, ὡς ἀγρυπνεῖν τὴν πᾶσαν νύκτα καὶ τὰς ἡμέρας ἐπὶ πλεῖον καθεύδειν. διὸ καὶ ἐρώμενος εἶναι λέγεται τῆς Σελήνης, ὡς ὑπάρχων αὐτῇ τούτου ἕνεκα προσφιλής. οὕτω Πλάτων.

XIII. Περὶ Φαέθοντος. Λέγεται δὲ καὶ περὶ Φαέθοντος ὡς Ἡλίου ἦν υἱός. ἔχει δὲ οὕτως. ὁ Φαέθων τὸν τοῦ ἡλίου δρόμον ἐτεκμήρατο, ὡς τὸν τῆς σελήνης Ἐνδυμίων, οὐ μέντοι ἀτρεκέως, ἀλλὰ ἀτελῶς τὸν λόγον ἀπολιπὼν ἀπέθανεν. καὶ ὁ Βελλεροφόντης πτηνὸς, καὶ ὡς ὁ μῦθος, οὐκ ἐγένετο, ἀλλὰ τὴν ἀστρονομίαν μετιών, ὑψηλά τε φρονῶν καὶ ἄστροις ὁμιλῶν εἰς οὐρανὸν οὐ τῷ ἵππῳ, ἀλλὰ τῇ διανοίᾳ ἀνέβη.

XIV. Περὶ Ἰκάρου. Καὶ ὁ Ἴκαρος νεότητι καὶ ἀτασθαλίᾳ χρώμενος οὐκ ἐπιεικτὰ ζητῶν, ἀλλὰ πολὺ ἀρθεὶς τῷ νῷ, ἐξέπεσε τῆς ἀληθείας καὶ παντὸς ἀπεσφάλη τοῦ λόγου, καὶ εἰς πέλαγος κατηνέχθη ἀβύσσων πραγμάτων, ὃν Ἕλληνες ἄλλως μυθολογοῦσι, καὶ κόλπον ἀπ' αὐτοῦ Ἰκάριον πλάττουσιν.

XV. Περὶ Ἰοῦς καὶ Ἄργου. Ἰὼ ἡ Ἀρέστορος ἱερᾶτο τῇ Ἥρᾳ. πρὸ γάμου δὲ κυήσασαν γνοὺς ὁ πατὴρ (οὐ γὰρ ἔτι αὐτῇ ἡ ὄψις παρθένιος ἦν, ἀλλ' ὑπὸ τῆς ἀφροδισίου ἀκμῆς μείζων καὶ καλλίων αὐτῆς ἐφαίνετο, ὡς καὶ βοῦς ὑπὸ τῶν Ἀργείων ἐπονομάζεσθαι) ἐχαλέπαινέ τε καὶ ἐν φρουρᾷ εἶχεν αὐτήν, φύλακα ἐπιστήσας αὐτῇ τὸν τῆς μητρὸς ἀδελφὸν Ἄργον. καὶ ὁ μὲν Ἄργος ἄϋπνος ὢν καὶ πάντη ἄφυκτος οὐδαμῶς αὐτὴν ἀνίει, ὅθεν καὶ Πανόπτης ἔσχεν ἐπίκλησιν. τῶν δὲ ἐπιχωρίων Ἑρμάων βουλομένης Ἰοῦς λαθὼν κτείνει τὸν Ἄργον, ἡ δὲ Ἰὼ ἐλευθερωθεῖσα φεύγει σὺν τοῖς πράξασιν ἐπιβᾶσα νεὼς φορτίδος, ὑπὸ δὲ χειμῶνος φορηθεῖσα ἀνὰ τὸ πέλαγος, ὃ καλεῖται Ἰόνιον, καὶ πολλαχοῦ προσπελασθεῖσα

12. f. καθὼς, nisi post καὶ aut μῦθος aliquid excidit, quo ducit Pindar. Isthm. 7, 44. ‖ 22. ἱερᾶτο] vulg. ἠρᾶτο: cf. Apollod. 2. 1, 3. Palaeph. fab. 43. ‖ 27. φύλακα et αὐτῇ legi in cod. Vat. testis est Bast. ep. crit. p. 170, vulg. φυλάξαι et αὐτὴν. ‖

εἰς Ἀερίαν ἐκομίσθη καὶ θεὸς ἐνομίσθη διὰ τὸ κάλλος. οὕτω Χάραξ ἐν Ἑλληνικοῖς.

XVI. Περὶ Διονύσου. Ὁ Χάραξ οὕτω φησίν, ὅτι Σεμέλη ἡ Κάδμου θυγάτηρ λέγεται κυῆσαι πρὸ γάμου· ἐν δὲ ταῖς γοναῖς κεραυνοῦ κατασκήψαντος αὐτὴ μὲν ἠφανίσθη, 5 τὸ δὲ βρέφος περιεγένετο. ἐκείνην μὲν οὖν, ὁποῖα ἐπὶ τοῖς διοβλήτοις λέγεται, θείας μοίρας λαχεῖν ᾠήθησαν καὶ Θυώνην ὠνόμασαν, τὸν δὲ παῖδα θειότατον ὄντα ὁ Κάδμος, διότι ἐκ πυρὸς ἐσώθη, περιεῖπε, καὶ τίθεται αὐτῷ Αἰγυπτίου Διονύσου πάτριον ὄνομα. Ἀλέξανδρος δὲ ὁ Ἀφροδισιεὺς ἐν τοῖς 10 φυσικοῖς οὕτω φησίν, ὡς οὐκ ἀσκόπως μυθεύονται, ἕπεσθαι Βάκχην τῷ Διονύσῳ διὰ τὴν ἐκ τοῦ οἴνου χρείαν, Σατύρους δὲ διὰ τὴν εὐκινησίαν, Λυδοὺς δὲ διὰ τό τινας ἐξ αὐτοῦ ἐκλύεσθαι, πάρδον δὲ διὰ τὴν πολυποίκιλον φαντασίαν τῶν οἰνωμένων· διάφορον γὰρ ἕκαστος καὶ ποικίλον ἀναδέχε- 15 ται λογισμὸν ὑπὸ τοῦ οἴνου κινούμενος, πολύστικτος δὲ καὶ ἡ δορὰ τοῦ ζώου. μίαν δὲ Βάκχην μανεῖσαν δράσαι φόνον· πολλοὶ γὰρ μεθυσθέντες ἐφόνευσαν, σφαλεροὶ δέ τινες εἶναι διὰ τὴν ἀπὸ τοῦ οἴνου φανέρωσιν τῶν πινόντων τοῦ λογισμοῦ. ποθῆσαι δὲ Ἀφροδίτην καὶ Ἀριάδνην, ὅτι 20 τοῖς οἰνωθεῖσι παρέπεται πλείστη τῶν γυναικῶν ἐπιθυμία, καὶ ** ἐρημοῦν τε καὶ βλάπτειν καὶ μαραίνειν τὸ σῶμα τὸν πολὺν **. ὑπὸ πυρὸς δὲ κεραυνωθῆναι καὶ ἐν μηρῷ βληθῆναι, ὅτι πολλάκις ὁ οἶνος ἡλιαζόμενος τελειοῦται τῇ κράσει καὶ δυνάμει τοῖς κεραμίοις κρυπτόμενος. τέσσαρας δὲ 25 γυναῖκας εἶναι αὐτῷ ἀδελφὰς διὰ τὸ τέσσαρας τροπὰς ἔχειν καὶ μεταβολὰς τὸν οἶνον.

XVII. Περὶ τῆς παρ' Ὁμήρῳ σειρᾶς. Συμβάλλουσι δέ τινες Ὅμηρον σειρὰν λέγειν τὰς ἡμέρας καὶ τὰς τοῦ ἡλίου ἀκτῖνας. 30

XVIII. Περὶ Κρόνου. Τὸ δὲ καὶ τὸν Κρόνον ὑπὸ Διὸς δεθῆναι οὐκ ἀληθές, ἀλλὰ φέρεται ὁ Κρόνος τὴν ἔξω φορὰν πολὺς ἀφ' ἡμῶν, ἡ δὲ κίνησις νωθὴς καὶ οὐ ῥᾳδία τοῖς ἀνθρώποις φαίνεται, διὸ ἑστάναι αὐτόν φασί πως πε-

13. ἐκκλύεσθαι Allatius. ‖ 19. f. εἰσιν. ‖ 22. supplet Galeus διὰ τὸ et 23 οἶνον. ‖ 28. vid. Iliad. 8, 19. ‖

πεδημένον. τὸ δὲ βάθος τῶν πολλῶν ἀστέρων Τάρταρος λέγεται.

XIX. Περὶ τοῦ πυρὸς τοῦ ἀπὸ τῶν Διομήδους ὅπλων. Ὅτι τὸ ἀκατάπαυστον πῦρ, ὃ ἀνῆπτεν ἀπὸ τῶν
5 ὅπλων τοῦ Διομήδους, ἐπὶ φωσφόρου παραδίδοται ἡ Ἀθηνᾶ, καὶ χορηγός ἐστι νοῦ καὶ φρονήσεως ἀληθοῦς. ἀνῆψε τῇ Διομήδους ψυχῇ φῶς καὶ τὴν ἀχλὺν ἀφείλετο, ἣ ὡς τὴν ἀγνωσίαν, ἧς παρούσης οὐχ ὁρᾷ ψυχή. λέγεται γὰρ·

ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν.

10 καὶ τοῦτο ἂν νοηθείη τὸ πῦρ καὶ ἡ παρασχοῦσα αὐτῷ Ἀθηνᾶ. οὕτω Πρόκλος.

XX. Περὶ τοῦ „μέγα δ' ἔβραχε φήγινος ἄξων."

Μέγα δ' ἔβραχε φήγινος ἄξων

βριθοσύνῃ.

15 καὶ πῶς βαρύτητος αἴτιον τὸ ἀβαρές; φασὶν οὖν ὅτι, ὁποῖον ἂν ᾖ τὸ μετέχον, τοιοῦτον ἀνάγκη φαίνεσθαι καὶ τὸ μετεχόμενον· ἑνὸς γὰρ ὄντος τοῦ μετεχομένου θεοῦ, ψυχὴ μὲν ἄλλως, νοῦς δὲ ἄλλως, φαντασία ἄλλως καὶ αἴσθησις ἄλλως μετέχει, ἡ μὲν ἀνειλιγμένως, ὁ δὲ ἀμερίστως, ἡ δὲ μορφωτι-
20 κῶς, ἡ δὲ παθητικῶς. καί ἐστι τὸ μετεχόμενον μονοειδὲς μὲν καὶ κατὰ τὴν ὕπαρξιν, πολυειδὲς δὲ κατὰ μέθεξιν, ἄλλοτε ἀλλοῖον διὰ τὴν αὐτῶν ἀσθένειαν τοῖς μετέχουσι φανταζόμενον· καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ βάρους τὸ ἀβαρὲς αἴτιον φαίνεται.

25 XXI. Περὶ σολοικισμοῦ. Ὅτι Κροῖσος μετὰ τὴν τοῦ Σόλωνος ἐρώτησιν ἐν Κιλικίᾳ γεγονὼς Σόλους πόλιν ᾤκησεν, ἐν ᾗ καί τινας τῶν Ἀθηναίων κατῴκισεν, οἳ χρόνῳ βαρβαρωθέντες ἐλέγοντο σολοικίζειν, ἀφ' οὗ καὶ σολοικισμός.

30 XXII. Περὶ σεισαχθείας. Ὅτι Σόλων ὁ Σαλαμίνιος πρῶτος Ἀθηναίων τὴν σεισάχθειαν εἰσηγήσατο. τὸ δὲ ἦν λύτρωσις σωμάτων· καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ ἀποροῦντες ἐθήτευον.

9. Hom. Iliad. 5, 127. ‖ 13. Hom. Iliad. 5, 838 sq.

ΑΝΩΝΥΜΟΥ

ΑΛΛΗΓΟΡΙΑΙ ΟΝΟΜΑΤΩΝ ΘΕΩΝ

Ἐπεὶ περὶ Διὸς καὶ [τῶν] λοιπῶν ἀλληγοροῦμεν, δεῖ πρῶτον εἰπεῖν, ποσαχῶς τὸ θεὸς ἐκλαμβάνεται. τὸ θεὸς ἀνωνύμως κείμενον ἐπὶ πέντε σημαινομένων λαμβάνεται. σημαίνει γὰρ σοφούς, βασιλεῖς, τὰ στοιχεῖα (πῦρ, ὕδωρ, γῆν καὶ ἀέρα), τὴν ἐξ ἀστέρων εἱμαρμένην ἢ αὐτοὺς τοὺς ἀστέρας, καὶ ε΄ τὰς ψυχικὰς δυνάμεις καὶ τὰ πάθη, οἷον φρόνησιν, γνῶσιν, ἀνδρείαν ἤτοι τόλμην, πάθη δὲ οἷον ὀργήν, ἐπιθυμίαν καὶ τὰ τοιαῦτα. σημαίνει δὲ καὶ ς΄ τὴν φύσιν. ἀλλ' ἐγὼ οὐκ ἐθέλω διαμάχεσθαι Ἐμπεδοκλέει τῷ φυσικῷ λέγοντι, μὴ εἶναι φύσιν τὸ παράπαν, ἀλλὰ μίξιν διάλλαξίν τε μιγέντων. πέντε μὲν οὖν οὕτως ἀνωνύμως κείμενον τὸ θεὸς σημαίνει· ἓν δὲ ἕκαστον ὄνομα τῶν θεῶν κείμενον ὡς ἐπὶ τὸ πλεῖστον γ΄ σημαίνει. ἢ πραγματικῶς ἢ ψυχικῶς ἢ στοιχειακῶς νοεῖται, οἷον Ἥρα, Ἀφροδίτη, Ἀθηνᾶ, Ἑρμῆς, Ζεύς, Κρόνος, Ἀπόλλων, Ποσειδῶν, Ἥφαιστος καὶ τὰ λοιπὰ τῶν ὀνομάτων, πραγματικῶς μὲν ἢ βασιλεῖς ἢ ἁπλῶς ἀνθρώπους αὐτοὺς εἶναι δηλοῦσι· ψυχικῶς δὲ Ἥρα νοεῖται ἡ ψυχή, Ἀθηνᾶ ἡ φρόνησις, Ἀφροδίτη ἡ ἐπιθυμία, Ἑρμῆς ὁ προφορικὸς λόγος, Ζεὺς ὁ νοῦς, Κρόνος ἡ ἀνοησία καὶ τοῦ νοῦ συνθόλωσις, Ἀπόλλων ὁ ἡλιοειδὴς καὶ τετεχνασμένος καὶ λαμπρὸς καὶ ῥητορικώτατος ἢ φιλόσοφος λόγος, Ποσειδῶν ὁ

1. τῶν addidi. ‖ 18. ἡ ante ἐπιθυμία et ὁ ante νοῦς addidi. ‖

ἐπιγινόμενος ἁρμόδιος θυμός, Ἄρης ὁ διάπυρος θυμὸς καὶ ἀλόγιστος καὶ φονικός, Ἥφαιστος ἡ ἐκ τοῦ αἵματος ἀναθυμίασις ἠερώδης καὶ καθαρωτάτη, ἥτις ἀνερχομένη διὰ τῶν καρωτίδων πελέκει πλήττει τὴν κεφαλὴν τοῦ Διός, καὶ τὴν
5 Ἀθηνᾶν παρασκευάζει γεννᾶν, τουτέστι τὸν ἐγκέφαλον ποιεῖ ἐξάγειν τὰ φρονήματα· — στοιχειακῶς δὲ Ἥρα νοεῖται ὁ λεπτομερὴς ἀήρ, ἤγουν ὁ αἰθήρ, Ἀθηνᾶ ὁ πρόσγειος καὶ παχύτερος ἀήρ, ὁ ἀπὸ σελήνης μέχρι γῆς διικνούμενος, Ἀφροδίτη ἡ στοιχειακὴ ἀκρασία, Ἑρμῆς καὶ Ἄρης τὰ ἐν τῷ ἀέρι
10 διατρέχοντα πυρώδη σέλα, οἷον κομῆται καὶ τὰ τοιαῦτα, Ζεὺς ὁ καθαρὸς ἀὴρ καὶ τὸ ἄνω ἡμισφαίριον, Κρόνος ὁ ζοφώδης ἀὴρ καὶ τὸ κάτω ἡμισφαίριον, Ἀπόλλων ὁ ἥλιος, Ποσειδῶν ἡ θάλασσα, ὡς καὶ Θέτις καὶ Νηρεὺς καὶ Φόρκυς καὶ Τρίτων καὶ Ἀμφιτρίτη καὶ Τηθὺς καὶ ἕτερα, Ἥφαι-
15 στος τὸ καθαρὸν πῦρ καὶ καθαρτικὸν καὶ κεραστικὸν τῆς τῶν στοιχείων συγχύσεως, ὃ καὶ ἔρως καλεῖται. καὶ τούτων τὰ πλείονα οὕτως εἰπεῖν τρία σημαίνει. τινὰ δὲ καὶ πλεοναχῶς νοεῖται· ὁ Ζεὺς γὰρ σημαίνει πρὸς τοῖς τρισὶν οἷς εἶπον καὶ τὸν ἀστέρα τὸν πλάνητα, καὶ αὐτὸν τὸν ἥλιον, καὶ τὸν
20 ὅλον οὐρανόν, καὶ τὸν αἰθέρα μόνον, καὶ τὸν ἀέρα, ποτὲ καὶ τὸ νεφῶδες κατάστημα, καὶ αὐτὴν τὴν εἱμαρμένην, ὡς ἀρέσκει τοῖς στωικοῖς. δέον οὖν ταῦτα καλῶς εἰδέναι σε πόσα τούτων τὰ σημαινόμενα, καὶ πρὸς τὸ οἰκεῖον ἀλληγορεῖν τὸ καθέκαστον καὶ οὐκ ἂν διαμάρτοις, πραγματικῶς
25 μὲν τὸ πραγματικόν, ψυχικῶς δὲ τὸ ψυχικόν, καὶ στοιχειακῶς πάλιν τὸ στοιχειακόν. ἀρκεῖ γὰρ τοῦτο καὶ μόνον διδάξαι σε τὸ χωρίον τὰ περὶ τῶν θεῶν ἀλληγορεῖν, εἰ προσεκτικώτερον ἐπιστήσεις τὸν νοῦν, καὶ μὴ παρέργως αὐτὸ παραδραμεῖ ὡς περιττόν.

4. καρωτίδων Creuzerus, κηρωτίδων ms. ‖ 6. στοιχιακῶς hic et infra ms., corr. Creuzerus. ‖ 17. εἰπεῖν Creuzerus, εἰπὼν ms. ‖ 29. παραδραμεῖν vulg.

ΑΝΩΝΥΜΟΥ

ΕΠΙΤΟΜΟΣ ΔΙΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ ΚΑΘ' ΟΜΗΡΟΝ ΠΛΑΝΑΣ ΤΟΥ ΟΔΥΣΣΕΩΣ

ΜΕΤΑ ΤΙΝΟΣ ΘΕΩΡΙΑΣ ΗΘΙΚΩΤΕΡΑΣ ΦΙΛΟΠΟΝΗΘΕΙΣΑ ΚΑΙ ΤΟ ΜΥΘΟΥ ΣΑΘΡΟΝ ΩΣ ΟΙΟΝ ΤΕ ΘΕΡΑΠΕΥΟΥΣΑ ΤΗΣ ΤΩΝ ΑΝΑΓΙΝΩΣΚΟΝΤΩΝ ΕΝΕΚΕΝ ΩΦΕΛΕΙΑΣ

Προθεωρία. Οὐκ ἀλόγως, οἶμαι, πάντα τῇ ποιήσει ἐκτέθειται, ὅσα τινὲς ἱστόρηνται παρ' Ὁμήρῳ ἤτοι παθόντες ἢ καὶ γενναῖον ἐξ ἀνάγκης τι δράσαντες· κἂν γὰρ πρὸς τὸ δραματικώτερον εἰργάσθαι δοκῇ, ὅμως ἔχει καὶ λόγους τινὰς ἀρίστους τοῖς μύθοις ὑποκαθημένους, ἐφ' οὓς ἀνάγει σοφιστικώτερον ἀπὸ τοῦ φαινομένου τὴν αἴσθησιν καὶ κατὰ τὸ λεληθὸς ὑποτίθεται. ἃ δὴ χρεὼν πρὸ τῶν μύθων τοὺς νέους εἰδέναι σωφρονεῖν βουλομένους καὶ τῇ βελτίονι μοίρᾳ προστίθεσθαι. ἀλλ' εἴπερ που τοῦθ' ὁ μέγας ἐν ἀνθρώποις ἥρως ἐπραγματεύσατο, καὶ δὴ καὶ ἐν Ὀδυσσείᾳ μάλιστα. τὸν γὰρ Ὀδυσσέα προστησάμενος ὑπόθεσιν τοῦ βιβλίου πολλάττα ῥητά τε καὶ ἄρρητα τῇ ποιητικῇ διέξεισιν ἐξουσίᾳ, κἂν τούτοις οἷς μὲν καὶ φανερῶς καθιστάμενος τὰ κάλλιστα παραινεῖν καὶ ἄγε βούλεται τὸν σκοπὸν κατεργάζεται, οἷς δὲ

12. κἂν] καὶ vulg. ‖ 13. φ. καὶ ἐνισκάμενος Columbus. ‖ 14. καθ' ἄγε idem. ‖

καὶ κύκλῳ περιιὼν καὶ ἄλλοις δηλαδὴ καὶ λόγοις καὶ πράγμασιν εἰς τοῦτο δαιμονίως ἀποτελευτῶν, ἐκεῖνο διδάσκειν μονονουχὶ βουλόμενος, ὡς ἔστιν ἄρα τι κερδαίνειν καὶ ἀπὸ τῶν δοκούντων ἢ αἰσχρῶν ἢ λυπηρῶν, ὅποι παρείκοι, εἰ μετ' ἐξουσίας καὶ λογισμῶν ἀπαντῶμεν τοῖς τῶν κακῶν ἀβουλήτοις. ὃ δὴ καὶ δῆλον ἔσται αὐτίκα τοῖς ἐφεξῆς ὑποτεταγμένοις.

I. Περὶ Λωτοφάγων. Λέγεται τῇ ποιήσει τοιοῦτό τι παθεῖν τὸν Ὀδυσσέα πλανώμενον· ἀνέμοις αὐτὸν ἐξωσθέντα βιαίοις τῆς Λωτοφάγων γῆς ἐπιβῆναι καὶ τὴν φύσιν ἀγνοοῦντα τῆς χώρας τινάς που τῶν ἑταίρων πεπομφέναι περὶ αὐτῆς πευσομένους, [τοὺς δὲ] συμμίξαι τοῖς Λωτοφάγοις· παρ' ὧν καὶ εἰληφότας ἐκ τοῦ παρ' ἐκείνοις φυομένου λωτοῦ φαγεῖν αὐτίκα καὶ εἰς πεῖραν ἰέναι τοῦ μελιηδοῦς τούτου καρποῦ, ἐφεξῆς δὲ καὶ μένειν αἱρεῖσθαι παρὰ τοῖς Λωτοφάγοις, Ὀδυσσέα δὲ καὶ πατρίδα, πάντα τῆς ἡδονῆς ἐλάττω λογίζεσθαι· τὸν δὲ μεμαθηκότα τὴν συμφορὰν τῆς νεὼς ἐξιέναι καὶ ἀπιόντα βιαίως ἐκείνους ἐπὶ τὰς ναῦς συνελάσαι κλαίοντας τῇ στερήσει τῆς ἡδονῆς, εἶτα ὑπὸ τοῖς ζυγοῖς τῶν νεῶν ἀσφαλῶς μάλιστα καταδῆσαι, κελεῦσαί τε τοὺς ἄλλους ἐπιβαίνειν ἑκόντας, μὴ ταὐτὰ πάθοιεν. καὶ ὁ μὲν μῦθος τοιαῦτα· ἐγὼ δὲ τὸν Ὀδυσσέα πάντα ἄνθρωπον ἐν τῷ παρόντι πλανώμενον θείην ἂν δικαίως, ὃς νῦν μὲν τοῖσδε τοῖς πάθεσι καὶ ταῖς ἀντιπνοίαις τῆς τύχης καὶ τῶν πραγμάτων, νῦν δὲ τοῖσδε καὶ τούσδ' ἁπλῶς ἢ τούσδε τοὺς λογισμοὺς καὶ τὰς ὁρμὰς τῆς ψυχῆς προΐεται ἀπολύτως οἷς ἂν τύχοι συμμίγνυσθαι, οἳ καὶ τῆς γλυκείας ἡδονῆς καὶ τῶν ἀπατηλῶν τρόπων ἀπολελαυκότες οὐκ ἀναστρέφειν τὸ μετὰ τοῦτο ἐπὶ τὸν ἡγεμόνα νοῦν οὐδὲ ἐπὶ τὰ σύντροφα τῆς ψυχῆς ἤθη προήρηνται, οὐδέ γε τοῦ κρατοῦντος ἐπιστρέφονται νόμου, οὐδὲ μέν τοι διαίτης καὶ πολιτείας ἀρίστης ἢ συνηυξήθησαν, ἀλλὰ πρὸς τὴν νόθον ταύτην τῆς φύσεως τροφὴν ἐκπλαγέντες τῶν ἀρίστων ἁπάντων ἐπιλανθάνονται. ὁ μέντοι λόγος τῆς φύ-

2. δαιμονίας vulg., εὐδαιμονίας Columbus. ‖ 8. Odyss. 9, 84 sqq. ‖ 12. τοὺς δὲ addidi. ‖ 14. μελιηδέα καρπὸν Hom. v. 94: μελειδοῦς vulg., in cod. f. erat μελιειδοῦς. ‖ 18. f. κλ. ἐπὶ τῇ. ‖ 21. ταῦτα vulg. ‖ 25. καὶ] malim ἢ. ‖

σεως, ᾧ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος σωφρόνως διῄρηται, οὐδαμῶς ἀνεχόμενος τὸ σφέτερον ἀξίωμα ὑπὸ τῆς φαύλης καὶ ἀληθοῦς ἡδονῆς παρευδοκιμεῖσθαι θᾶττον ἐφίσταται καὶ σφοδρότερον ἐπιπλήττει, εἴ γε κατ' Ὀδυσσέα δραστικός τις εἴη καὶ ἐναγώνιος, καὶ καθέλκει βιαίως ἐπὶ τὰς οὐκ ἀήθεις νομὰς καὶ τῶν ἀπατηλῶν ἔργων, ὥσπερ ἐκεῖνος τῶν Λωτοφάγων, ἀφίστησι, συνδεῖ τε καὶ συνέχει λόγοις αὐστηροτέροις καὶ ἀπροσίτους ἔτι πρὸς τὰ φαῦλα ἐργάζεται, καὶ τὰ μὲν παθόντα τῆς ψυχῆς μέρη οὕτω καλῶς διατίθησι, τὰ δ' οὔπω παθόντα καταφράττει ὁμοίως καὶ ἀσφαλίζεται καὶ τῆς διαφθειρούσης μετανίστησιν ἡδονῆς, ὥσπερ Ὀδυσσεὺς τοὺς ἑταίρους.

II. *Περὶ Πολυφήμου τοῦ Κύκλωπος.* Φασί τινα καὶ τοιοῦτον ἆθλον ὑποστῆναι τὸν Ὀδυσσέα πλανώμενον. τῆς γὰρ τῶν Κυκλώπων γῆς ἐπιβάντα καὶ τὴν φύσιν ἐξιόντα κατοπτεῦσαι τῆς χώρας ἄντρον ἐπ' ἐσχατιᾶς αὐτοῦ που ἰδεῖν καὶ μῆλα πολλὰ καὶ αἶγας αὐλιζομένας, καὶ ἄνδρα δ' ἐπαγρυπνοῦντα ἐκεῖσε ἀμήχανόν τινα τὸ εἶδος καὶ τὴν ἀλκήν, καὶ μόνον τῶν ἄλλων Κυκλώπων χωρὶς διαιτώμενον δι' ἀγρότητα τρόπου. ἔνθα παραγενόμενον μετὰ τῶν ἀρίστων εἰσιέναι σπουδῇ, οὐχ εὑρεῖν δὲ τὸν Κύκλωπα περὶ νομὴν ἐξιόντα, μετὰ δὲ πάντα εὑρεῖν καὶ θαυμάσαι ἀνὰ τὸ ἄντρον τυρῶν καὶ ἀρνῶν καὶ ἐρίφων· καὶ τοὺς μὲν ἄλλους αὐτὸν ἱκετεύειν ἔκ γε τῶν παρόντων εἰληφότας εἰς τοὐπίσω ἰέναι, τὸν δ' οὐκ ἐθέλειν, ἀλλὰ περιμένειν τὸν Κύκλωπα, λαβεῖν τι καὶ ξένιον. εἶτα κἀκεῖνον ἐληλυθέναι καὶ εἰσιδόντα ξένους τινὰς καὶ ἀήθεις ἄνδρας θαυμάσαι, καὶ πρῶτα μὲν οἵτινες εἶεν ἐρέσθαι, εἶτ' ἀπηνῶς σύνδυο λαβόντα φαγεῖν, καὶ εἰς τὴν ἑξῆς αὖθις σύνδυο. πρὸς ταῦτα τὸν Ὀδυσσέα βουλεύσασθαι κακόν τι δράσαι τὸν Κύκλωπα, μὴ τῷ τρόπῳ τούτῳ πάντας ὀλέσειεν. ἀλλὰ καὶ αὖθις ἀπὸ τῆς νομῆς ἐληλυθότα τὸν ἀνδροφάγον ἀνακαλύψαι τὸ ἄντρον καὶ σύνδυο λαβόντα φαγεῖν, πιεῖν δὲ καὶ τοῦ οἴνου, ὃν Ὀδυσσεὺς αὐτῷ δέδωκε

3. ἀληθοῦς] ἀλήτου Micrander, malim ἀμαθοῦς. ‖ 8. ἀπροίτους vulg. ‖ 13. Odyss. 9, 166. sqq. ‖ 22. θαυμάσαι Columbus, θεᾶσθαι Opsopoeus, vulg. θέσθαι: cf. Hom. v. 218. ‖

κομιζόμενος· οὐκοῦν καὶ μεθυσθέντα διατετάσθαι· τὸ δὲ μετὰ τοῦτο μοχλῷ τινι ἐξ ἐλαίας ἐκπυρωθέντι διαπερονηθῆναι πρὸς τοῦ Ὀδυσσέως τὸν ὀφθαλμὸν συναραμένων καὶ τῶν ἑταίρων, εἶτα αὐτοὺς ἐκεῖθεν ἐξιέναι ὑποδύντας τὰ μῆλα μη-
5 χανῇ τινι θαυμασίᾳ. καὶ τὰ μὲν τοῦ μύθου τοιαῦτα· ἐγὼ δ' εἰ μὴ τῷ ὅλῳ, τῷ γοῦν πλείστῳ μέρει τούτου συντίθεμαι. ὅμως μέντοι Ὀδυσσέα εἶναι ὑπολογίζομαι πάντ' ἄνθρωπον φιλοκερδῆ τε καὶ πολυπράγμονα, ὃς τοῦ δικαίου καὶ σώφρονος τρόπου ἐκπλανηθεὶς εἰς ἄγριά τινα καὶ ἀπανθρώπινα
10 ἤθη ἐκφέρεται, ἔνθα δὴ καὶ πονηρός τις καὶ ἀναιδέστατος δαίμων οἰκεῖ καὶ τῇ φύσει πολέμιος, ὃς τρέφει μὲν ἄλογα πάθη καὶ ἀεὶ τοῦ μέρους ὑπ' αὐτῶν τρέφεται, λυμαινόμενος ἐπιβούλως τῇ τῆς ψυχῆς καταστάσει. τὸν δὴ τοιοῦτον τίσεται πάντως ὁ κατὰ τὸν Ὀδυσσέα συνετῶς ἀνανήψας καὶ
15 ἰδὼν οὗ κακοῦ δι' ἀφροσύνην ἐστίν. τίσεται δὲ δι' ἐναντίας τῆς ἕξεως, ἐλευθερίαν καὶ ἀπραγμοσύνην ἐπιτηδεύσας, εἶτα κἀκεῖθεν ἐξελεύσεται ἀπήμων, αὐτὸς μὲν χαίρων ἅτε μετὰ τῶν συντρόφων ἠθῶν ἀποκαταστάς, τὸν δὲ νοητὸν Κύκλωπα στένειν ἀφεὶς ἐπὶ τῇ τυφλώσει τῆς πονηρίας.

20 III. *Περὶ Αἰόλου.* Λόγος τὸν Ὀδυσσέα πλανώμενον εἰς Αἰολίδα νῆσον μετὰ τῶν ἑταίρων ἀφῖχθαι, ἔνθα δεινόν τινα καὶ κακότεχνον ἄνδρα οἰκεῖν, Αἴολον τοὔνομα ὥσπερ δὴ καὶ τὸν τρόπον, φιλόξενον δ' ὅμως καὶ ἥμερον. τούτῳ παραγενόμενον Ὀδυσσέα πομπὴν ἐξαιτῆσαι καὶ νόστον ἐπὶ τὴν
25 πατρίδα, τὸν δὲ κατανεύσαντα βοῦν ἐκδεῖραι καὶ τὸ δέρμα τῷ Ὀδυσσεῖ παρασχεῖν, ἔνθα δαιμονίᾳ τινὶ τέχνῃ τὰς μὲν ἄλλας τῶν ἀνέμων πνοὰς κατακλεῖσαι, μόνην δ' ἀφεῖναι τὴν ζεφύρου πνοὴν ἐλευθέραν, ἕως ἂν Ὀδυσσεὺς ἀφίκηται μετὰ τῶν ἑταίρων. καὶ δὴ ἐννῆμαρ οὖρῳ πλέοντα πνεύματι φαινο-
30 μένην τὴν πατρίδα ἰδεῖν καὶ τοὺς πυρπολοῦντας ἐγγὺς δήπουθεν ὄντας· καμάτῳ δὲ καὶ ἀγρυπνίᾳ δεδαμασμένον τὸν Ὀδυσσέα ὡς μόνον ἀεὶ τῆς νεὼς πόδα κινοῦντα ὕπνον ἑλεῖν, τοὺς δ' ἑταίρους οἰηθέντας χρυσόν τε καὶ ἄργυρον τὸν ἀσκὸν φέρειν τῷ Ὀδυσσεῖ, δῶρα Αἰόλου, φθονῆσαι τῷ πλούτῳ
35 καὶ χεῖρας ἐπιβαλεῖν τῷ ἀσκῷ. τοῦ δὲ λυθέντος πάσας αὐ-

20. Odyss. 10, 1 sqq. ‖ 29. malim οὐρίῳ. ‖

τίκα τὰς τῶν ἀνέμων ἐξορμῆσαι πνοάς, καὶ θύελλαν ἐξῆς σφοδροτάτην ἁρπάσασαν τοὺς νηπίους εἰς τὸν πόντον ἀπαγαγεῖν κλαίοντας. τότε δὴ καὶ τοῦ ὕπνου ἐξαναστῆναι τὸν Ὀδυσσέα καὶ τῷ τῆς λύπης κλυδῶνι μᾶλλον ἢ τῆς θαλάσσης διαταραχθέντα εἰς βυθὸν ἐκπεσεῖν βουλεύεσθαι, τλῆναι δ' 5 ὅμως καὶ τοῦτο δὴ δεινὸν καὶ εἰς τὴν Αἰολίδα πάλιν ἀφῖχθαι. καὶ τὰ μὲν τοῦ μύθου τοιαῦτα· ἐγὼ δ' εἰ μὲν καὶ τὸ ὅλον πέπλαστται, νῦν μὲν οὐ λέγω, λέγω δ' ὅμως ὃ πλέον οἶμαι τὴν ποίησιν βούλεσθαι. Ὀδυσσεύς ἐστιν ἄντικρυς ὁ πραγμάτων δή τινων ταλαιπωρίαις συνισχημένος καὶ πλάνην ἥντινα οὖν 10 κατὰ τὸ παρὸν ὑφιστάμενος· ὃς λύσιν μὲν εὑρεῖν τοῦ κακοῦ μηχανᾶται, οὐχ ὡς μέν τοι καὶ προσῆκεν εὐσεβεῖν ἀνδρὶ βουλομένῳ, ἀλλὰ γόησιν ἀνθρώποις καὶ φαρμακοῖς ἑαυτὸν ἀναθέμενος καὶ τερθρείαις καὶ ἐπῳδαῖς ἐπιθαρρῶν τὰ δυσχερῆ διακρούσασθαι. τὸν δὴ τοιοῦτον οὐδ' ἡ ποίησις ἀνύτειν ταῖς 15 κακοτεχνίαις ἐκδίδωσι, σφάλλεσθαι δὲ τὰ μάλιστα τῶν ἐλπίδων καὶ γέλωτα προσοφλισκάνειν οὗτοι μέτριον. καὶ μὴ ὅτι τοῦτο τὰ τοῦ μύθου βούλεται, ἀλλὰ κἀκεῖνο σφαλερὸν μάλα νομίζει καὶ τοῦ παντὸς ἀγῶνος ἀποτυχίαν ἐξεργαζόμενον, τὸ περὶ τὰ τέλη καταρραθυμεῖν, οἷον Ὀδυσσεὺς πέπον- 20 θεν. οὐ μὴν ἀλλὰ καὶ τὸ βασκαίνειν ἀλλοτρίαις εὐδαιμονίαις καὶ τὸ πειρᾶσθαι συλᾶν τὰ ἀλλότρια καὶ λογισμοῖς καὶ ὑπονοίαις πιστεύειν, ὥσπερ καὶ οἱ τοῦ Ὀδυσσέως ἑταῖροι, κακῶν τίθησι πρόξενον τῶν ἐσχάτων.

IV. Περὶ Λαιστρυγόνων. Οὐδὲ τὰ παρὰ τῶν Λαι- 25 στρυγόνων συμπεσόντα τῷ Ὀδυσσεῖ γένοιτ' ἂν ἀκερδῆ τοῖς ἀκούουσιν. λέγεται γὰρ αὐτὸν μετὰ τῶν ἑταίρων πλανώμενον Λάμου τοῦ βασιλέως τῶν Λαιστρυγόνων τὴν χώραν κατειληφέναι· ἔνθα λιμένα τινὰ θαυμάσιον πεφυκέναι, στενήν τε τὴν εἴσοδον καὶ μάλα γε ἐπιτήδειον ναῦς καταγομένας εἰσδέ- 30 ξασθαι καὶ φυλάξαι, ἔνθα τοὺς μὲν ἄλλους ἑταίρους μετὰ τῶν νεῶν ἔνδον εἰσβῆναι μηδὲν κακὸν ὑπολογισαμένους, μόνον δ' Ὀδυσσέα τὴν ναῦν ἔξω σχεῖν ἐκ πέτρας τινὸς τὰ πείσματα δήσαντα. εἶτα τρεῖς τινας πέμψαι οἵτινες εἶεν ἐν ἐκείνῃ τῇ γῇ πευσομένους, τοὺς δὲ διὰ λείας τινὸς ἰόντας εἴς τινα με- 35

25. Odyss. 10, 81 sqq.

γάλην πόλιν ἀφῖχθαι τοσοῦτον ὑψηλὰς ἔχουσαν τὰς πύλας, ὥστε τὸν εἰσελαύνοντα ποιμένα τοῦ ἐξελαύνοντος ῥᾳδίως ἀκούειν. κἀντεῦθεν εἰς τὰ τοῦ βασιλέως ἐληλυθέναι δώματα καὶ τὴν βασιλίδα εὑρεῖν ὄρει προσεοικυῖαν τὸ μέγεθος, ἣν δὴ καὶ καταστυγεῖν τοὺς ἀνοήτους οὕτως ἔχουσαν ἀηδῶς προσβλέποντας. τὴν δὲ χολωθεῖσαν τὸν ἄνδρα καλεῖν ἐκ τῆς ἀγορᾶς, κἀκεῖνον ἰόντα ἕνα τῶν ἑταίρων ἁρπάσαντα κατεδηδοκέναι, τῶν δ' ἄλλων φυγόντων τὸν βασιλέα βοῆσαι, καὶ ἄλλον ἄλλοθεν τοὺς Λαιστρυγόνας φοιτήσαντας χερμαδίοις λίθοις βάλλειν τὰς ναῦς, καὶ τὰς μὲν καταγνύναι, τοὺς δ' ἄνδρας ἐσθίειν ὥς τινας ἰχθῦς περιπείροντας. ἐν τούτῳ δ' ἐκτεμόντα τὸν Ὀδυσσέα τὰ πείσματα καὶ τοῖς ἑταίροις διακελευσάμενον ἐμβάλλειν ταῖς κώπαις μόνον τῶν ἄλλων τὸν κίνδυνον ἐκφυγεῖν, καὶ ἀλγεῖν μὲν τῷ τοὺς ἄλλους ἀπολωλέναι, χαίρειν δ' ὅμως ὅτι περ αὐτὸς σέσωσται. καὶ ἃ μέν φησιν ἡ ποίησις ταῦτα· ἔστι δὲ κἀνθάδε ὑπολαμβάνειν, Ὀδυσσέα μὲν εἶναι πάντ' ἄνθρωπον γνώμης αὐτονομίᾳ πολιτευόμενον καὶ νόμων καὶ πολιτείας ὥς τινος πατρίδος ἀποφοιτήσαντα, ὃς ἀλλοτρίοις ἤθεσι τοῦ καλοῦ πλανώμενος καὶ ὡς ἐν λιμένι τινὶ τῇ πονηρίᾳ προσορμιζόμενος σφαλερῶς μάλα διαναπαύεται, ἀφ' ἧς ὡς ὁρμητηρίου τινὸς παρεξιὼν καταγωγάς τε καὶ καταδύσεις καὶ πόλεις ὀχυράς τε καὶ δυσαλώτους τῶν μοχθηρῶν τρόπων ὡς ἄλλων γέ τινων Λαιστρυγόνων περιεργάζεται· ἐξ ὧν τῷ πλείστῳ κτείνεται μέρει καὶ θανατοῦται, ὀψὲ δ' ἀνενεγκὼν καὶ νοῦν λαβὼν ἔμφρονα, πῇ ποτέ ἐστι τοῦ κακοῦ καὶ οἷς περιστοιχίζεται πτώμασι, τὰ συνίσχοντα τῆς κακίας ἐκτέμνει πείσματα καὶ τὸν κίνδυνον διαφεύγει, θρηνῶν μὲν τὴν ἀπολωλυῖαν τῶν ἠθῶν κατάστασιν, χαίρων δ' αὖθις ὅτι πέρ τινι σέσωσται μέρει καὶ μὴ τὸ ὅλον διέφθαρται. οἶμαι δὲ καὶ τοῦτο τὴν ποίησιν ὑπαινίττεσθαι παιδεύουσαν τοὺς ἀνθρώπους, μὴ προσκρούειν τοῖς κρείττοσι, μηδὲ ῥήμασιν αἰσχροῖς βάλλειν, ὥσπερ τὴν βασιλίδα τῶν Λαιστρυγόνων· καὶ τοῦτο γὰρ οὐ μετρίας γίνεται συμφορᾶς πρόξενον τοῖς ἀνθρώποις.

V. Περὶ Κίρκης. Ποιητικός τις εἰς ἡμᾶς ἥκει λόγος,

1. τοσοῦτον—ἀκούειν] non recte cepit auctor Homeri v. 82. sq. ‖ 35. Odyss.

τὸν Ὀδυσσέα πλανώμενον ἐπὶ τὴν Αἰαίαν νῆσον καταχθῆναι τῆς Κίρκης. ἔνθα τῶν ἑταίρων οὐκ ὀλίγους διαπεμψάμενον, οἵτινες οἰκοῦσι τὴν χώραν πυθέσθαι (οὐ γάρ τοι προὐφαίνετο πόλις ἤ τι τῶν τῆς πόλεως σύμβολον), *** πλὴν ἑνὸς τοὺς πάντας εἰς σύας μεταβαλέσθαι ταῖς τῆς Κίρκης κακοτεχνίαις. τὸν δὲ αὐτίκα ὁπλίσασθαι μεμαθηκότα, καὶ εἰς τὰ τῆς Κίρκης ἰόντα δώματα Ἑρμῇ συναντῆσαι, καί τι παρ' ἐκείνου λαβεῖν φάρμακον ὧν ἡ κακότεχνος γυνὴ μηχανᾶται ἀντίπαλον. ἐκεῖσε δ' ἀπιόντα κἀκείνῃ συμμίξαντα, καὶ δὴ καὶ τοῦ κυκεῶνος πιόντα κατὰ τοὺς ἑταίρους, μηδὲν παθεῖν ὧν παθεῖν ἔδει διὰ τὴν φύσιν τοῦ πόματος, προσαναγκάσαι δ' ἐκείνην καὶ τὸ εἶδος ἀποδοῦναι τοῖς φίλοις· καὶ πολλὰ τοὐντεῦθεν φιλοφρονηθέντα ἱκανῶς μάλιστα καὶ χρησμοὺς εἰληφότα καὶ δῶρα ἐκεῖθεν ὑποχωρῆσαι. καὶ ἃ μὲν ἡ ποίησις ταῦτα· ἡμεῖς δὲ περιεργότερον ἐνιδόντες τῇ διανοίᾳ τοῦ ποιητοῦ Ὀδυσσέα μὲν οἰόμεθα εἶναι τὸν ἡγεμόνα νοῦν τῆς ψυχῆς, ἑταίρους δὲ τοὺς λογισμοὺς καὶ τὰς συμφύτους δυνάμεις, Αἰαίαν δὲ νῆσον τὴν θρηνώδη καὶ πολύδακρυν τοῦ κακοῦ χώραν, Κίρκην δὲ καταγοητεύουσαν καὶ τὰς μορφὰς ἀλλοιοῦσαν τοῦ λογιστικοῦ ἀξιώματος τὴν φαύλην καὶ ἀλόγιστον ἡδονήν, πρὸς ἣν ἄνευ νοῦ τοῦ ἡγεμονεύοντος οἵ τε τῆς ψυχῆς λογισμοὶ καὶ αἱ φυσικαὶ κινήσεις ἀτάκτως ἀπολυόμεναι εἰς τὴν ἄλογον καὶ μοχθηρὰν ἐξαλλάττονται φύσιν κατακηληθεῖσαι· ὧν αὖθις ὁ νοῦς ὑπὸ δυνάμεως ἀπαθοῦς ἀνανήψας καὶ ὑπομνησθεὶς οἷα πεπόνθασι, καὶ θυμῷ τε ὁμοῦ καθοπλισθεὶς ἔμφρονι καὶ κριτικῷ λόγῳ κακίας καὶ ἀρετῆς, ὃς δὴ καὶ τἀναντία τῆς κηλησάσης ἐξευρίσκει φάρμακα, στρατεύεται κατ' αὐτῆς, καὶ οὐχ ὅπως αὐτὸς τοῖς δεινοῖς φαρμάκοις τῆς ἡδονῆς οὐχ ἁλίσκεται, ἀλλὰ καὶ τὰς διαφθαρείσας δυνάμεις τῆς φύσεως εἰς τὸ οἰκεῖον ἀποκαθίστησιν εἶδος, κἀκεῖθεν ἄπεισι κερδάνας τι καὶ παρ' ἐκείνης μεθ' ὧν ἐζημίωται. καὶ γὰρ καὶ οἱ ἀπὸ τῆς κακίας ἀναλαμβανόμενοι κερδαίνουσι τό γε πρὸς αὐτὴν ἔχειν μετὰ τὴν ἀλλαγὴν ἐπιστημόνως διαγωνίζεσθαι καὶ τῇ πρόσθεν ἥττῃ μείζονι προφάσει χρῆσθαι πρὸς τὴν ἀρετήν.

10, 133 sqq. ‖ 4. excidisse nonnulla post σύμβολον apparet, velut αὐτὸν μὲν μεῖναι ἐν τῇ νηί, τοὺς δὲ εὑρεῖν Κίρκης δώματα, εἰσελθόντας δέ. ‖

VI. *Περὶ Κιμμερίων.* Ἥκειν εἰς Ἅιδου χρησαμένης τῆς Κίρκης τὸν Ὀδυσσέα φασὶ πλανώμενον, ἥκειν δὲ τοῦτον τὸν τρόπον. ἐκ τῆς Αἰαίας νήσου τὰ ἱστία πετάσαντα οὔρῳ ἀνέμῳ εἰς τὰ τοῦ ὠκεανοῦ πανημέριον ἀφικέσθαι πέρατα, ἔνθα δῆμον εἶναι τῶν Κιμμερίων καὶ πόλιν ζόφῳ κεκαλυμμένην· οὐ γὰρ ἥλιον αὐτούς ποτε ἐφορᾷν οὔτ' ἀνίσχοντα οὔτε δυόμενον. τὴν μὲν οὖν ναῦν ἐκεῖσε ἀφικόμενον προσορμίσαι, ἐξελέσθαι δὲ καὶ ἅπερ ἱερεῖα ἐκόμιζε, τὸν δὲ μετὰ τῶν ἑταίρων παρὰ τὸν ῥοῦν ἔρχεσθαι, ἕως ἂν ἀφίκωνται οὗπερ αὐτῷ συμμίξαι τὸ πολύτροπον ὑπεσημήνατο γύναιον. ἔνθα γινόμενον καὶ ἃ φίλα τοῖς δαίμοσι πάντα πεποιηκότα καὶ ἀναγαγόντα ἐξ Ἅιδου τόν τε Τειρεσίαν καὶ τὰς τῶν συγγενῶν τε καὶ συνήθων ψυχάς, μαθόντα δὲ ἅπερ ἔδει παθεῖν ὕστερον, ἐκεῖθεν ἐπὶ τὴν ναῦν ἐπανεληλυθέναι, μή ποτε αὐτοῦ βραδύνοντα κακόν τι πράξῃ ἡ Περσεφόνη, τὴν τῆς Γοργοῦς αὐτῷ ἐξαποστείλασα κεφαλήν· εἶτα ἀναβάντα ἐπανήκειν εἰς τὴν Αἰαίαν, ὅποι ἡμέραν οἰκεῖν καὶ ἀνατολὰς ἡλίου. καὶ ταῦτα δὴ τὰ τοῦ μύθου· ἐγὼ δὲ σχεδὸν τοῖς πᾶσι διαπιστῶν τὸ ὅλον πρὸς διάνοιαν ἔχειν οὐ φαύλως ὑπολαμβάνω. καὶ Ὀδυσσέα μὲν οἶμαι τὴν ποίησιν ὑπαινίττεσθαι πάντ' ἄνθρωπον ἅπαξ ἡδονῇ καὶ φαύλων ὀρέξει πραγμάτων προδεδομένον. ἑξῆς οὐδὲν ἄλλο μαντεύεται ὅτι μὴ πρὸς Ἅιδην ἰέναι τὴν παντελῆ τοῦ καλοῦ τε καὶ συμφέροντος ἄγνοιαν, ἔνθα πονηρά τινα εἴδωλα καὶ σκαιοί τινες καὶ ἄγριοι δαίμονες κατοικοῦσιν· ὑφ' ἧς καὶ κατὰ μικρὸν ὑπαγόμενος τῷ γλυκεῖ ταύτης ῥεύματι, τὸ δὲ τῶν ἀνηλίων καὶ σκοτεινῶν τῆς κακίας ἔργων παρασυρόμενος, εἰς αὐτά γε φθάνει τὰ τῆς ἀπωλείας πέρατα. ἔνθα καὶ θύει πρᾶξιν καὶ λόγον καὶ διανόημα καὶ πάντα τὰ τῆς ψυχῆς καταχαρίζεται μέρη· ἐξ ὧν κατείδωλος γίνεται καὶ βέβηλος καὶ ἀνόσιος, ζῶν μέντοι ὅμως καὶ παρὰ τῇ φύσει κείμενον ἔχων τὸ δύνασθαι τοῦ σκότους ἐξαναδῦναι. ἀλλ' εἰ μὲν ἐκ μετανοίας ἐκεῖθεν φυγῇ τινι χρήσαιτο, πρὶν ἡ δεινὴ μοῖρα τοῦ θανάτου γοργῶς αὐτῷ τὸν θάνατον ἐπιστήσει καὶ τῆς παρούσης ὑπεκστήσει ζωῆς, ἐπάνεισιν ἀνανήψας ἐπὶ τὴν πρώτην τῆς ψυχῆς χώραν, ὅπου

1. Odyss. 11, 14 sqq. ‖ 3. malim οὐρίῳ. ‖ 18. ταῦτα] τἆλλα vulg. ‖

κρίσις τῆς διανοίας καὶ τὸ τοῦ νοῦ φῶς ἀνατέλλει καὶ λογισμοὶ περιχορεύουσι σώφρονες· εἰ δὲ ἐπιμένειε τῇ σκοτεινῇ ταύτῃ χώρᾳ καὶ οὐδὲν ἐχούσῃ βιώσιμον, σπαράττεται τελέως τῇ πονηρίᾳ καὶ μετὰ τῆς ζωῆς καὶ τὴν ψυχὴν προσαπόλλυσιν.

VII. *Περὶ Σειρήνων.* Λέγεται τῇ ποιήσει καὶ πρὸς τὰς Σειρῆνας τὸν Ὀδυσσέα διαγωνίσασθαι, τὰς δὲ, εἴτε τις δαιμόνων φύσις εἰσίν, εἴτε δὴ καὶ ἀνθρώπων, εἴτ' ἐξ ἀμφοτέρων εἰς ταὐτὸ συνιόντων, ὅμως πρὸς τὸ θηλύτερον ἐσκευασμένας ἀνθηρούς τινας λειμῶνας οἰκεῖν, καὶ τὴν σύμπασαν μουσικὴν τέχνην ἐπιτηδεύειν, εἶναι δὲ καὶ τοῦτ' ἔργον αὐταῖς, ἐπειδάν τινας παραπλέοντας ἴδωσι, λιγυρώτερον ᾄδειν, τοὺς δὲ τῇ γλυκύτητι τῆς ἡδονῆς καὶ τῷ φθόγγῳ καταθελγομένους λήθην ἄγειν αὐτίκα γυναικῶν τε καὶ τέκνων, καὶ πάντας αὐτοῦ ἡδέως ἀποθνήσκειν αἱρεῖσθαι· ὡς καὶ πολύν τινα ὀστῶν ἐκεῖσε ὁρᾶσθαι σωρὸν τῶν πυθομένων ἀνδρῶν. πρὶν οὖν ἐκεῖ τὸν Ὀδυσσέα γενέσθαι πλέοντα προειπεῖν τοῖς ἑταίροις τὸν κίνδυνον καὶ πῶς ἂν καὶ τί ποτε δράσαντες αὐτὸν διαδράσαιεν, οὕτω δ' εἰπόντα καὶ τὴν ἔχουσαν ἐκείνας νῆσον μετ' οὐ πολὺ ἐξικέσθαι, κἀκεῖ τινα τεμόντα κηρὸν καὶ τῇ χειρὶ λεάναντα τῶν ἑταίρων ἐπαλεῖψαι τὰ ὦτα, εἰπεῖν δὲ καὶ ὅπως αὐτὸν μὲν ἰσχυρῶς μάλιστα δήσουσιν. οἱ δὲ καθήμενοι ἐρέττουσι κατὰ δύναμιν. ἐπεὶ δὲ πάντ' ἐγένετο καὶ παρ' αὐτὰς λοιπὸν ἦσαν ἀφιγμένοι μουσουργοὺς δαίμονας, ἐκείνας αὐτίκα αἰσθέσθαι πλέοντας, καὶ τῇ φύσει χρῆσθαι καὶ τῇ ἀπάτῃ, καταθέλξαι τὸν Ὀδυσσέα τὰ μὲν ᾄδουσας, τὰ δὲ καὶ λέγουσας, τὸν δὲ πρὸς ταῦτα θελγόμενον καὶ διανεύοντα ταῖς ὀφρύσι τοῖς φίλοις τῶν δεσμῶν διαφεῖναι, τοὐναντίον ἐκείνους ἀναστάντας δεσμεῖν ἰσχυροτέρᾳ τῇ πέδῃ, καὶ τοιαύτῃ μηχανῇ τὰς ἀπατηλὰς ἐκφυγεῖν. καὶ ὁ μὲν μῦθος τοιαῦτα· ἐγὼ δ' οἶμαι μὴ μέχρι τοῦ ὁρωμένου τὴν ποίησιν ἡμᾶς ὥσπερ τινὰ Σειρῆνα κατακηλεῖν, ἀλλὰ καὶ περαιτέρω τι βούλεσθαι. οὐκοῦν Σειρῆνας ὑποληπτέον τὰς θελξίνους καὶ ἀπατηλὰς ἡδονάς, αἳ τῷ λείῳ καὶ προσηνεῖ τε καὶ μελιχρῷ πάντας ἀνθρώπους δεινῶς καταγοητεύουσιν, ὅσοι τὸν παρόντα διαπλέουσι βίον· ἃς ἐκεῖνος παρεξελάσαι δύναται, ὃς ἂν κατὰ τὸν Ὀδυσσέα τὰς μὲν τῆς ψυχῆς δυνάμ-

4. καὶ τὴν] τὸ τὴν vulg. ‖ 5. Odyss. 12, 39 sqq. 165 sqq. ‖ 21. f. αὐτοὶ δὲ κ. ἐρέσσουσι. ‖

εις μετὰ τῶν συντρόφων αἰσθητηρίων κηρῷ καταφράξειε θείων λόγων καὶ πράξεων, ὡς μηδενὸς ὑπολελειμμένου κενοῦ μάτην ἐκείνας θυροκοπεῖν καταυλούσας, τὰς δὲ τοῦ σώματος ὁρμὰς ἰσχυροτάτῃ πέδῃ τῇ φιλοσοφίᾳ καταμαράνειε καὶ
5 ἀναλώτοις εἶναι ταύταις παράσχοι. οὕτω γὰρ ἂν αἰσθόμενος δόξειε μὴ αἰσθέσθαι καὶ ἀκούσας μηδὲ ἀκοῦσαι, ἐπειδήπερ οὐχὶ τὸ πεῖραν ἁπλῶς εἰληφέναι τῶν ἡδονῶν τοῦτ' οἶδε τὴν ψυχὴν θανατοῦν, τὸ δὲ καταμεῖναι ταύταις διὰ βίου θελῆσαι τῶν ἀρίστων ἔργων τῆς σωφροσύνης ἀφρόνως
10 ἐπιλαθόμενον.

VIII. *Περὶ Σκύλλης καὶ Χαρύβδεως.* Φασὶ τὸν Ὀδυσσέα πλανώμενον πρὸς δεινούς τινας καὶ ἀμάχους παρακινδυνεῦσαι σκοπέλους, τῆς τε Σκύλλης καὶ τῆς Χαρύβδεως, ὧν θάτερον μὲν ὑψηλὰς εἶναι πέτρας πλαγκτάς, πρὸς ἃς καὶ
15 μέγα κῦμα ῥοχθεῖν θαλάττιον, τοσούτῳ μέντοιγε ὑψηλάς, ὡς εἰς αὐτὸν οὐρανὸν ἀντικρὺς ἐξήκειν τὴν κορυφήν, καὶ διὰ τοῦτο νεφελώδη καὶ κάθυγρον εἶναι, καὶ μήτε πτηνὰ ἱκανῶς ἔχειν ἐκεῖ παρέρχεσθαι, μήτε ἄνθρωπον ἀναβαίνειν, οὐδ' εἰ χεῖρες αὐτῷ εἴκοσι καὶ πόδες εἶεν. ἔνθα κατὰ τὸ
20 μέσον ἄντρον εἶναί τι σκοτεινὸν εἰς ἔρεβος τετραμμένον πρὸς ζόφον, ἐν ᾧ καὶ τὴν λυσσώδη Σκύλλαν οἰκεῖν, δεινόν τι λελακυῖαν, ὅση καὶ φωνὴ γίνεται νεογιλῆς τινος σκύλακος· ταύτης πόδας μὲν εἶναι δυώδεκα, ἓξ δὲ περιμήκεις τραχήλους καὶ κεφαλὰς δὲ τοσαύτας, τριστοίχους δ' ὀδόντας θάνατον
25 στάζοντας. προΐσχειν δ' ἀεὶ τὰς κεφαλὰς ἐπὶ τὸν πόντον καὶ ἰχθῦς περισκοποῦσαν τὸν σκόπελον. ἔνθα μηδὲ ναῦν ποτε παραπλέουσαν ἀζήμιον ἀπελθεῖν, εἰ μὴ τοσούτους ἄνδρας ἀφαιρεθείη, ὁπόσαι τῷ θηρίῳ αἱ κεφαλαί. καὶ τὸν μὲν ἕνα τοιοῦτον εἶναί φασι, τὸν δ' ἕτερον χθαμαλώτερον φαί-
30 νεσθαι ἑτέρωθεν κείμενον ἐκ παραλλήλου πλησίον, ὅσον τοξάσαντα ἐφικέσθαι· ὃν δὴ καὶ ἀεὶ διαφθείρειν τὰς τὸν στενωπὸν ἐκεῖνον παραπλέουσας ναῦς, ὥσθ' ὁμοῦ τε ἀλλήλοις συμφέρεσθαι πίνακάς τε καὶ ἀνδρῶν σώματα ὑπό τε τῶν κυμάτων καὶ τῆς ἐπικεχυμένης θυέλλης τοῦ ὀλεθρίου πυρός.

11. Odyss. 12, 59 sqq. 222 sqq. ‖ 19. αὐτοῦ vulg. ‖ 22. ὅσα vulg. ‖ 27. ἀζήμιον vulg. ‖

εἶναι δ' αὐτοῦ καὶ μέγαν ἐρινεόν, ὑφ' ᾧ καὶ τρὶς τῆς ἡμέρας ἀναρροιβδεῖν τὴν Χάρυβδιν, τρὶς μέντοι καὶ ἀνιέναι. ἔνθα τὸν Ὀδυσσέα γενόμενον παραγγέλλειν τῷ κυβερνήτῃ, τοῦ μὲν φανέντος καπνοῦ τε καὶ κύματος ἐκτὸς ἀπείργειν τὴν ναῦν, παριθύνειν δὲ μᾶλλον τῷ ἑτέρῳ σκοπέλῳ, ἔλαττον κακὸν τοῦ 5 μείζονος προτιμῶντα. οὐκοῦν κἀκείνους μὲν ὁρᾷν τὸν ὕποπτον σκόπελον καὶ τὴν Χάρυβδιν φρίττειν, ἑτέρωθεν δὲ τὴν Σκύλλαν ἐξ αὐτῶν διαρπάσαι θρηνοῦντας καὶ χεῖρας Ὀδυσσεῖ ὀρέγοντας ἐπαμῦναι· τὸν δὲ ἐπιστραφέντα ἰδεῖν, οὐκ ἀμῦναι δὲ δύνασθαι, ἀλλ' οἰκτείρειν τὴν συμφοράν, ἀγα- 10 πῶντα ὅτι θάτερον ἀσινὴς παρελήλυθε σκόπελον. καὶ ἃ μέν φησιν ὁ μῦθος τοιαῦτα· ἐγὼ δ' οἶμαι πρὸς διάνοιαν ὁρῶντα πλέον τὸν ποιητὴν δύο σκοπέλους αἰνίττεσθαι τὰ συνθλίβοντα ἑκατέρωθεν πάθη τὸν ἀνθρώπινον βίον, ἅπερ κατὰ τὸν στενωπὸν τουτονὶ ἐξ ἀνάγκης ὑφιστάμεθα πάντες. ὧν θά- 15 τερα μέν ἐστιν ἅπερ κατὰ ψυχὴν ἡμῖν γε συμβαίνει, ὑψηλὰ μὲν τὴν κακίαν, ὕπουλα δ' ὅμως καὶ σκοτεινὰ καὶ τοῖς μύχοις οἷον τοῦ νοῦ κατακεκρυμμένα, ὁποῖα τὰ τῆς ὑπερηφανίας καὶ τῶν ἄλλων κακῶν σύνισμεν ὄντα· ἐν οἷς καὶ ὁ προστάτης τουτωνὶ δαίμων, ὁ δεινὸς καὶ ἄγριος κύων, οἰκεῖ, τὸ μέν- 20 τοι κρυπτόμενος τῆς [illegible] τὸ δὲ καὶ φαινόμενος, καὶ δι' ἀμφοτέρων τέλειος γνωριζόμενος πρός τε τὸ ἐπιθέσθαι πανούργως καὶ μετεωρίσαι ἐπὶ τὸν ὑψηλὸν τουτονὶ σκόπελον τῆς ἐπάρσεως, εἶτα καὶ σπαράξαι τῇ τριστοίχῳ κακίᾳ ὀλεθρίων ὀδόντων, εἴτουν ἀποστασίας, μισανθρωπίας καὶ με- 25 γαλαυχίας, ἃ δὴ κατὰ παντός γε τρόπου χρηστοῦ δι' αἰῶνος νοσεῖ, περισκοπῶν ἀεὶ καὶ διαρπάζων ἢ καθόλου ἢ μερικῶς τοὺς ἐν βίῳ πλέοντας. καὶ τὰ μέν ἐστι ταῦτα· θάτερα δὲ τὰ κατὰ τὸ σῶμα, ὑψηλὰ μὲν καὶ αὐτὰ καὶ περιφανῆ εἰς ἀπώλειαν, χθαμαλώτερα δ' ὅμως πρὸς ἐκεῖνα καὶ ταπεινό- 30 τερα διὰ τὸ πρόδηλον τοῦ αἴσχους καὶ ἀνεπίδεικτον· ἐν οἷς καὶ ἐρινεός ἐστι ἡ ἀγρία μὲν τὴν φύσιν, γλυκεῖα δὲ τὴν ἀπόλαυσιν ἡδονή, ὑφ' ᾗ καὶ πολλάκις τῆς ἡμέρας ἀναρροιβδεῖν πέφυκε τὰ τῆς σαρκὸς ὁρμήματα, καὶ κυκοῦσαν τὸν ἄνθρωπον νῦν μὲν ἄνω τὴν φλόγα τῆς ἐπιθυμίας ῥιπίζοντα, νῦν δὲ 35

33. ἡδονή Columbus, fuerat ἡδονῇ ‖

κάτω βάλλοντα, καὶ πολλάττα ἐξεργαζόμενα πτώματα ψυχῶν ὁμοῦ καὶ σωμάτων τῇ πρὸς ἄλληλα κοινωνίᾳ. τὸν δὲ τοιοῦτον σκόπελον παρεξελᾷν ὁ κατ' Ὀδυσσέα μέτριος ἄνθρωπος προηγεῖται, τῷ δ' ἑτέρῳ πλησιάζειν, εἴπερ ἀνάγκη· ἐκεῖ μὲν γὰρ λόγῳ μόνῳ καὶ ψιλαῖς ὁρμαῖς τῆς ψυχῆς νοσῶν ὁ ἄνθρωπος ἐξελέγχεται καὶ ῥᾳδίως ἔχει ἐπὶ τὴν ἕξιν ἐπανελθεῖν, ἐνθάδε δ' αὖ ἔργοις αὐτοῖς καταρρυπαινόμενος ἢ δυσίατον τὴν ἔκπλυσιν ἔχει ἢ οὐκ ἔχω τι πλέον εἰπεῖν· οἶμαι μέντοι πρὸς τούτοιν τοῖν δυοῖν σκοπέλοιν εἰκάζεσθαι τά τε παρὰ τῆς γνώμης ἡμῖν συμβαίνοντα ἑκουσίως καὶ τὰ παρὰ τῆς ὕλης ἔξωθεν δυσχερῆ, ἅπερ ἢ ἑκάτερα πάσχομεν ἢ δυοῖν ἕτερον ἐξ ἀνάγκης, παρελθεῖν δ' οὐκ ἔνι ἀμφότερα τὸν εἰς γένεσιν ἥκοντα, ὥσπερ οὐδ' Ὀδυσσεύς.

IX. *Περὶ τοῦ Ἡλίου βοῶν.* Καὶ τοιαύτην πλάνην ὑποστῆναι τὸν Ὀδυσσέα φασίν. νῆσός ἐστι Θρινακία πρὸς τὰ ἑσπέρια (Σικελίαν ἡ νέα γλῶσσα καλεῖ), ἣν καὶ ἀνακεῖσθαι τῇ ποιήσει λέγεται κτῆμα Ἡλίῳ, βοῦς αὐτῷ πλείστας καὶ πρόβατα καλὰ τρέφουσαν. ἔνθα τὸν Ὀδυσσέα μετὰ τῶν ἑταίρων παραγενόμενον μυκηθμοῦ βοῶν καὶ προβάτων αὐλιζομένων ἀκοῦσαι, ταχέως διαφεύγειν ἐκεῖθεν τοῦ Ἡλίου κελεῦσαι τὴν νῆσον· τοὺς δ' [illegible]ς μὴ βούλεσθαι πόνῳ δεδαμασμένους καὶ ἀγρυπνίᾳ, δεδιότας δὲ καὶ τοὺς κατὰ νύκτα γενομένους ἀνέμους ἐν τῷ πελάγει, μή ποτε κακόν τι πάθοιεν· ὑφ' ὧν τὸν Ὀδυσσέα ἐκβιασθέντα ἀλλά γε παρ' αὐτῶν ὅρκον λαβεῖν, μηδέπω τῶν ἱερῶν βοῶν ἢ ὀΐων ἅψασθαι. οὐ γεγονότος καὶ τῶν ἑταίρων ἐκβάντων, εἶτα φαγόντων τε καὶ κοιμηθέντων νύκτα ἄνεμον πνεῦσαι σὺν λαίλαπι μάλα σφοδρᾷ καὶ τὸν πλοῦν ἀποπαῦσαι. καὶ τότ' αὖ τὸν Ὀδυσσέα δημηγορῆσαι, μηδ' ἄν τι καὶ γένηται τῶν θείων κτημάτων ἅψασθαι, προσέτι δὲ καὶ ἀπειλὴν ἐπιθεῖναι· τοὺς δὲ τέως μὲν πείθεσθαι, νότου δ' ἄληκτον πνέοντος καὶ τῶν ἐν τῇ νηὶ βρωμάτων ἐκλελοιπότων ἄλλον ἐπ' ἄλλῳ τρέπεσθαι, νῦν μὲν ὄρνιθας ἀγρεύοντα, νῦν δὲ ἰχθυῶντα, τείρεσθαι δ' ὅμως καὶ ταύτῃ γε τῷ λιμῷ. πρὸς ὅπερ ἀμηχανοῦντα τὸν Ὀδυσσέα ἀνὰ τὴν νῆσον ἰέναι εὔξασθαι, εἴ τις αὐτῷ θεόθεν φανείη

6. ἀπαντελθεῖν vulg. ‖ 14. malim π. τῶν Ἡ. ‖ Odyss. 12, 127 sqq. 260 sqq. ‖

πομπή, τοὺς δ' ὑπ' ἀπορίας ἅψασθαι τῶν ἱερῶν βοῶν καὶ σφάξαι καὶ κατατεμεῖν καὶ ὀβελοῖς περιπεῖραι, ἑλομένους μᾶλλον πάντα τὰ δεινὰ παθεῖν ὑπὸ θεοῦ ἢ λιμοῦ θανάτῳ ἀπολέσθαι, ὅς ἐστι παντὸς θανάτου χείριστος· ὑποστῆναι μέντοι, εἰ σωθεῖεν, καὶ νεὼν ἱδρύσεσθαι αὐτῷ καὶ ἀγάλ- 5 ματα πολλάττα ἀναθήσειν. ἐν τούτῳ δὲ παραγενόμενον τὸν Ὀδυσσέα εὑρεῖν ἐκείνους πάντα τὰ φοβερὰ τετολμηκότας, καὶ ἐποιμῶξαι τῷ δεινῷ, καὶ μάλιστα ὅτι καὶ τέρατα ἴδοι ἐπὶ ταῖς βουσίν· ἕρπειν μὲν γὰρ αὐτίκα τοὺς ῥινούς, μεμυκέναι δὲ τὰ κρέατα ἐν ὀβελοῖς, καὶ φωνὴν δὲ τούτων γίνεσθαι 10 ὁποία πρὸ τοῦ τεθνηκέναι. ὅμως δὲ καὶ οὕτω τοι ἑξῆμαρ τὰ δεινὰ τολμῶσθαι τοῖς ἀθλίοις, ἑβδόμης δὲ πεπαῦσθαι μὲν τὸν ἄνεμον, γενέσθαι δ' ἄλλον, ὃν αὐτοί γε ἤθελον, τοὺς δὲ πετάσαντας αὐτίκα τὰ ἱστία πλεῖν. τὸ δὲ ἐντεῦθεν πλεῖστον ὅσον τὴν νῆσον ἀπολελοιπότων ζέφυρον πνεῦσαι σὺν με- 15 γάλῃ λαίλαπι καὶ κεραυνὸν ἄνωθεν [τοῖς] δυστυχέσι καταπεμφθῆναι· τὸν μέν τοι κυβερνήτην ἱστῷ πληγέντα τὴν κεφαλὴν πρότερον κατακλασθέντι, ἅτε δὴ καὶ πρότερον κακῆς ἀρξάμενον βουλῆς, αὐτόν τε δὴ καὶ τοὺς ἄλλους ἅπαντας εἰς τὴν θάλασσαν διεκπεσεῖν· τὸν τοίνυν Ὀδυσσέα ὅ τι δὴ 20 καὶ δράσειεν ἀπορούμενον συχνότερον φοιτᾷν διὰ τῆς νεώς, ἕως ὁ δεινὸς ἐκεῖνος κλύδων τὰ τείχη τῆς τρόπεως ἐξέλυσε· τὸν δὲ ἅμα τῷ ἱστῷ ἱμάντι τὴν τρόπιν καταδήσαντα ἐπιβεβηκέναι καὶ τοῖς κύμασιν ἐφεῖναι φέρεσθαι. καὶ ἃ μέν φησιν ὁ μῦθος ταῦτα· πάρεστι δὲ νοεῖν ἐνθάδε καὶ τὸν ἠλίθιον 25 αὐτόν, οἵας δίκας ἱεροσύλους τε καὶ ἐπιόρκους πράττεται ἡ ποίησις, καὶ ὡς διδάσκειν βούλεται ἅπαντας ἀνθρώπους σέβειν ἀεὶ δή ποτε τὸν θεὸν καὶ περὶ τὰ θεῖα πράγματα εὐλαβεῖσθαι, κἂν βία τις ἐπαναγκάζῃ τοῦ καιροῦ, κἂν δεινοῦ τινος ἐπήρεια προσώπου, κἂν τοῦ παντός γε τὰ δεινότατα 30 διαπειλῇ τῆς ἀκριβείας ἀμελῆσαι. καὶ γὰρ δεύτερα θεῷ τῆς πρὸς αὐτὸν ἀτιμίας τὰ πάντα νομίζεται, ὅσα τις φανείη πλημμελήσας. εἰ δὲ καὶ αἴσθησιν τοῖς κρέασι καὶ τοῖς ῥινοῖς περιάπτειν τά γε τῆς ποιήσεως βούλεται, ἀλλ' ἐκεῖνο πρὸ τοῦ παντὸς δεῖξαι βούλεται, ὡς καὶ πᾶσα μὲν αἰσχίων πρᾶξις 35

5. ἱδρύσαοθαι vulg. ‖ 16. τοῖς excidit. ‖ 18. καὶ πρότερον] malim καὶ πρῶτον. ‖

πανταχοῦ βοᾷ τὴν τοῦ ποιήσαντος παρανομίαν, ἡ δὲ τῶν ἐπιόρκων καὶ ἱεροσύλων τοσούτῳ μάλιστα, ὅσῳ καὶ εἰς αὐτὸ τὸ θεῖον ἀναφέρει τὸ δεινόν. κἂν ποτε μὴ παραπόδας τὰ τῆς δίκης ἕρπῃ, ἀλλ' οὐ πολύ γε ὕστερον ἐξήκει, ὥσπερ καὶ θανόντες μαρτυροῦσιν οἱ τοῦ Ὀδυσσέως ναυαγήσαντος ἑταῖροι.

X. Ἔτι περὶ Χαρύβδεως. Λέγεται τῇ ποιήσει δεινόν τινα καὶ παγχάλεπον ἆθλον ὑποστῆναι τὸν Ὀδυσσέα κατὰ τὴν Χάρυβδιν. τῆς γὰρ νεὼς αὐτῷ θεηλάτῳ διαφθαρείσης μήνιδι πρὸς τοῖς ἑταίροις ἐξ ἀμηχανίας τὸν ἱστὸν τῇ τρόπει ἰσχυρῶς συνδήσαντα ἐπινήχεσθαι. ἄνεμον δὲ ὅμως γενέσθαι νότον τῷ ἀνδρὶ ἀντίπρωρον, ὥστε καὶ αὖθις βιασθῆναι διαμετρῆσαι τὴν Χάρυβδιν. καί τοί γε πρὸς αὐτῷ δὴ μάλα ὄντος τῷ δεινῷ ἀναρροιβδῆσαι τὴν θάλασσαν, ὡς εἰώθει, τὸν δὲ αὐτίκα ἐπαρθῆναι τῷ μεγάλῳ κύματι πρὸς τὸν μέγαν ἐρινεόν, ἀφῃρημένον τὴν σχεδίαν, καὶ ὥσπερ τινὰ νυκτερίδα τούτῳ προσφῦναι, οὔτε πη ἔχοντα στηρίξαι τοὺς σφετέρους πόδας, οὔτ' ἐπιβῆναι· μακρὰν γὰρ εἶναι τὰς ἐκείνου ῥίζας, τοὺς δὲ κλάδους μακρούς τε καὶ αὐτοὺς ἀπῃωρημένους τὴν Χάρυβδιν κατασκιάζοντας· ὧν δὴ καὶ ἀσφαλῶς μάλα ἔχεσθαι, ἕως ἂν ὄπισθεν τὰ κατὰ τοῦ βυθοῦ εἰσδύντα ξύλα ἐξεμεθείη. ὀψὲ δὲ καὶ ταῦτα φανῆναι· οἷς δὴ ἐκεῖνον ἐπικαθιζόμενον οἷά τισι κώπαις ταῖς χερσὶ τὴν θάλατταν ἐρέττειν, τὴν μέντοι Σκύλλαν παρελθεῖν οὐδαμῶς ἰδοῦσαν ἐκ θείας δηλαδὴ προνοίας· καὶ οὕτω δὴ ἐννῆμαρ τῷ πελάγει ἐμφέρεσθαι, πάντα τὰ δεινὰ ἐκ ναυαγίου ὑφιστάμενον. καὶ ἃ μέν φησιν ἡ ποίησις τοιαῦτα· νοεῖν δὲ πάρεστι κἀνθάδε Ὀδυσσέα μὲν τὸν κατὰ τοὺς λογισμοὺς ναυάγιον ὑπομεμενηκότα ἄνθρωπον καὶ τῇ δεινῇ Χαρύβδει τῶν τῆς σαρκὸς ἐπιθυμῶν ἀνοήτως προδεδομένον, ἥτις συχνάκις ἀναβρασσομένη καὶ ὑψοῦ τὰ πονηρὰ τῶν παθῶν τινάσσουσα κύματα ὑποβρύχιον ποιεῖ τὸν ὑπ' αὐτῆς κλυδωνιζόμενον. ἀλλ' εἰ κατ' Ὀδυσσέα παρ' αὐτὰ γεγενημένος τὰ δεινὰ σωφρονεστέρους λογισμοὺς ἀναλάβοι, αὐτίκα τῷ κινδύνῳ ἀντικαθίστα-

5. θάνατόντε vulg. ‖ ναυαγήσαντες vulg. ‖ 7. Odyss. 12, 428 sqq. ‖ καὶ δήγε vulg. ‖ 18. οὔτε δὲ βῆναι vulg.: cf. Hom. v. 434. ‖ 22. φανῆσαι vulg. ‖

ται καὶ τῶν πονηρῶν κυμάτων αἰρομένων οὐκ ἀργῶς λοιπὸν οὐδ' ἀπραγμόνως ἔχει, ἀλλὰ πρὶν βίᾳ κατασπασθῆναι ὑπὸ τῆς ἐνύγρου τῶν παθῶν φλογὸς καὶ εἰς βυθὸν κακίας ἐνεχθῆναι, ἰσχυρῶς ἀντιλαμβάνεται θείου φόβου καὶ δικαιοσύνης, ἅπερ ἀφ' ὑψηλοῦ τῇ πονηρίᾳ ἀντικείμενα ὥσπερ ἡ ἐρι- 5 νεὸς ὀρέγει ἄντικρυς χεῖρα τοῖς τῷ κλύδωνι κατασχεθεῖσι τῶν φαύλων τῆς σαρκὸς κινήσεων. οὐκοῦν καὶ ὃν πρότερον βίον ἀπώλεσε σεμνόν τε καὶ θεῖον καὶ μεθ' οὗ τὸν κατὰ τὸν βίον στενωπὸν διέπλει, ἀναλαμβάνει αὐτίκα. τὸ δ' ἐντεῦθεν κούφως τε καὶ ἀκινδύνως τοῖς τῶν πειρασμῶν κύμα- 10 σιν ἐπινήχεται, ἐναγώνιος μέντοι καθιστάμενος ἀεὶ καὶ ὕποπτος, ἕως τὸν τῆς σαρκὸς διέρχεται πλοῦν, καὶ πρὸς τὰ κυμαίνοντα ὁρᾷ τῆς κακίας πνεύματα. οὕτω δ' ἔχων καὶ περιδεής τις ὤν, μή τι πάθοι τῶν δεινῶν ὑπὸ τῶν αἰσχρῶν ἐκείνων ἐπιθυμιῶν, ἥκιστα σπαράττεται τοῖς ὀδοῦσι τῆς ὑπερη- 15 φάνου προαιρέσεως, κἂν πλησίον παροικοῦσα φοβερόν τι ὑλακτῇ καὶ ἄγριον καὶ μετεωρίζειν ἐγχειρῇ ἐπὶ τὸν σκόπελον κατὰ τὴν Σκύλλαν. οὐδὲ γὰρ τοῖς ὀχλουμένοις ὑπὸ τοῦ σφοδροῦ ἐκείνου κλύδωνος τῶν τῆς σαρκὸς παθῶν ὁ κακὸς ἐκεῖνος σκόπελος τῆς ὑπερηφανίας λυμαίνεται, ἀλλὰ τὸν ἐν 20 χερσὶν ὑφορωμένους κίνδυνον κάτω πείθει διαβλέπειν καὶ τὰ μάλιστα μετριάζειν τὸ τετυφωμένον ἀποπτύοντας τοῦ φρονήματος.

XI. *Περὶ Καλυψοῦς, Ἀλκινόου καὶ ἐπιβολῆς τῆς πατρίδος τοῦ Ὀδυσσέως.* Καὶ τοιαύτην τὴν πλάνην 25 προσπλάττεται ἡ ποίησις τῷ Ὀδυσσεῖ ναυαγήσαντι, πηνίκα γυμνός τις καὶ ἀλήτης εἰς τὴν Ὠγυγίαν ἀπενήξατο νῆσον. τὴν γὰρ Καλυψώ φησι νύμφην ἐνοικοῦσαν τῇ χώρᾳ πρώτην ἐπὶ τὴν ἀκτὴν ἀφιγμένην τὸν ἄνδρα ἐκριφέντα εὑρεῖν καὶ ἀναλαβεῖν ἐπὶ τὸ ἄντρον καὶ δαψιλῶς φιλοφρονήσασθαι, 30 ἐπιμελεῖσθαί τε αὐτοῦ ὅσα καὶ ἀνδρὸς γνησίου ἐπὶ ὀκτὼ ἔτεσιν. τὸν δέ γε ὑπ' ἀνάγκης συγκαθεύδειν μὲν τῇ νύμφῃ παρ' ἐθελούσῃ οὐκ ἐθέλοντα νύκτωρ, ἡμέρας δὲ καθ' αὑτὸν ὀδύρεσθαι καὶ πρὸς τὸν πόντον καὶ τὴν Πηνελόπην ὁρᾷν ἐνδακρυν. οὕτω δὲ ἔχοντος τοῦ δυστυχοῦς τοὺς θεοὺς οἱ- 35

23. Odyss. libb. 5—8 et 13 sqq. ‖

κτίσασθαι τὴν συμφοράν, καὶ αὐτίκα πέμψαι τῇ Καλυψοῖ τὸν Ἑρμῆν, ἢ μὴν ἐκπέμψαι τὸν ἄνθρωπον ἐκ τῆς νήσου ταχέως σὺν οὐδενί τῳ κακῷ ἢ καὶ αὐτὴν τὰ χείριστα πείσεσθαι πρὸς τῶν θεῶν κατελπίζειν. πρὸς ταῦτα, εἰ καὶ σὺν ἀηδίᾳ, εἴξασαν δ' οὖν ὅμως τῷ κελεύσματι, ἐπεὶ μὴ ναῦς παρῆν, ἐπὶ σχεδίας εὐτρεπίσαι τὸν Ὀδυσσέα ἀναβῆναι, καὶ καλῶς τόν τε πλοῦν διαθεῖσαν καὶ τὰ τῇ πομπῇ προσήκοντα ἀναστρέψαι ἐπὶ τὸ ἄντρον. τὸν δὲ ἀρξάμενον πλεῖν ἐπιβεβουλεῦσθαι πρὸς τοῦ ἐξαρχῆς ὀργιζομένου δαίμονος, καὶ τὴν μὲν σχεδίαν κατὰ μέσην ἐκτιναχθῆναι τὴν θάλασσαν σφοδροτέροις τοῖς πνεύμασιν, αὐτὸν δὲ ἐφ' ἑνὶ ξύλῳ τῆς σχεδίας πεσόντα καὶ τὰς χεῖρας ἐπὶ τὸ πέλαγος πετάσαντα πλεῖν, ὀψὲ δὲ πολλὰ παθόντα κατὰ τὴν θάλατταν γυμνὸν καὶ αὖθις καὶ παντοῖα περικείμενον συμφορᾶς εἴδη ἐπὶ τὴν τῶν Φαιάκων γῆν ἐκριφῆναι· εἶτ' ἐκεῖ ξενίας ἀπὸ τύχης τετυχηκότα παρὰ τῆς τοῦ βασιλεύοντος θυγατρὸς Ἀλκινόου, εἶτα καὶ παρ' αὐτοῦ τε Ἀλκινόου καὶ τῆς γυναικός, καὶ πολλοῖς γε δώροις φιλοφρονηθέντα ἐκεῖθεν ἀπήμονα κατειληφέναι τὴν πατρίδα μετὰ τῶν φιλτάτων, καὶ οὐδὲ ταῦτα ἀπονητὶ ἀπολαβόντα, ἀλλὰ σὺν ἀγῶνι μάλιστα οὐκ ἀγεννεῖ, ἀπεκτονότα τοὺς βιαίους καὶ ἀδίκους μνηστῆρας τῆς σώφρονος Πηνελόπης καὶ τῆς ἐπιβουλῆς ἐκείνων ἐξαρπάσαντα. καὶ ταῦτα μὲν ὁ μῦθος· ὁ νοῦς δ', ὡς ἐγῷμαι, Ὀδυσσέα βούλεται εἶναι πάντ' ἄνθρωπον ὑπὸ συμφορᾶς τι τετολμηκότα τῶν φαύλων καὶ αἰσχρῶν ἡδονῶν, οἰμώζοντα δ' ὅμως ἐπὶ τῷ πάθει καὶ ἀεί γε ἀνακλαιόμενον ἐπὶ τὴν σύντροφον σωφροσύνην καὶ τὰ τῆς ψυχῆς ἤθη ἐπανελθεῖν, μόλις δὲ θειοτέρᾳ ἐπιτετιμηκότος τῇ φαύλῳ καὶ ἀκολάστῳ *****.

3. τῷ vulg. ‖ 17. τε] vulg. γε.

ΑΝΩΝΥΜΟΥ

[ΣΥΜΜΙΚΤΑ]

I. *Τίνες οἶκοι ἀνάστατοι διὰ γυναῖκας ἐγένοντο. Ὁ μὲν Ἡρακλέους διὰ τὴν ἐπιγαμίαν Ἰόλης, τῆς Εὐρύτου θυγατρός, καὶ ὁ Εὐρύτου διὰ τὴν θυγατέρα. ὁ Θησέως διὰ τὸν ἐφ' Ἱπολύτῳ Φαίδρας ἔρωτα. ὁ Ἀθάμαντος διὰ τὴν Θεμιστοῦς τῆς Ὑψέως ἐπιγαμίαν. ὁ δὲ Ἰάσονος διὰ* 5 *Γλαύκην τὴν Κρέοντος. ὁ Τηρέως διὰ τὴν Φιλομήλας φθοράν. ὁ Ἀγαμέμνονος διὰ τὴν Κλυταιμνήστραν. ὁ Πρίαμου διὰ τὴν Ἑλένης παρουσίαν. ὁ Ἀμφιάρεω διὰ τὴν Ἐριφύλην.*

II. *Φιλάδελφοι. Ἀγαμέμνων καὶ Μενέλαος. Ὀρέστης καὶ Ἤλεκτρα. Κάστωρ καὶ Πολυδεύκης. Ζῆθος καὶ Ἀμ-* 10 *φίων. Κλέοβις καὶ Βίτων. Ἀντιγόνη καὶ Πολυνείκης. Τέννης καὶ Ἡμιθέα. Πρόκνη καὶ Φιλομήλα. αἱ Μελεάγρου ἀδελφαί, Φοίβη, Εὐρυδίκη, Μενεστώ, Ἐρατώ, Ἀντιόπη, Ἱπποδάμεια. αἱ Φαέθοντος ἀδελφαί, Αἴγλη, Λαμπετίη, Φαέθουσα. Ἕλλη καὶ Φρίξος. Μακαρία ἡ Ἡρακλέους ὑπὲρ* 15 *τῶν ἀδελφῶν Θηριμάχου, Αἰχμαίου, Διοπείθους, Κρεοντιάδου σφάγιον ἑαυτὴν ἐπιδοῦσα. αἱ Ἐρεχθέως θυγατέρες Κρέουσα καὶ Χθονία διὰ Πρόκριν τὴν ἀδελφὴν μὴ ὑπομείναι ζῆν ἐκείνης σφαγιασθείσης ὑπὲρ Ἀθηναίων.*

III. *Φιλέταιροι. Θησεὺς καὶ Πειρίθοος. Ἀχιλλεὺς* 20 *καὶ Πάτροκλος. Ἰδομενεὺς καὶ Μηριόνης. Ἀχιλλεὺς καὶ*

5. *θεμίστου τῆς ὑφέως* libri. ‖ 11. *κλεόβουλος* libri. ‖ 14. *ἕλη, λαμπέτη* libri. ‖ 16. *ἰθηριομάχου* libri. ‖

Ἀντίλοχος. Ὀρέστης καὶ Πυλάδης. Διομήδης καὶ Σθένελος. Φίντης καὶ Δάμων Συρακούσιοι, Πυθαγόρειοι· ὧν τοῦ ἑτέρου κατακριθέντος ὑπὸ Διονυσίου ὁ ἕτερος ἠγγυήσατο ἀποθανεῖν, ἐὰν ἐκεῖνος μὴ ἔλθῃ τῇ ὡρισμένῃ ἡμέρᾳ· ὁ δὲ τὰ περὶ τὰ ἴδια διαταξάμενος ἐλθὼν τῆς ἐγγύης τὸν φίλον ἠλευθέρωσε· θαυμάσας δὲ ὁ τύραννος κἀκεῖνον ἀπέλυσε καὶ τρίτον ἑαυτὸν αὐτοῖς φίλον συνηρίθμησεν.

IV. [Φιλομήτορες.] Κλέοβις καὶ Βίτων Ἀργεῖοι τὴν μητέρα ἐπὶ ἁμάξης εἵλκυσαν ἀπὸ τῆς πόλεως ἕως τοῦ ναοῦ τῆς Ἥρας, μὴ ἔχοντες βοῦς.

V. [Ἀσεβεῖς.] Λιτυέρσης Μίδου υἱὸς νόθος, ὃν ὁ Ἡρακλῆς ἀνεῖλεν ὄντα κακόξενον. ἠνάγκαζε γὰρ τοὺς ξένους συνθερίζειν αὐτῷ, εἶτα εὐωχῶν ἀπεκεφάλιζε, τὰ δὲ σώματα ἐκύμιζεν ἐν τοῖς δράγμασιν ὡς παραλελογισμένων. ἱστορεῖ ταῦτα κατὰ μέρος Σωσίθεος ἐν Δαφνίδι λέγων οὕτως·

αἵδ' αἱ Κελαιναί, πατρίς, ἀρχαία πόλις,
Μίδου γέροντος, ὅστις ὦτ' ἔχων ὄνου
ἤνασσε καὶ νοῦν φωτὸς εὐήθους ἄγαν.
οὗτος δ' ἐκείνου παῖς, πατρὶ πλαστὸς νόθος,
μητρὸς δ' ὁποίας ἡ τεκοῦσ' ἐπίσταται,
ἔσθει μὲν ἄρτου τρεῖς ὄνους κανθηλίους
τρὶς τῆς βραχείας ἡμέρας, πίνει θ' ἅμα
καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον.
ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία,
ὄγμους θερίζων· τῇ μιᾷ δ' ἐν ἡμέρᾳ
Διόνυσον ὄμπνῃ συντίθησιν εἰς τέλος.
χὤταν τις ἔλθῃ ξεῖνος ἢ παρεξίῃ,
φαγεῖν τ' ἔδωκεν, εἶτα κἀπεχόρτασεν,
καὶ τοῦ ποτοῦ προὔτεινεν, ὡς ἂν ἐν θέρει,

15. Σωσίθεος Athen. 10. p. 415 B, Σωσίβιος libri: cf. Tzetz. Chil. 2, 595. ‖ 16. tractarunt hoc fragmentum Casaubonus lectt. Theocr. p. 265, Eichstaedt in diss. d. dram. Graec. comico satyrico, G. Hermannus opp. 1. p. 54 sqq.: dedi ex recensione Hermanni. ‖ 16. αἵδ' αἱ] οὔτ' οἱ libri. ‖ 18. φατὸς εὐειδοῦς libri. ‖ 19—24. habet Tzetzes l. l. ‖ 19. περίπλαστος libri, παράπλαστος Tzetzes. ‖ 21—23. habet Athenaeus l. l. ‖ 21. ἄρτους libri et Tzetzes, αὐτὸς Athen. ‖ ὄνους libri, ὅλους Tzetzes. ‖ 24. σιτία] φορτία Tzetzes. ‖ 25. ὄγμον θερίζει libri. ‖ 26. δαίνυσι τ' ἔμπης libri. ‖ 28. εὖ καὶ πιχόρτασιν libri. ‖ 29. προυτεινν' libri. ‖

πλέον· φθονεῖν γὰρ τοῖς θανουμένοις ὀκνεῖ.
ἐπισκοπῶν δὲ πεδία Μαιάνδρου ῥοαῖς
κηπευμάτων ἀρδευτὰ δαψιλεῖ πότῳ,
τὸν ἀνδρομήκη πυρὸν ἠκονημένῃ
ἅρπῃ θερίζει· τὸν ξένον δὲ δράγματι 5
αὐτῷ κυλίσας κρατὸς ὀρφανὸν φέρει
γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν.
ὅτι δ' ἀπέθανεν ὑφ' Ἡρακλέους φησὶ λέγων·
(Α.) θανὼν μὲν εἰς Μαίανδρον ἐρρίφη ποδὸς
ὥσπερ σόλος τις. ἦν δ' ὁ δισκεύσας ἀνὴρ — 10
(Β.) τίς δή; (Α.) πύθοι' ἄν. τίς γὰρ ἀνθ' Ἡρακλέους;
Φιλάνθρωπος ὁ τύραννος τὸ ἐν Ὀλυμπίᾳ ἱερὸν ἐμπρήσας ἐπὶ τῷ μὴ κατὰ γνώμην αὐτοῦ τὰς εὐχὰς τελεῖσθαι, ὑποστρέφων εἰς Ἦλιν οὐ μόνον αὐτὸς ἐκεραυνώθη, ἀλλὰ καὶ οἱ σὺν αὐτῷ ὄντες τριακόσιοι. Ἀλφαιὸς ὁ Σαγγαρίου τοῦ ποταμοῦ υἱὸς 15 Ἀθηνᾶν αὐλητικὴν διδάξας καὶ βιαζόμενος τὴν θεὸν ὑπὸ Διὸς ἐκεραυνώθη. Ἄρδυς Ἱπποκόωντος υἱὸς Ἥραν εἰς Ἄργος πορευομένην βιαζόμενος ὑπὸ Διὸς ἐκεραυνώθη. Φόρβας Θεσπρωτὸς Δημητρὸς ἐρασθεὶς καὶ βιαζόμενος τὴν θεὸν ὑπὸ Διὸς ἐκεραυνώθη. Οὐαλέριος Οὐεστῖνος ἐτυφλώθη ὑπὸ 20 Λευκίου Οὐμβρίου διὰ τὸν τοῦ υἱοῦ Ῥουστίκου θάνατον, ὃν παρακαταθήκην παρὰ Οὐμβρίου λαβὼν ἀνεῖλε διὰ τὰ μετ' αὐτοῦ χρήματα.

VI. [Μεταμορφωθέντες.] Λυκάων ὁ βασιλεὺς μετεμορφώθη εἰς λύκον διὰ τὸ τῷ Διὶ παραθεῖναι ἐπὶ τῆς τρα- 25 πέζης κρέα ἀνθρώπινα παρ' αὐτῷ ξενουμένῳ. Ἄργος ὁ Πανόπτης Ἰοῦς φύλαξ ἀναιρεθεὶς ὑφ' Ἑρμοῦ εἰς ὄρνεον ταὼν μετέβαλε κατ' ἔλεον Ἥρας, οὗ διὰ τῶν πτερῶν ἡ πολυπληθία τῶν ὀμμάτων φαίνεται. Σύριγξ νύμφη διωκομένη ὑπὸ Πανὸς εἰς τὸν Λάδωνα ποταμὸν αὐτὴν ἔρριψε, καλάμων 30 δὲ φυέντων Πὰν τεμὼν καὶ ὄργανόν τι κατασκευάσας σύριγγα προσηγόρευσεν εἰς τιμὴν τῆς προειρημένης νύμφης. Κύκνος Σθενέλου υἱὸς διὰ τὸ Φαέθοντος πένθος εἰς ὁμώνυμον

1. ὤκνει libri. ‖ 2. ἐπιστατῶν οἰδῆά libri. ‖ 3. καρπευμάτων libri. ‖ 4. ἠονημένη libri. ‖ 7. γερῶν — ἠρίστησεν libri. ‖ 9. εἰς] οὖν libri. ‖ 10. σοφός τις ὥσπερ δίσκος· ἦν δ' ὁ ἰσκεύσας ἀνὴρ πυθιο ... libri. ‖ 12. φιλανος cod. Med. ‖ 15. ἀλφειὸς cod. Escor. ‖ 20. οὐιστῖνος libri. ‖

ὄρνεον [μετέβαλεν]. Κορώνη Κορωνέως θυγάτηρ τοῦ Φωκέων δυνάστου φεύγουσα τὸν Ποσειδῶνος ἔρωτα εἰς τὸ ὁμώνυμον μετέβαλεν ὄρνεον κατ' ἔλεον Ἀθηνᾶς. Νυκτιμένη Κλυμένου θυγάτηρ φεύγουσα τὸν τοῦ πατρὸς ἔρωτα κατ' ἔλεον Ἀθηνᾶς εἰς γλαῦκα μετεμορφώθη. Ἥλιος Λευκοθόῃ τῇ Ὀρχομένου μιγῆναι θελήσας εἰς τὴν μητέρα τῆς προειρημένης μετεμορφώθη. ταύτην ὁ πατὴρ ζῶσαν κατώρυξεν, Ἥλιος δὲ εἰς δένδρον λιβανοφόρον μετεμόρφωσε, ποιήσας ἐκ τοῦ τάφου αὐτῆς φῦναι, τὴν δὲ ἀδελφὴν αὐτῆς εἰς πόαν ἡλιοτρόπιον διὰ τὸ κατηγορῆσαι αὐτῆς.

VII. Λευκώνη Κυανίππου γυνή, φιλοκυνήγου τοῦ ἀνδρὸς ὑπάρχοντος ζηλοτυποῦσα καὶ ὑποπτεύουσα πρὸς ἑτέραν αὐτὸν πορεύεσθαι γυναῖκα αὐτῆς ἀμελοῦντα, νυκτὸς ἀκολουθήσασα καὶ λάθρα εἰς τὴν ὕλην ἐγκρυβεῖσα ὑπὸ τῶν τοῦ ἀνδρὸς κυνῶν διεσπάσθη. Πολύυμνος Ἀργεῖος Διονύσου ἐρασθεὶς ὑπέσχετο ζητοῦντι τὴν εἰς Ἅιδου κάθοδον μηνύσειν, ἐὰν αὐτῷ τῆς ὥρας ἀποχαρίσηται. ἐπαγγειλαμένου δὲ τοῦ θεοῦ ἐμήνυσε διὰ τῆς Λέρνης οὔσης ἀβύσσου. ἀναγαγὼν δὲ τὴν Σεμέλην εὗρε τὸν Πολύυμνον τετελευτηκότα, θέλων δὲ εὐορκεῖν, ἐλθὼν ἐπὶ τὸν τάφον τοῦ ἐραστοῦ συκίνῳ φάλλητι περιεκυλίσατο. διὰ τοῦτο ἔνιοί φασι ἵστασθαι τῷ θεῷ φάλλους ὑπομνήματα τῆς εὐορκίας.

1. μετέβαλεν videtur excidisse. ‖ 3. νυκτινόμη libri. ‖ 6. corr. Ὀρχάμου ex Ovid. met. 4, 212. ‖ 12. πρὸς—ἀμελοῦντα om. cod. Med. ‖ 14. ἐγκρυβοῦσα id. ‖ 17. erat ἀποχαρήσεται.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΠΕΛΙΑΣΙΜΟΥ

ΠΕΡΙ ΤΩΝ ΔΩΔΕΚΑ ΑΘΛΩΝ ΤΟΥ ΗΡΑΚΛΕΟΥΣ

Τὸν ἐν Νεμέᾳ λέοντα, ὕδραν, ἔλαφον, κάπρον,
κόπρου Αὐγείου κάθαρσιν, ὄρνιθας Στυμφαλίδας,
ταῦρον τὸν Κρήτηθεν, ἵππους Θρᾳκικὰς Διομήδους,
ζωστῆρα Ἱπολύτης τε, βόας τε Γηρυόνου,
μῆλα τὰ Ἑσπερίδων τε, Κέρβερόν τε τὸν κύνα, 5
ὁ Ἡρακλῆς τετέλεκε δύο καὶ δέκα ἄθλους.

I. *Περὶ τοῦ ἐν Νεμέᾳ λέοντος. Ἐξέμηνε τὸν Διὸς Ἡρακλῆν τὸ τῆς Ἥρας ζηλότυπον. εἰς δὲ Πυθὼ μολὼν, ὅπως ἀνανήψειε τῆς μελαγχολίας, πυνθάνεται, καί οἱ χρᾷ τὸ δαιμόνιον Εὐρυσθεῖ τε λατρεύειν τῷ ἐκ Περσέως ἀνέκα-* 10 *θεν καὶ τὸ προσταττόμενον ἀπαραιτήτως ἐκτελεῖν. καταλαμβάνει τοίνυν τὴν Τίρυνθα, καὶ δουλαγωγούμενος Εὐρυσθεῖ τὸν τοῦ Νεμεαίου λέοντος φόνον πρῶτον ἆθλον τελεῖν*

Inscriptionem V habet hanc: *τοὺς ἡρακλέους ἀνδρικοὺς δεκαδύο ἐντεῦθεν ἐκμάνθανε φιλο* (super scriptis litteris nonnullis, quarum dignosci tantum potest *τ*) *ἄθλους*: hos quoque versus fuisse politicos sponte apparet. ‖ 1. *ἐννεμαία* V. ‖ 4. *βόας τοῦ γυριόνου* V. ‖ 5. *τε* post *ἑσπερ.* om. V. ‖ 6. *δυοκαίδεκα* V et Pal. ‖ sequuntur in V horum versuum scholia, quorum hic habes specimen: *στυμφαλὶς λίμνη περὶ τὴν ἀρκαδίαν ὑπόστυφον ἔχουσα τὸ ὕδωρ, καὶ διὰ τοῦτο στυμφαλὶς λεγομένη κατὰ παρέμπτωσιν τοῦ μ· στυφὸν δὲ ἐτυμολογεῖται ἀπὸ τοῦ τετυφόν· τὸ γὰρ στυφὸν ὥσπερ τύπτει τὴν γλῶτταν, καὶ γίνεται τυφόν, καὶ πλεονασμῷ τοῦ σ̄ στυφόν, ὥσπερ μικρόν σμικρόν, τυφόν στυφόν. ἢ ἀπὸ τοῦ στέφω, ὡς περιστεφὴς* (*περιστεφ. ἷς* V) *δένδρεσι, τροπῇ τοῦ ε̄ ψιλοῦ εἰς ῡ* (*ō* V). ‖ 8. *πυθὼν* V, *Πυθῶνα* vulg. ‖ 9. *χρᾶται δ.* pr. m. V. ‖ 10. *λατρεύσειν* V. ‖ *τῷ — ἀνέκαθεν* om. V. ‖ 11. *τελεῖν* V. ‖ 13. *Νεμαίου* vulg. ‖

ἐπιτάττεται. θὴρ δὲ οὗτος χαλκῷ μὲν ἄτρωτος, ἐκ Τυφῶνος δὲ τὴν γένεσιν εἰληφώς. μέλλων τοίνυν καταλαμβάνειν τὴν Νεμέαν εἰς Κλεωνὰς ἔρχεται, καί τινι χερνήτῃ περιτυχὼν θύειν Διὶ μέλλοντι τὴν θυσίαν εἰς ἡμέραν ὑπερθέσθαι τριακοστὴν ἀξιοῖ, κἂν μὲν παλίνοστος ἵκηται θύειν Σωτῆρι Διί, ἐναγίζειν δὲ ὡς ἥρωι μὴ περιγενομένῳ τοῦ λέοντος. καταλαμβάνει μετὰ Κλεωνὰς Νεμέαν, μαστεύει τὸν θῆρα, τοξεύει τὸ πρῶτον, ὡς δ' ἐκ τῆς πείρας ἔμαθεν ἄτρωτον, διώκει τὸ ῥόπαλον ἐντεινάμενος· συμφυγόντος δὲ πρὸς ἀμφίστομον σπήλαιον τὴν ἑτέραν ἀπέκλεισεν εἴσοδον, ἐπιὼν δὲ τῷ θηρίῳ διὰ θατέρας, περιθεὶς τῷ λαιμῷ τοὺς δακτύλους συμπιέζει καὶ ἄγχει. καὶ βαστάσας νεκρὸν ἐπωμάδιον ἄγει πρὸς Κλεωνὰς πρῶτον, εἶτα Διὶ θύσας αὐτόθι καταλαμβάνει Μυκήνας καὶ διὰ θαύματος Εὐρυσθεῖ γίνεται.

II. *Περὶ τῆς Λερναίας ὕδρας.* Ἔδεισε δὶ ἀνδρείας ὑπερβολὴν Ἡρακλῆν Εὐρυσθεύς, καὶ μηκέτι συγχωρῶν εἰσιέναι Μυκήνας δεικνύειν πρὸ πυλῶν τοὺς ἄθλους ἐκέλευσεν. δεύτερον δὴ τὴν Λερναίαν ὕδραν κτείνειν ἀγῶνα προσέταξεν. ἡ δὲ θηρίον ἦν ἀμαιμάκετον, σῶμα μὲν ὑπερμέγεθες, κάρηνον δὲ ἔχον ἐννεακέφαλον· τῷ δὲ τῆς Λέρνης ἕλει τραφὲν, προϊὸν τῷ πεδίῳ πᾶν ὅ τι προστύχοι διέφθειρεν. ἐπιβὰς οὖν ἅρματος Ἡρακλῆς, ἡνίοχον ἔχων Ἰόλαον εἰς τὸ τῆς Λέρνης πεδίον ἀφίκετο, πεπυρωμένοις δὲ βάλλων τοῖς βέλεσιν εἰς συμπλοκὴν κατηνάγκασεν. ἡ μὲν οὖν θατέρῳ τοῖν ποδοῖν ἐμπλακεῖσα ἐνείχετο, ὁ δὲ τῷ ῥοπάλῳ κόπτων τὰς κεφαλὰς ἤνυε πλέον οὐδέν· μιᾶς γὰρ δειροτομουμένης δύο ἐφύοντο. προσεβοήθη δὲ τετρατώδης καρκῖνος, καὶ ἦν ὁ ἆθλος δυσκατα-γώνιστος. ἀνθ' ὧν Ἰολάῳ προσχρησάμενος Ἡρακλῆς βοηθῷ κτείνει μὲν τὸν καρκῖνον, δαλῷ δὲ τὰς ἀνατολὰς τῶν κεφαλῶν ἀμαυρῶν ἔστησε τῆς ἐκφύσεως. ἀποκόψας δὲ τὴν ἀθάνατον ἐκ πασῶν κεφαλήν, κατορύξας πέτραν ἐπέθηκεν. ἀναρρήξας δὲ ταύτης τὸ σῶμα τοὺς ὀϊστοὺς ἔβαψε, καὶ πρὸς

9. ἐντεινάμενος Heynius ad Apoll. 2. 5, 1, vulg. ἐκτεινάμενος. ‖ 10. τὴν add. V. ‖ 11. πιέζει V. ‖ 13. αὐτόθι V, vulg. αὐτόθεν. ‖ 15. ἀνδρίας V. ‖ 16. ἡρακλὴν εὐρυσθεὺς V, vulg. Εὐρ. Ἡρακλῆν. ‖ 20. ἔχων V. ‖ τῷ] τὸ V. ‖ ἕλει τραφὲν om. V. ‖ 21. τῷ πεδίῳ] πεδίον V. ‖ 22. ὁ ἡρ. V. ‖ εἰς V, vulg. ἐς. ‖ 25. ἐνείχετο] ἐμάχετο V. ‖ 27. ὁ add. V. ‖ 28. ἰόλεω V. ‖ 31. πέτραν V, vulg. πέτρον. ‖ 32. ἀναρρήξας

Εὐρυσθέα καλλίνικος ἀναζεύγνυσιν. οὐ μέντοι [ἐν] τοῖς δώδεκα τὸν ἀγῶνα τοῦτον Εὐρυσθεὺς ἔταξεν· σύμμαχος γὰρ Ἡρακλεῖ τηνικαῦτα Ἰόλαος.

III. *Περὶ τῆς χρυσόκερω ἐλάφου. Τρίτον ἐπέταξεν ἆθλον τὴν ἐξ Οἰνόης χώρας ἔμπνουν κομίζειν χρυσόκερων* 5 *ἔλαφον. οὗ χάριν μήτε βαλεῖν μήτε μὴν ἀνελεῖν ταύτην βουλόμενος Ἡρακλῆς ὅλον ἐνιαυτὸν συνεδίωκεν. ἐπεὶ δὲ καμὸν τὸ θηρίον κρησφύγετον ἔγνω τὸ Ἀρτεμίσιον, καταφεύγει μὲν εἰς τὸ ὄρος, ἐκεῖθεν δὲ περαιούμενον Λάδωνα φθάνει καὶ συλλαμβάνει. τοῖς ὤμοις δὲ θέμενος διὰ τῆς Ἀρκαδίας ἠπεί-* 10 *γετο, συντυχοῦσα δὲ σὺν Ἀπόλλωνι Ἄρτεμις, ὅτι τὴν ἱερὰν αὐτῆς ἔλαφον εἵληφε, κατεμέμφετο. πραΰνει δὲ τὴν ὀργὴν τῇ θεῷ τὴν ἐξ Εὐρυσθέως ἀνάγκην προφασισάμενος. τοῦ λοιποῦ δὲ Μυκήνᾶζε τὸ θηρίον ἔμπνουν ἐκόμισε, [καὶ δὴ καὶ ἐλαίαν ἐξ Ὑπερβορέων εἰς Ἕλληνας ἤγαγεν.]* 15

IV. *Περὶ τοῦ Ἐρυμανθίου κάπρου. Ἠδίκει τὴν Ψωφῖδα κάπρος ὁ Ἐρυμάνθιος· ἀνθ' ὧν Ἡρακλῆς τέταρτον ἆθλον ὑφίσταται, καὶ ζῶντα τοσοῦτον χαυλιόδοντα σὺν κομίζειν ἐπιταχθεὶς οὐ κατεφρόνει τοῦ ἐπιτάγματος. Φολόην οὖν διοδεύων Φόλῳ τῷ Κενταύρῳ ξενίζεται.* Φόλος *μὲν οὖν* 20 *ὀπτὰ κρέα παρεῖχε φιλοφρονούμενος, ὁ δὲ τοῖς ὤμοῖς μᾶλλον ἐκέχρητο. οἶνον δὲ ἀπαιτήσαντος Φόλος μὲν τὸν κοινὸν πίθον Κενταύρων ἀνοίγειν δεδιέναι διισχυρίζετο. θαρρεῖν δὲ Ἡρακλῆς ἔφησε, καὶ πείθει καὶ πέπωκεν. αἰσθόμενοι δὲ διὰ τῆς ὀσμῆς οἱ Κένταυροι παρῆσαν ἐλάτας ἀνατεινάμενοι.* 25 *κατὰ κράτος δὲ τρεψάμενος αὐτοὺς Ἡρακλῆς, τοὺς δὲ καὶ διολέσας τοῖς βέλεσιν, ἐπὶ τὴν τοῦ κάπρου θήραν ἐγένετο. διώξας δὲ τοῦτον ἔκ τινος λόχμης μετὰ κραυγῆς, χιόνι παρειμένον ἐμβροχίσας εἰς Μυκήνας ἔμπνουν ἐκόμισεν.*

V. *Περὶ τῆς Αὐγείου κόπρου. Ἕως Ἡρακλῆς τοῖς* 30

omisso δὲ V. ‖ 1. ἐν excidit. ‖ 3. Ἰόλεως vulg. ‖ 5. ἄεθλον V. ‖ χώρας om. V. ‖ χρυσόκερον V. ‖ 6. βαλλεῖν V. ‖ 7. ἐπεὶ καμὼν V. ‖ 9. δὲ om. V. ‖ φθάνει] βάλλει V, quod magis conspirat cum Apollodori (2. 5, 3) τοξεύσας. ‖ 11. ἀπώλωνι V. ‖ 12. εἵληφε] ἔκτεινε V. ‖ 14. δὲ om. V. ‖ θυρίον V. ‖ 17. Ψωκίδα vulg. ‖ κάπρος add. V. ‖ 20. διοδεύων] διιὼν V. ‖ 21. ὀπτὰ Apoll. 2. 5, 4, vulg. ἑπτὰ: poterat et ἑφθὰ corrigi. ‖ 23. δεδειέναι V. ‖ 25. οἱ addidi, ac 23 quoque f. τῶν addendum. ‖ 26. καὶ om. V. ‖ 27. διόλεσε V. ‖ τοῦ om. V. ‖ 28. διόξας V. ‖

φθάσασιν ἦν ἀγῶσιν ἀνενδεής, καινοτέρους Εὐρυσθεὺς προσεξεύρισκεν. ὁ δ' ἐλειτούργει τοῖς ἐπιτάγμασι, καὶ Διὸς γεγονὼς ἐπιστοῦτο τοῖς ἔργοις τὴν γένεσιν. τὴν Αὐγείου δὴ τῶν θρεμμάτων ὄνθον μετὰ τοὺς διηνυσμένους ἄθλους ἡμέρᾳ μιᾷ καθαίρειν προστάττεται. βασιλεὺς Ἤλιδος ὁ Αὐγείας, παῖς Ἡλίου τὸ μυθευόμενον, τὸ δ' ἱστορούμενον Φόρβαντος. συχνὰ τούτῳ βοσκήματα, χώρῳ δ' ἑνὶ μακροῖς ἔτεσι σηκαζόμενα κόπρον ἀμύθητον ἐπεσώρευσαν. Αὐγείᾳ τοίνυν προσιὼν Ἡρακλῆς, μὴ δηλώσας τὴν ἐξ Εὐρυσθέως ἐπιταγήν, εἰ παράσχοι τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων, ἡμέρᾳ μιᾷ τῆς κόπρου τὸν φορυτὸν ἐκφορήσειν ὑπέσχετο. κατανεύει μὴ πιστεύων ὁ Αὐγείας. Φυλέα δὲ τὸν Αὐγείου μαρτυράμενος Ἡρακλῆς διαιρεῖ τῆς αὐλῆς τὸν θεμέλιον καὶ παροχετεύσας τὸν Ἀλφειὸν ἅμα τῷ Πηνειῷ σύνεγγυς ῥέοντας τὴν ὄνθον ἐκαθῆρεν, ἔκρουν δι' ἄλλης ἐξόδου κατεργασάμενος. ὡς δ' ἔμαθε κατ' ἐπιταγὴν Εὐρυσθέως διηνύσθαι τὸν ἆθλον ὁ Αὐγείας, τὸν μισθόν τε οὐ παρεῖχε καὶ ὑπεσχῆσθαι ἐξηρνεῖτο, ἔτι δὲ καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἦν· ὡς δὲ καθεζομένων τῶν δικαστῶν ὡς ὑπεσχημένου τοῦ πατρὸς κατεμαρτύρησεν ὁ Φυλεύς, ὀργισθεὶς ὁ Αὐγείας πρὶν ἐνεχθῆναι τὴν ψῆφον τόν θ' Ἡρακλέα καὶ αὐτὸν Φυλέα βαδίζειν ἐκέλευσεν ἐκ τῆς Ἤλιδος. Φυλεὺς μὲν οὖν εἰς Δουλίχιον ᾔει, πρὸς Ὤλενον δ' Ἡρακλῆς προςδεξάμενον ἵκετο. καὶ Μνησιμάχην τὴν Ὠλένου ῥυσάμενος Εὐρυτίωνος ἧκεν εἰς Εὐρυσθέα. παρ' ὅσον δὲ μισθὸν ἀπῄτει τῆς ἐκφορήσεως, οὐδὲ τὸν ἀγῶνα τοῦτον Εὐρυσθεὺς [ἐν] τοῖς δώδεκα προσεδέξατο.

VI. Περὶ τῶν Στυμφαλίδων ὀρνίθων. Τὰς Στυμφαλίδας σοβεῖν ὄρνιθας Ἡρακλεῖ ἕκτος ἀγὼν ἔκειτο. λίμνη παρὰ τοῖς Ἀρκάσιν ἡ Στυμφαλίς, ὕλη δὲ μυρίᾳ συνηρεφὴς καὶ κρησφύγετον ὄρνισιν ἦν. οὐδεμιᾶς οὖν μηχανῆς τῇ θήρᾳ τούτων εὑρημένης παρ' οὐδενὸς Ἡρακλῆς διώκειν τὰς ὄρνι-

4. διηνυμένους V. ‖ 5. καθαίρειν om. V. ‖ 9. ἐξ add. V. ‖ 10. τούτῳ vulg. ‖ 12. φυλέα hic et infra V, vulg. Φυλλέα. ‖ 14. ὁρῶντας V. ‖ 15. δὲ μάθοι vulg. ‖ 16. ἄεθλον V. ‖ ὁ Αὐγείας om. V. ‖ 17. ἐξηρνεῖτο V, vulg. ἐξήρνητο. ‖ δὲ]τε vulg. ‖ 19. ὑποσχομένου V. ‖ 22. ᾔει V, vulg. εἴη. ‖ 23. προσδεξάμενον, non πρὸς Δεξάμενον auctorem legisse ap. Apoll. 2. 5, 5 apparet ex seq. τὴν Ὠλλένου: V προσδεξάμενος. ‖ 24. δὴ V. ‖ 26. ἐν excidit. ‖ 28. ἡρακληκὸς V. ‖ 30. ἦν om. V. ‖

θας ἠναγκάζετο. συναίρεται τούτῳ τῆς θήρας Παλλάς, ἡφαιστότευκτα δὲ παρασχοῦσα χάλκεα κρόταλα λύει τὴν ἀμηχανίαν αὐτῷ. κρατῶν γὰρ τοὺς κώδωνας Ἡρακλῆς ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου φόβον ἐποίει ταῖς ὄρνισιν, καὶ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀφίπταντο, καὶ τῇδε βέλεσι τῶν ὀρνίθων περιεγένετο.

VII. *Περὶ τοῦ Μίνωος ταύρου.* Μίνως ὁ Κρής, ὁ Διὸς ἔκγονος, ὁ Ῥαδαμάνθυος ὅμαιμος, τὸ φανὲν ἐκ θαλάσσης Ποσειδῶνι θύειν ὑπέσχετο. καὶ δὴ καὶ ἀνῆκε Κυανοχαίτης θέαμα κάλλους ταῦρον αἰπύκερων. ἀλλὰ τοῦ κάλλους ὁ Μίνως κατελεήσας τὸν ταῦρον τοῦτον μὲν ἀφῆκεν εἰς τὰ βουκόλια, θύει δὲ ταῦρον ἀνθέτερον. ἐφ' οἷς ὀργισθεὶς ὁ Ποσειδῶν τὸν ταῦρον ἠγρίωσε καὶ παντὶ τὸ ζῶον ἀπρόσιτον ἦν. πέμπεται τοίνυν Ἡρακλῆς ἐπὶ τὴν τούτου κατάσχεσιν. Μίνως δὲ λαμβάνειν ἠξίου τὸν διαγωνισόμενον. τοιγάρτοι καὶ διαγωνισάμενος καὶ νικήσας εἷλε τὸν ταῦρον καὶ πρὸς τὸν πέμψαντα διεκόμισεν. ὁ δ' ἄνετον εἴασε, καὶ πλανηθεὶς διαβὰς τὸν Ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἵκετο, τὰ γειτονεύοντα λυμαινόμενος.

VIII. *Περὶ τῶν Διομήδους ἵππων.* Ἀρχαιότερος τοῦ Τυδείδου Διομήδης ἦρχε Θρᾳκῶν. τούτῳ καὶ τὸ ὑπήκοον μὲν θηρίων ἀτιθασσότερον (Βίστονες γάρ οἱ ὑπὸ χεῖρα, λαὸς Θρᾳκῶν, ἔθνος αἱμοχαρὲς καὶ ἀμείλικτον), ἵπποι δ' ἦσαν ζυγὸν μὲν καθάπαξ ἀπηρνημέναι, τοὺς δ' οὐκ ἐθάδας δι' ὠμότητα διαφθείρουσαι. ταύτας κομίζεσθαι πρὸς Μυκήνας ἀνάγκη βαρεῖα τὸν Ἡρακλέα κατήπειγεν. πλεύσας εἰς Θρᾴκην οὐκοῦν τοὺς μὲν ἐπὶ ταῖς φάτναις τῶν ἵππων βιάζεται, κατάγει δὲ τὰς ἵππους πρὸς θάλασσαν, ἐναντιουμένων δὲ τῶν Θρᾳκῶν ταύτας μὲν Ἀβδήρῳ τῷ ἐρωμένῳ φυλάττειν πιστεύει, πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος Διομήδην μὲν ἀποκτείνει, τοὺς δὲ λοιποὺς φεύγειν ἠνάγκασεν.

8. ὁμαίμων V. ‖ ἐκ θαλάσσης V, vulg. ἐν θαλάσσῃ. ‖ 12. ὁ om. V. ‖ 13. παντὶ V, vulg. παντίτῳ, f. παντί τῳ. ‖ 15. δὲ om. V. ‖ 21. τούτῳ καὶ τὸ ὑπήκοον V, vulg. τούτῳ δὲ καὶ τὸ ὑπεῖκον. ‖ 22. γάρ οἱ] γὰρ ὁ vulg. ‖ 23. ἀμήλικτον V. ‖ δ' om. V. ‖ 25. διωμότητα V, vulg. δὲ δι' ὠμ. ‖ διαφθείρουσαι V, vulg. φθείρουσαι. ‖ 28. βιάζεται καὶ κατάγει τοὺς ἵππους V. ‖ πρὸς V, vulg. εἰς. ‖ 29. Λυδήρῳ hic et infra vulg. ‖ 31. μὲν om. V. ‖

Ἀβδήρῳ δὲ διασπασθέντι τοῖς ἵπποις περὶ τὸν τάφον κτίσας τὴν Ἄβδηραν, ὃ ἀπῄτητο κεκόμικεν Εὐρυσθεῖ. μεθέντος δὲ ταύτας τοῦ Εὐρυσθέως εἰς Ὄλυμπον ἀπελθοῦσαι πρὸς τῶν θηρίων ἀπώλοντο.

5 IX. Περὶ τοῦ Ἱπολύτης ζωστῆρος. Ὁ τῆς Ἱπολύτης ζωστὴρ δῶρον ἦν Ἄρεος. ὁ ζωστὴρ τοῦ πρωτεύειν τεκμήριον Ἀδμήτῃ τῇ Εὐρυσθέως δριμὺν ἐνέθηκεν ἔρωτα. τῶν Ἀμαζόνων Ἱπολύτη βασίλεια. περί που τὸν Θερμώδοντα ποταμὸν ἔθνος αἱ Ἀμαζόνες, Ἄρει μὲν κάτοχον, ἀν-
10 δρῶν δὲ καίπερ οὖσαι γυναῖκες διαφερόντως εἰς μάχην ἐπικρατέστερον· διὰ δὲ τὴν εἰς ὅπλα ῥοπὴν τὸν δεξιὸν μαζὸν ἀποθλίβουσαι τὴν κλῆσιν ἐκ τοῦ συμβεβηκότος ἐσχήκασιν. ἐπὶ τοίνυν τὴν Ἱπολύτην καὶ τὸν μάχιμον Ἀμαζόνων στρατὸν διὰ τὸν Ἀδμήτης ὑπὲρ ζωστῆρος ἔρον σφοδρὸν ὁ Ἡρα-
15 κλῆς ἀποστέλλεται. παραγενομένης δὲ πρὸς αὐτὸν Ἱπολύτης καὶ πυθομένης, οὗ χάριν ἥκοι, καὶ δώσειν ὑποσχομένης, Ἥρα τῶν Ἀμαζόνων εἰκασθεῖσα μιᾷ τὰς Ἀμαζόνας καθ' Ἡρακλέους παρώξυνε. καὶ περιστᾶσαι μεθ' ὅπλων τὸν ἥρωα πρὸς μάχην ἠρέθιζον ἑαυτάς. μνησθεὶς οὖν ὁ Ἡρακλῆς τῆς
20 ἐνούσης αὐτῷ ῥώμης κτείνει μὲν Ἱπολύτην καὶ τὸν ζωστῆρα λαμβάνει, πρὸς δὲ τῶν Ἀμαζόνων στρατὸν διαγωνισάμενος φυγεῖν παρεσκεύασε, πάρεργα δὲ τοῦ ἀγῶνος τήν θ' Ἡσιόνην τοῦ κήτους ἐρρύσατο καὶ τοὺς Πρωτέως ἀπέκτεινεν.

X. Περὶ τῶν βοῶν Γηρυόνου. Τέρας ἦν ἐν Γαδει-
25 ροις ὁ Γηρυόνης, Καλλιρόης μὲν τῆς Ὠκεανοῦ καὶ Χρυσάορος παῖς, σῶμα δὲ συνηγμένον εἰς ἓν συμφυὲς ἔχων τρικέφαλον. τούτῳ φοινικαῖ βόες ἐτύγχανον βοσκόμεναι κατὰ τὴν Ἐρύθειαν, ἣ νῦν ὀνομάζεται Γάδειρα. τῶν δὲ βουκόλος μὲν Εὐρυτίων, Ὄρθος δὲ φύλαξ κύων ἐξ Ἐχίδνης δικέφαλος.
30 πεμφθεὶς οὖν ὁ Ἡρακλῆς ἐπὶ ζήτησιν τῶν βοῶν, ἐπειδὰν πρὸς τὰ τῆς γῆς ἀφίκετο τέρματα, στήλας ἱστᾷ τῆς ὁδοιπορίας τεκμήρια. μεσημβρίας δὲ οὔσης ἡλίῳ θερόμενος βέλος ἀφίησι

4. ἀπώλλοντο V. ‖ 6. δῶρον δ' ἦν V. ‖ 7. ἀδμήτα V. ‖ 9. κάτοχον] κάτωθεν V. ‖ 10. ἐπικρατέστεροι V. ‖ 11. μαζὸν add. V. ‖ 13. ἐπὶ] ἐπεὶ V. ‖ 14. ὁ om. V. ‖ 19. ἑαυτάς V, vulg. ἑαυτόν. ‖ 23. ἐρύσατο vulg. ‖ ἔκτεινεν V. ‖ 25. γυρυόνης V. ‖ 26. συνημμένον V. ‖ 28. ἐρίθειαν hic et infra V. ‖ 30. ὁ om. V. ‖ 31. τῆς om. V ‖ 32. ἡρακλῆς post θερόμενος add. V. ‖

κατὰ τοῦ θεοῦ. καὶ ὃς θαυμάσας τὴν ἀνδρίαν τοῦ ἥρωος δέπας ἔδωκε χρύσειον, ᾧ διαπεραιωθεὶς τὸν ὠκεανὸν καταλαμβάνει τὰς βοῦς εἰς Ἐρύθειαν. ὁ δὲ κύων Ὄρθος αἰσθόμενος ἐπ' αὐτὸν ὥρμησεν. ἀλλὰ κτείνει τὸν κύνα σὺν Εὐρυτίωνι. μανθάνει δὲ Γηρυόνης τὸ γεγονός, καὶ μάχην Ἡρακλεῖ 5 συστησάμενος ἡττᾶται καὶ κτείνεται. καὶ δὴ τὰς βόας εἰς τὸ δέπας ἐνθέμενος Ἡρακλῆς καὶ διαπλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν τὸ δῶρον ἀπέδωκεν. πολλοῖς δὲ μεταξὺ προσμογήσας δεινοῖς Εὐρυσθεῖ τὰς βόας ἐκόμισεν.

XI. Περὶ τῶν μήλων τῶν Ἑσπερίδων. Χρύσεια 10 μῆλα παρ' Ἑσπερίδων ἄγειν τὸν Ἡρακλῆν ἑνδέκατος ἀγὼν ἔκειτο. τὰ δ' ἦν ἐν Ὑπερβορέοις καὶ περί που τὸν Ἄτλαντα· Διὶ δέ ποτε δῶρον Ἥρα γήμαντι δέδωκεν. ἦν δὲ ὁ ἆθλος οὐκ εὐκατόρθωτος· δράκων τε γὰρ ἀθάνατος πολυκάρηνος φύλαξ αὐτοῖς καὶ Ἑσπερίδες αὐταί. παντοδαποῖς οὖν ἀπαι- 15 σίοις περιπεσὼν συναντήμασι καὶ δὴ καταλαβὼν καὶ τὸν Καύκασον, τοξεύσας τὸν ἀετὸν ὃς τὸ τοῦ Προμηθέως ἧπαρ κατέσθιε, καὶ τὸν Προμηθέα τοῦ δεσμοῦ λύσας, ἧκεν εἰς Ἄτλαντα. τρία δὲ μῆλα παρ' Ἑσπερίδων Ἄτλας δρεψάμενος Ἡρακλεῖ δίδωσιν. ἐπεὶ δὲ τὸ χρῆμα κεκόμικεν Εὐρυσθεῖ, 20 δεξάμενος Εὐρυσθεὺς δωρεῖται τῷ τὰ μῆλα πορσύναντι. παρ' οὗ λαβοῦσα Παλλὰς πάλιν ἀπήγαγεν· μετατεθῆναι γάρ που ταῦτα οὐκ ἦν ὅσιον.

XII. Περὶ Κερβέρου. Κέρβερον ἐξ Ἅιδου κομίζειν δωδέκατον ἆθλον Ἡρακλῆς ἐπετέτακτο. τῷ δὲ κυνὶ τρεῖς 25 μὲν κεφαλαί, τὸ οὐραῖον δὲ δράκοντος, κατὰ δὲ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. μέλλων τοίνυν εἰς Ἅιδου πορεύεσθαι παραγίνεται πρὸς τὴν Ἐλευσῖνα, καὶ μυηθεὶς ὑπ' Εὐμόλπου διὰ τοῦ Ταινάρου πρὸς τὸν Ἀϊδωνέα κατῄει. ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαί, δίχα Μελεάγρου καὶ Με- 30 δούσης τῆς θνητῆς ἐκ Γοργόνων δειλιῶσι καὶ φεύγουσιν. Ἡρακλῆς οὖν ἐπὶ τὴν Γοργόνα σείει τὸ ξίφος, καὶ παρ' Ἑρμοῦ μανθάνει ὅτι κενόν ἐστιν εἴδωλον. αἰτοῦντος δὲ Πλού-

4. ὥρμησε V. ‖ 5. γυριώνης V. ‖ ἡρακλῆ V. ‖ 7. Ἡρακλῆς om. V. ‖ ταρτησὸν V. ‖ 8. ἀπέδωκε V, vulg. ἀπένειμεν. ‖ 13. ὁ add. V. ‖ 17. τοῦ add. V. ‖ 18. τὸν add. V. ‖ 20. ἡρακλῆ V. ‖ 25. ἐπιτέτακτο V. ‖ 26. νότου V. ‖ 28. καὶ om. V. ‖ 29. ἀειδονέα κατιέναι V. ‖ 30. μελαιάγρου V. ‖ 31. ἐκ V, vulg. τῆς ἐκ. ‖ 33

τωνα Κέρβερον ὁ Πλούτων ἄγειν ἐπέταξε δίχα τῶν ὅπλων ὧν εἶχε κρατήσαντα τοῦ κυνός. εὑρὼν οὖν αὐτὸν πρὸς Ἀχέροντα, συμπεφραγμένος τῷ θώρακι καὶ περιβαλὼν χεῖρας τῇ κεφαλῇ, καίπερ δακνόμενος οὐκ ἀνῆκεν, ἀλλ' ἄγχων τὸ θηρίον, διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν, ἤγαγεν Εὐρυσθεῖ καὶ δείξας πάλιν εἰς Ἅιδου κεκόμικεν.

μανθάνει] *μαθὼν* V. ‖ *καινόν* Allatius.

ΝΙΚΗΤΑ

ΕΠΙΘΕΤΑ ΘΕΩΝ

1. Ἐπίθετα Διός· ἱκέσιος, ἐφέστιος, ὅρκιος, δωδωναῖος, ἰδαῖος, ἑρκεῖος, πολιεύς, ἑταιρεῖος, κηναῖος, μειλίχιος, κεραύνιος, αἰγιοῦχος, καὶ ἤπιος, πῖκος, ξένιος, σωτήριος, φίλιος, ἀγκυλομήτης, πισαῖος, μήστωρ, φύξιος, κελαινεφής, καταιβάτης, βουλαῖος, φυτάλμιος, ἐλευθέριος. 2. τοῦ τειχεσιπλήτου δὲ ἐπίθετα Ἄρεος ἐνυάλιός ἐστι, καὶ διμήτριος, δίζωνος, δεξιόδειρος, ἀνδρειφόντης, πλέον βροτολοιγός, καὶ βριήπυος, μαιφόνος. 3. τοῦ Ἡφαίστου δὲ χωλός, ἀμφιγυήεις, σίντιος, λήμνιος. 4. εὔιος, βρόμιος καὶ ἡμερίδης ὄνομά ἐστι τῷ Διονύσῳ, βακχειάδης, σειληνός, καὶ διμήτριος, εἰραφιώτης, θηλύμιτρις, πρίηπος, καὶ αἰολόμιτρις, γύννις, ὠμάδιος, σφάλτης, φύξηλις, καὶ μαινόλης, ληναῖος, μειλίχιος, ἐφ' ᾧ καὶ ᾄδεται τὸ ὕις ἄττις τε. 5. γενετυλλίδος Ἀθηνᾶς, ἰλιείας, τριτογενείας καὶ δεινῆς λαοσσόου καὶ ἀτρυτώνης ἥκω μνησθησόμενος νῦν, ἣ καὶ ἐρυσίπτολις, ἰτωνία καλεῖται, ἱππία, ἐγρεκύδοιμος, εἰλενία, γλαυκῶπις, ἐλεφαντίνη, πότνια, χρυσῆ, σκιράς, στρατία, παλλὰς καὶ χαλκίοικος. 6. αἱ τῆς Δήμητρος

Inscr. τοῦ τοῦ σερρῶν πόνημα νικήτα τόδε D, τοῦ μακαριωτάτου ἡρακλείας κυροῦ νικήτα τοῦ σερῶν εἰς τὰ ὀνόματα τοῦ διός M, om. PJ. ‖ 1. ἐ. τοῦ δ. P. ‖ ἱκέσιος—ὅρκιος add. PJ. ‖ ἀρκαῖος J. ‖ 2. πολλεὺς J. ‖ ἑταιραῖος MJ. ‖ μιλίχιος M. ‖ πῖος P, πῖος J. ‖ ξένιος, σωτήριος add. PJ, φίλιος DM. ‖ 4. πισσαῖος DM. ‖ ξίφιος DJ. ‖ καταιβας M. ‖ 5. βουλαῖος J, cett. βηλαῖος. ‖ φυταίμιος J. ‖ ἐλευθέριος P, ἐλευθέριος, φίλιος J, ζεύς M, om. D. ‖ §. 2. 3 in PJ sunt 11. 12: inscr. §. 2 ἐπίθετα ἄρεος P, ὀνόματα ἄρεος καὶ ἡφαίστου M, om. hic et infra DJ. ‖ τοῦ—καὶ] τειχεσιπλήτης, ἐνυάλιος PJ. ‖ 6. δημήτριος PJ. ‖ 7. ἀνδροφόντης PJ. ‖ πλέον et καὶ add. DM. ‖ βριήτυος P, βριήπιος J. ‖ 8. μιαιφόνος add. PJ. ‖ inscr. §. 3 ἐπίθετα ἡφαίστου P. ‖ τοῦ—δὲ om. PJ. ‖ ἀμφιγύης J. ‖ 9. λίμνιος M. ‖ inscr. §. 4 ἐπίθετα διονύσου P, ὀνόματα δ. M. ‖ εὔιος D, σύιος J, αἴας PM. ‖ ὄνομα—Διονύσῳ om. PJ. ‖ 10. βακχαιάδης J. ‖ καὶ add. DM. ‖ διμίτριος P, δημήτριος J. ‖ θηλύμητρις D, θελύμιτρις J. ‖ 11. βριήπις D. ‖ καὶ add. DM. ‖ αἰωλόμιτρις M. ‖ γύνις DM, γύνης PJ. ‖ σφαίτης J. ‖ 12. καὶ om. D. ‖ ἐφ'—τὸ et τε add. DM. ‖ 13. υἷς J. ‖ inscr. §. 5 ἐπίθετα ἀθηνᾶς P, ὀνόματα ἀθ. M. ‖ γενετιάδος P, γενετιάς J, qui et in seqq. habet nominativos. ‖ Ἀθηνᾶς om. PJ. ‖ ἰλιείας D. ‖ τριττογενείας M. ‖ 14. δεινήλα λαοσσύος J. ‖ καὶ et ἥκω—καὶ add. DM, nisi quod μνησθησόμιος et ἡ M, ἤ D. ‖ 15. καλεῖται add. DM. ‖ ἱππεία D ‖ ἀγρεκύδοιμος P. ‖ 16. εὐληνία PM, εἰληνία J, ἰλεία D. ‖ σκιρρὰς libri. ‖ 17. καὶ add. DM. ‖ χαλκίσηκος P χαλκίσκηκος J. ‖

κλήσεις βότειρα, ζείδωρος, ἀνησιδώρα, καὶ αἶα καὶ βωτιάνειρα γῆ καὶ φυσίζωος, δηώ, καὶ ζωοδότειρα. 7. τῆς δ' Ἀφροδίτης τῆς χρυσῆς κωλιάς, φιλομειδής, καὶ κυθέρεια, τροιζηνία καὶ παφία, πρὸς δὲ μυχία καὶ διωναίη καὶ διώνη καὶ
5 ζηρυνθία θεά. 8. κελαδεινῆς ἑκάτης καὶ ὀρειβάτιδος καὶ ταυροπόλου Ἀρτέμιδος καὶ κυνηγέτιδος μνησθήσομαι, λοχίας, ἐνοδίας, χελύτιδος, ἰοχεαίρας τε, λαφρίας, δικτύννης, χρυσηλακάτου θεᾶς. 9. ἐρῶ περὶ τῆς ἀργείας καὶ φηρωνείας ὁμοῦ καὶ ἀνθηρᾶς, λευκωλένου, ῥειώνης Ἥρας ζυγίας τε.
10 10. ἑκηβόλος Ἀπόλλων, λυκηγενής, λητοΐδης, καὶ φοῖβος, πύθιός τε, λοξίας, καὶ δήλιος καὶ ἀφήτωρ καὶ λύκιος καὶ ἑκατηβελέτης, δελφίνιος, σμίνθιος, ἀκειρεκόμης, ἰήιος. 11. Ποσειδῶν δὲ γεοῦχος, ἀσφάλειος, ἵππιος, ἔτι ἐνοσίχθων, κινησίχθων, σεισίχθων, αἰγαίων, γαιήοχος, ἐννοσίγαιος,
15 ταύρειος, καὶ φυτάλμιος μάλιστα. 12. λόγιος δ' Ἑρμῆς ὁ σοφός, ἀργειφόντης, νόμιος, κυλλήνιος, καὶ ἐριούνιος, σῶκος, κερδῶος, χρυσόρραπις.

1. κλήσεις δημήτερος P, ὀνόματα δήμιτρος καὶ τῆς ἀφροδίτης et mox αἱ τῆς δήμιτρος κλήσεις M. ‖ σότηρα J. ‖ ζήδωρος M. ‖ ὀνησιδώρα PJ. ‖ καὶ αἶα καὶ et mox γῆ καὶ add. DM. ‖ βοτιάνειρα PJ. ‖ 2. ζωοδότειρα D, ζωοδότυρα J. ‖ inscr. §. 7 ἐπίθετα ἀφροδίτης P. ‖ τῆς — χρυσῆς] χρυσῆ P, τρυχή J. ‖ 3. καὶ add. D. ‖ κυθέρεια M, κυθόρεια addito e super o D, κυθαίρεια PJ. ‖ 4. πρὸς δὲ add. DMJ. ‖ μοιχεία M. ‖ καὶ add. DM. ‖ καὶ διώνη add. P. ‖ 5. ζηρυνθία MJ, ζηριν-θία P, ζηνυνθία D. ‖ θεά add. DM. ‖ inscr. §. 8 ἐπίθετα ἀρτέμιδος P, ἀρτέμι-δος καὶ ἥρας post ταυροπόλου habet M. ‖ σελαδεινή J: nominativos hic quoque praebent PJ. ‖ καὶ ter add. DM. ‖ 6. ταυροπόλα J. ‖ Ἀρτέμιδος addidi. ‖ μνη-σθήσομαι add. D. ‖ 7. ἐνόσιος, χάρουτις J. ‖ ἰοχεαίρας D, λοχέαιρα J. ‖ τελε-φρία PJ. ‖ δικτυήνης DM, δικτυήνη J, δικτυήνη καὶ δίκτυννα P. ‖ 8. inscr. §. 9 ἐπίθετα ἥρας P. ‖ ἐρῶ — τε] ἀργεία (ὄργεια J), φηρωνία, ἄνθηρα (ἀνθείρας M, om. D: Ἀνθείας Creuzerus), λευκώλενος, ῥειώνη (διώνης D), ἥρα, συζυ-γία (ζυγία J) PJ. ‖ 10. inscr. §. 10 ἐπίθετα ἀπόλλωνος P, ὀνόματα ποσειδῶνος, ἀπόλλωνος καὶ ἑρμοῦ M. ‖ Ἀπόλλων add. D. ‖ καὶ quinquies et τε add. DM. ‖ 11. λόξιος J. ‖ 12. ἑκατηβέλης M. ‖ δυσφόνιος P, δυσφώνιος J. ‖ ἀκειρεκόμης add. PJ. ‖ ἰήιος add. P. ‖ inscr. §. 11 ἐπίθετα ποσειδῶνος P. ‖ 13. ποσειδῶν om. P. ‖ δὲ add. M. ‖ γαιοῦχος P, γαοῦχος J. ‖ ἀσφάλιος PJ. ‖ ἵππειος PMJ. ‖ ἔτι add. DM. ‖ ἐνοσίχθων, κινησίχθωνος, σεισίχθωνος, αἰγαίωνος, quater o super ω adscripto M. ‖ 14. γαιείων, γαιηοῦχος D. ‖ ἐνοσίγαιος PMJ. ‖ 15. καὶ et μάλιστα add. DM. ‖ 15. inscr. §. 12 ἐπίθετα ἑρμοῦ P. ‖ λύγιος P, εὔγιος J. ‖ δ' Ἑρμῆς ὁ σοφὸς add. DM. ‖ 16. κυλήνιος P, κουλήνιος M. ‖ καὶ add. DM.

APPENDIX

NARRATIONUM

ΔΙΗΓΗΜΑΤΑ

I. *Περὶ Ἀδραστείας.* Ἐκνενικηκότες οἱ Θηβαῖοι τοὺς Πολυνείκην καταγαγόντας οὐδὲ θάπτειν οὐδ' ὅλως τοὺς πεσόντας ἐπέτρεπον. ἧκον οὖν αἱ τούτων γυναῖκες Ἀθήναζε, καὶ ἱκετεύσασαι κινοῦσι μὲν ὑπὲρ τῶν νεκρῶν τὸν Θησέα· κρατηθέντων δὲ τῶν Θηβαίων καὶ καιομένων τῶν νεκρῶν Εὐάδνην τὴν Καπανέως γυναῖκα, ὡς λόγος, κοινωνῆσαι τῷ ἀνδρὶ τῆς πυρᾶς. τούτων οἱ παῖδες πατράσι τιμωροῦνται καὶ ἐπελθόντες αἱροῦσι Θήβας. ἡγεῖται δὲ ὁ παῖς Ἀδράστου καὶ ἀναιρεῖται μόνος. τοῦ δὲ ἄρα ὁ πατὴρ μόνος τῶν ἑπτὰ λοχαγῶν ἀπεσώθη. ἔδοξε δὴ τοῦ δαιμονίου νεμεσήσαντος τοῦτο τῇδε γενέσθαι. καὶ αὐτίκα οἱ Ἕλληνες ἱερῷ τιμῶσι τὴν Νέμεσιν, προσειπόντες Ἀδράστειαν τὴν θεόν.

II. *Περὶ Ἀδώνιδος.* Ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν. ἤρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς, καὶ τοῦτο ἡ θεὸς ὑπῆρχεν Ἀδώνιδι, ὅπερ Ἀφροδίτῃ Ἄρης ἐτύγχανεν· θεὸς ἤρα θεοῦ, καὶ θεὸς ἐδίωκεν ἄνθρωπον· πόθος ὅμοιος, κἂν τὸ γένος διήλλαττεν. ζηλοτυπῶν δὲ ὁ Ἄρης τὸν Ἄδωνιν ἀνελεῖν ἐβούλετο, λύσιν ἔρωτος τὸν Ἀδώνιδος ἡγησάμενος θάνατον. καὶ πλήττει μὲν Ἄρης τὸν Ἄδωνιν· μαθοῦσα δὲ τὸ ποιηθὲν ἡ θεὸς ἀμύνειν ἠπείγετο, καὶ κατὰ σπουδὴν ἐμβαλοῦσα τῷ ῥόδῳ ταῖς ἀκάνθαις προσέπταισεν. καὶ τὸν μὲν ταρσὸν τοῦ ποδὸς περιπείρεται, τὸ δὲ καταρρεῦσαν αἷμα τοῦ τραύματος τὴν τοῦ ῥόδου χροιὰν εἰς τὴν οἰκείαν ὄψιν μετέθηκεν· καὶ τὸ ῥόδον τὴν ἀρχὴν λευκὸν γεγονὸς εἰς ὃ νῦν ὁρᾶται μετῆλθεν.

III. *Περὶ Ἀθηνᾶς.* Ὁ Ζεὺς, βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἐδεῖτο συνεργοῦ τοῦ συλλαβόντος καὶ πλήξοντος τὴν κεφαλήν, ἵνα κυηθῇ. καὶ λόγους προσφέρει περὶ τού-

I. *Libanii* narr. 4. t. 4. p. 1100 ed. Reisk. ‖ 2. post ὅλως videtur deesse aliquid, velut ἀναιρεῖν. ‖ 5. ὡς] f. ἐστὶ. ‖ — II. *Aphthonii* progymn. 2. ‖ 13. λ. εἶναι πλ. Doxopater homil. in Aphth. 2. p. 246 rhett. ed. Walz. ‖ — III. *Nonni* narr. ad Gregor. Naz. invect. 2, 21. p. 168: cf. Eudoc. p. 7. ‖

του τῷ Ἡφαίστῳ· ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διός, εἰ μὴ τὴν γεννωμένην ἀποπαρθενεύσει. καὶ ὑπέσχετο ὁ Ζεύς. λαβὼν οὖν ὁ Ἥφαιστος τὸν βουπλῆγα τέμνει τὴν κεφαλὴν τοῦ Διός, καὶ ἐξέρχεται ἡ Ἀθηνᾶ. καὶ ἐπεδίωκεν αὐτὴν ὁ
5 Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται, καὶ ἐπιδιώκων ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς Ἀθηνᾶς. ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον ἔξεμάξατο τὸ σπέρμα καὶ ἔρριψεν ἐν τῇ γῇ· καὶ ἐγένετο ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς ἐκαλεῖτο Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τὸ ὄνομα.

10 IV. *Περὶ Αἰακοῦ.* Ὁ Αἰακὸς οὗτος υἱὸς ἐλέγετο εἶναι τοῦ Διός, δίκαιος τὰ μάλιστα. διὸ καὶ ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν πόλεων, παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρί, ἵνα γένηται ὑετός· ὁ δὲ στὰς καὶ εὐξάμενος ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμούς, καὶ κατερρύη ὕδωρ ποτίζον τὴν
15 Ἑλλάδα. μάλιστα οὖν ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ Αἰακοῦ. οὗτος οὖν γεννᾷ δύο υἱούς, τὸν Πηλέα καὶ τὸν Τελαμῶνα, ὧν ὁ μὲν Πηλεὺς τίκτει τὸν Ἀχιλλέα, ὁ δὲ Τελαμὼν τὸν Αἴαντα, οἵτινες ἐκαλοῦντο Αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐκ τούτου προσφερόμενοι.

V. *Περὶ Ἀκαλανθίδος.* Τὴν δὲ Ἀκαλανθίδα γαλῆν ἐκ γυ-
20 ναικὸς ἐποίησεν ἡ πρὸς τὴν Ἥραν ἀπάτη. εἰργούσης γὰρ τῆς Ἥρας τῷ Ἡρακλεῖ τὴν ἐκ τῆς γαστρὸς ἔξοδον (τοῦτο δὲ ἄρα ἐποιεῖ ἐφ' ᾧ περὶ τὼ γόνατε συμπλέξαι τὰ χεῖρε), Ἀκαλανθὶς ὡς δὴ τεκοῦσα, οὔπω τεκούσης Ἀλκμήνης, ἐκπηδήσασα διέθει τε καὶ ἐμμεῖτο τὰ τῆς χαιρούσης. ἡ θεὸς δὲ παρακρουσθεῖσα ἀνεπέτασεν Ἀλκμήνης τὰς ὠδῖ-
25 νας. καὶ δίκην Ἀκαλανθὶς ἐδίδου τῆς ἀπάτης τὴν μεταβολήν.

VI. *Περὶ Ἀκταίωνος.* Ὁ Ἀκταίων κυνηγέτης ὑπῆρχε, καὶ εἶδε τὴν Ἄρτεμιν γυμνήν. ἦν δὲ ἀθέμιτον τοῦτο, τὸ τοὺς θεοὺς ἰδεῖν γυμνούς, καὶ μάλιστα τὰς παρθένους θεάς. χολωθεῖσα οὖν ἡ Ἄρτεμις μανῆναι ἐποίησε τὰς κύνας αὐτοῦ, καὶ ὡς ἔλαφον ἔχοντα κέρατα
30 ἑώρων αὐτόν· καὶ λαβόμενοι αὐτὸν ἀνεῖλον οἱ κύνες οὕτως, ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ κυνῶν συρῆναι.

VII. *Περὶ Ἀλεκτρυόνος.* Ὁ Ἀλεκτρυὼν ὄρνις ἐστὶν ἐξ ἀνθρώπου τὸ πρίν. ὅτε δὲ ἦν ἄνθρωπος, Ἄρεως ἦν δορυφόρος. τούτῳ παρέδωκε τὰς θύρας τοῦ θαλάμου Ἄρης, ὅτε ἠδίκησεν εἰς τὴν εὐνὴν
35 τὸν Ἥφαιστον, ἐφ' ᾧ πρὸ τοῦ περιόρθρου τὰς θύρας ἀράττειν, ὡς μὴ ἁλῴη μοιχεύων. κεκοίμηνται οὖν ἀμφότεροι, καὶ ὁ θεράπων καὶ ὁ δεσπότης, καὶ τὸ ἔργον ἐγνώσθη τῆς ἡμέρας φανείσης. γίνεται οὖν ὄρνις ὁ στρατιώτης ταύτην ὑποσχὼν τὴν δίκην, καὶ πολλὰ δηλοῖ τὸν πάλαι στρατιώτην, ὁ λόφος, ὁ θυμός, τὰ κέντρα. καὶ μεμνημένος γε

IV. *Nonni* narr. ad Gregor. Naz. or. in Basil. 1, in Creuzeri melet. crit. 1. p. 67; cf. Eudoc. p. 17. ‖ —V. *Libanii* narr. 3. p. 1099. ‖ 22. malim Ἀκ. ὡς ἂν τεκούσης. ‖ —VI. *Nonni* narr. ad Greg. or. in Bas. 2. p. 68 Cr.; cf. Eudoc. p. 10. ‖ —VII. *Libanii* narr. 20. p. 1106. ‖ 35. πρὸς Reiskius. ‖ ἀράττει vulg. ‖

ἐφ' ᾧ τοῦτο ἔπαθε, πρὶν Ἥλιον ζεύξασθαι τὸ ἅρμα, τῶν ἀνθρώπων ἐλαύνει τὸν ὕπνον διὰ τῆς ᾠδῆς.

VIII. *Περὶ Ἀλκήστιδος.* Ἐθήτευσε μὲν Ἀπόλλων Ἀδμήτῳ γνώμῃ Διός, ἐθεράπευσε δὲ Ἄδμητος τὸν Ἀπόλλωνα. ἐπεὶ δὲ ἧκον αἱ Μοῖραι καὶ ἔδει τελευτᾶν, ἀναβάλλει τὸν θάνατον αὐτοῦ ὁ θεὸς 5 δεηθεὶς τῶν Μοιρῶν. αἱ [δὲ] τῷ μὲν εἶξαν, ἐζήτουν δὲ ὅς ἀντ' ἐκείνου τὸν θάνατον ὑποστήσεται. διελέχθη τοῖς γονεῦσιν ὁ Ἄδμητος γήρᾳ βαρυνομένοις· οἱ δὲ ἐφιλοψύχουν καὶ οὐκ ἠνείχοντο ἀπιέναι. παρέρχεται δὴ τὴν φύσιν Ἄλκηστις ἡ γυνὴ καὶ αὐτὴ ἀποθνήσκει. πένθους δὲ κατέχοντος τὴν οἰκίαν Ἡρακλῆς ἥκων ξενίζεται, καὶ μα- 10 θὼν τὴν τύχην καὶ πονήσας καὶ κρατήσας τῶν κάτω δαιμόνων ἐπανάγει τὴν ἄνθρωπον.

IX. *Περὶ Ἀλφειοῦ.* 1. Ἔρως καὶ ποταμοῖς ἐνοχλεῖ. δηλοῖ δὲ Ἀλφειὸς Σικελικῆς πηγῆς Ἀρεθούσης ἐρῶν· ὃς προϊὼν ἐκ τῆς Ἤλιδος τὸ ῥεῖθρον οὐκ ἀναμίγνυσι πολὺ διερχόμενος πέλαγος, ὡς ἐκ τού- 15 του φυλάττων ἀκέραιον τὸν τοῦ ἔρωτος πόθον.

2. Ἄλλως. Ἔρως ἅπτεται καὶ ποταμῶν. πόθον οὖν ἐμβέβληκεν Ἀλφειῷ Σικελικῆς πηγῆς Ἀρεθούσης τοὔνομα. πληγεὶς δὲ ἔρχεται δι' Ἰονίου παρ' αὐτήν, φυλάττων ἀμιγὲς καὶ ἐν θαλάσσῃ τὸ ῥεῖθρον. 20

3. Ἄλλως. Ἀλφειὸς ποταμός ἐστι τῆς Ἀρκαδίας, Ἀρκαδία δὲ πόλις ἐστὶ τῆς Πελοποννήσου. ἔστι δὲ καὶ πηγὴ ἐν Σικελίᾳ τῇ νήσῳ Ἀρέθουσα τοὔνομα. λέγεται οὖν ὅτι ὁ Ἀλφειὸς ἠράσθη τῆς πηγῆς τῆς Ἀρεθούσης, καὶ ἐρασθεὶς διαβὰς τὸ πέλαγος ἀναδίδοται ἐν τῇ Σικελίᾳ παρὰ τὴν Ἀρέθουσαν πηγήν, μὴ συναναμιχθεὶς τῇ ἁλμυρίδι 25 τῆς θαλάσσης, ἀλλὰ καθαρὸν τὸ νᾶμα διαφυλάττων πρὸς τὴν ἐρωμένην.

X. *Περὶ τῶν Ἀλωάδων.* 1. Ὦτος καὶ Ἐφιάλτης Ἀλωέως μὲν γεγόνασι παῖδες, ἀδελφὰ δὲ εἶχον μετὰ τῶν βουλευμάτων τὰ σώματα. παραπλησίως δὲ τῷ μεγέθει φρονοῦντες τοῦ σώματος βατὸν 30 ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον· καὶ θέντες ὄρος ἐπ' ὄρει προϊέναι μὲν ἐπειρῶντο παρὰ τοὺς κρείττονας, ἀνακόπτει δὲ αὐτοὺς τῶν ἐγχειρημάτων ὁ Ζεὺς, σκηπτῷ κατείργων τὸ πρὸς αὐτῶν μελετώμενον. Ἐλάτη δὲ ἡ τούτων ἀδελφὴ παραπλησία μὲν ὑπῆρχε τὸ μέγεθος, δακρύουσα δὲ τὸ συμβὰν δένδρου φύσιν ἠλλάξατο, καὶ μεταβαλοῦσα 35 τὴν φύσιν μένει τὸ μέγεθος ὡς ἐτύγχανε πρότερον. ὅθεν τὸ ἔπος τὴν Ἐλάτην οὐρανομήκη προσεῖπεν.

VIII. *Libanii* narr. 9. p. 1102. ‖ 6. addidi *δὲ* post *αἱ*, malim etiam v. 7 *δὴ* addi post *διελέχθη*. ‖ 8. *ἠνέχοντο* vulg. ‖ 11. *πονέσας* vulg. ‖ — IX, 1. *Libanii* narr. 25. p. 1107. ‖ 16. *φυλάττειν* ante posito lacunae signo vulg. ‖ — IX, 2. f. *Nicolai:* fertur inter Libanii narrativnculas p. 855. ‖ 17. *καὶ* om. Reiskius. ‖ *ποταμοῦ* idem. ‖ — IX, 3. *Nonni* narr. ad. Greg. or. in Bas. 9. p. 78 Cr.: cf. Eudoc. p. 40. ‖ — X. *Libanii* narr. 34. p. 1110. ‖ *δένδρῳ* vulg. ‖ 37. *προοίειπεν* Allatius. ‖

2. Ἄλλως. Ὦτος καὶ Ἐφιάλτης Ἀλωέως προῆλθον ἴσα καὶ φρονήματα καὶ μέτρον ἓν σώματος ἔχοντες· μεγέθει γὰρ διαφέροντες σώματος βατὸν ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον, καὶ ὄρος ἐπ' ὄρει θέντες ἀνήεσαν. χαλεπήνας δὲ ἐπὶ τούτοις ὁ Ζεὺς ἑνὶ κεραυνῷ τὴν ἐπιχείρησιν ἔπαυσεν. δακρύουσα δὲ τὸ πάθος ἡ ἀδελφὴ δένδρου φύσιν ἠλλάξατο, καὶ μεταβαλοῦσα τὴν φύσιν τὸ μέγεθος οἷα γέγονεν ἔμεινεν· ὅθεν ἡ ποίησις οὐρανομήκη τὴν ἐλάτην προσηγόρευεν.

3. Ἄλλως. Μολιόνη ἦν τις γυνὴ περὶ τὴν Θρᾴκην οἰκοῦσα. αὕτη δὲ εἶχε δύο υἱούς, τὸν ἕνα Ὦτον καὶ τὸν ἕτερον Ἐφιάλτην. οὗτοι κατ' ἐνιαυτὸν ηὐξάνοντο κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος σπιθαμὴν μίαν. γεγόνασι δὲ οὗτοι ὑβρισταὶ καὶ ὑπερήφανοι, καὶ τοσοῦτον ἐφύβρισαν ὥστε βουλεύσασθαι ἀντᾶραι τοῖς οὐρανίοις θεοῖς. τὴν οὖν Ὄσσαν τῷ Ἄθῳ ἐβουλεύσαντο ἐπιθεῖναι καὶ δι' αὐτῶν ἀνελθεῖν εἰς τὸν οὐρανόν. ἡ δὲ Ὄσσα καὶ ὁ Ἄθως δύο ὄρη εἰσὶ περὶ τὴν Θρᾴκην. ὁ οὖν Ζεὺς ὀργισθεὶς κεραυνὸν ἐπαφεὶς ἐκεραύνωσεν αὐτούς, καὶ ἀπώλοντο. ἦν δὲ πρότερον περὶ τῆς κεραυνώσεως αὐτῶν χρησμὸς δοθεὶς τῇ μητρὶ αὐτῶν, ὅτι διὰ τὴν ὑπερηφανίαν αὐτῶν κεραυνωθήσονται.

4. Περὶ τῶν αὐτῶν. Περὶ Ἄρεως λέγει ὁ ποιητὴς ὅτι ἐτρώθη ὑπὸ τοῦ Διομήδους. ταῦτα λέγει ἐν τῇ ῥαψῳδίᾳ ε'. ἐδέθη δὲ παρὰ τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου. οὗτοι δὲ ἦσαν υἱοὶ μὲν Ἀλωέως καὶ τύραννοι τὴν φύσιν, ἐγένοντο δὲ περὶ Θετταλίαν. οὗτοι ἐμελέτησαν ἀνταρσίαν κατὰ τῶν θεῶν. ὁ οὖν Ἄρης πρῶτος ἐπῆλθε κατ' αὐτῶν, εἶτα ἡττηθεὶς ἐδέθη ἐν χαλκῷ κεράμῳ. χαλκοῦς δὲ κέραμος ἡ πόλις ἐστὶν οὕτω καλουμένη ἢ εἶδός τι δεσμοῦ δυσχεροῦς καὶ δυσλύτου. λέγονται δὲ οἱ περὶ Ὦτον καὶ Ἐφιάλτην ἐνναετεῖς ὄντες εἶναι ἐννεόργυιοι κατὰ τὸ μῆκος, κατὰ δὲ τὸ πλάτος ἐννεαπήχεις.

XI. Περὶ Ἀρίωνος. 1. Ὁ Ἀρίων Μηθυμναῖος ὢν ἐκ Μηθύμνης ἔπλευσεν εἰς Κόρινθον, καὶ δεικνὺς αὐτόθι τὴν τέχνην ηὐδοκίμει. βουλόμενος δὲ καὶ ἐν Ἰταλίᾳ γενέσθαι λαμπρὸς ἔπλευσε κἀκεῖσε, καὶ αὖθις εὐδοκιμεῖ. γενομένων δὲ αὐτῷ χρημάτων μεγάλων, νεὼς ἐπιβὰς Κορινθίας εἰς Κόρινθον ἐπαναπλεῖ. καὶ οἱ ναῦται τῶν χρημάτων ἐρασθέντες κτείνειν ἐπεχείρουν. ὡς δὲ ἀφιστάμενος αὐτοῖς τῶν χρημάτων ἐπὶ τῷ σώζεσθαι οὐκ ἔπειθε, δευτέρας δεῖται συγχωρήσεως, στῆναι ἐπὶ τῇ σκευῇ καὶ ᾆσαι καὶ ἐκπηδήσειν εἰς τὴν θάλασσαν ἐπὶ τῷ τέλει τοῦ ᾄσματος. καὶ οἱ μὲν ἐπέτρεψαν, ὁ δὲ ᾖσε

X, 2. *Severi* narr. 6. t. 1. p. 539 rhett. ed. Walz. ‖ 5. Ἐλάτη post ἀδελφὴ videtur excidisse. ‖ 7. προσηγόρευεν Schubartus, προσήγαγεν Walzius. ‖ — X, 3. *Nonni* narr. ad Greg. or. in Bas. 13. p. 82. Cr.: cf. Eudoc. p. 441. et Walz ad Arsen. p. 395. ‖ —X, 4. *Nonni* narr. ad Greg. invect. 1, 85. p. 157: cf. Eudoc. p. 12. 442. ‖ 20. Iliad. 5, 858. ‖ —XI, 1. *Libanii* narr. 24. p. 1107. ‖ 29. εὐδοκίμει vulg. ‖

καὶ ἐξεπήδησεν. δελφὶς δὲ αὐτὸν ὑποθεὶς τῷ κιθαρῳδῷ πρὸς Ταίναρον ἐξεκόμισεν.

2. Ἄλλως. Ἀρίων ὁ Μηθυμναῖος πρὸς κιθάρας ἠσκεῖτο τὴν τέχνην. Περιάνδρῳ δὲ τῷ τυράννῳ συνὼν εἰς ἐργασίαν ἀπέπλει χρημάτων, καὶ Κορινθίας νεὼς ἐπιβὰς εἰς Ἰταλίαν ἀπῆρεν· ἐπανιὼν δὲ αὖθις ἐξ Ἰταλίας ἐπὶ τὴν Κόρινθον ἐκ τῶν πλεόντων ἐπιβουλεύεται, καὶ τὴν ἐπιβουλὴν θεωρῶν ἐδεῖτο τῶν ναυτῶν ἀναβάλλεσθαι θανάτου προοίμιον. καὶ οἱ μὲν εἴασαν, ὁ δὲ ᾖδε. δελφὶς δέ τις ἀκούων περιεσκίρτα τὴν ναῦν, καὶ παρὰ τῶν πλεόντων ἐκβαλλόμενον τὸν Ἀρίωνα φέρων ἐπὶ νώτου ἐπὶ τὸ Ταίναρον ἔσωσε, καὶ νῦν ἐκεῖσε χαλκοῦς Ἀρίων καθέστηκεν ἐπὶ χαλκοῦ δελφῖνος ὀχούμενος, σώζων εἰκόνι τὸ γεγονός.

3. Ἄλλως. Ἀρίων ὁ Μηθυμναῖος πρὸς κιθάρας ἠσκεῖτο τέχνην. Περιάνδρῳ δὲ τυράννῳ συνὼν εἰς Ἰταλίαν ἐπέπλει· ὁρμώμενος δὲ ἐκ Τάραντος νεὼς μὲν Κορινθίας ἐπέβη, παρὰ δὲ τῶν συμπλεόντων ἐπιβουλὴν ὑφιστάμενος ἀνεβάλλετό τι τῆς μουσικῆς· καὶ δελφὶν τῷ μέλει κατακηλούμενος παρασκιρτᾷ τῇ νηί, καὶ κατὰ τοῦ πελάγους ἐκριφθέντα τὸν Ἀρίωνα φέρων ἐπὶ τῶν νώτων ἐξέσωσε. καὶ νῦν παρὰ τὸ Ταίναρον Ἀρίων ἕστηκεν ἐπὶ χαλκοῦ δελφῖνος σχήματος, τῆς πάλαι τύχης σώζων ὑπόμνημα.

XII. Περὶ ἄστρων. Ἀριάδνη θυγάτηρ ὑπῆρχε Μίνωος τοῦ Κρητῶν βασιλέως. αὕτη ἠράσθη Θησέως τοῦ Ἀθηνῶν βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος καὶ ἀνήγαγεν ἐν τῇ Νάξῳ καὶ συνεμίγη αὐτῇ, καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν. Ἡ δὲ [περὶ] τοῦ πλοκάμου τῆς Βερονίκης ἐστὶν αὕτη. Βερονίκη γυνή τις ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. τοῦ οὖν ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν πολέμοις ηὔξατο ὅτι, εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων τῶν ἑαυτῆς ἀπόκαρμα ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ. καὶ ἀνέθηκεν ἡ Βερονίκη τὸν πλόκαμον ἀποκείρασα τὸν ἑαυτῆς ὑποστρέψαντος τοῦ Πτολεμαίου. Κόνων δέ τις ἦν ἀστρονόμος ἐπὶ τῶν αὐτῆς χρόνων, ὃς πρὸς κολακείαν αὐτῆς φησιν ὅτι οἱ θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν. καὶ νῦν ἔστι τις βοτρυοειδὴς θέσις ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερονίκης. Ἡ δὲ περὶ τοῦ κύκνου ἐστὶν αὕτη. ὁ Ζεὺς ἐρασθεὶς, ὡς μέν τινες λέγουσι, τῆς Νεμέσεως, ὡς δὲ ἕτεροι τῆς Λήδας, καὶ βουλόμενος συγγενέσθαι αὐτῇ καὶ μὴ ὁραθῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη κύκνῳ καὶ συνεγένετο τῇ ἐρωμένῃ. νῦν οὖν οὗτος

XI, 2. *Nicolai* progymn. 2, 7. p. 271 Walz. ‖ 3. ἀσκεῖτο Walzius. ‖ —XI, 3. *Severi* narr. 4. p. 538 W. ‖ 18. νώτων] ὤμων Walzius. ‖ —XII. *Nonni* narr. ad Greg. invect. 2, 1. p. 159: ad verbum pene consentiunt, ut et aliis locis, Schol. Greg. ap. Gaisford. notit. mss. Clarkii in bibl. Bodl. l. p. 43 sq. ‖ 26. περὶ excidit: cf. Eudoc. p. 90. Arsen. p. 151. ‖ 32. ὅς] ὁ vulg. ‖ 35. cf. Eudoc. p. 265. ‖

ὁ κύκνος κατηστερίχθη ἐν τῷ οὐρανῷ, καὶ ἔστι, φασίν, ὑποζωγραφηθεὶς καὶ ἄστρον ὁ κύκνος. Ἡ δὲ περὶ τοῦ ταύρου ἐστὶν αὕτη. ταῦρός τις ὑπὸ τοῦ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα. οὗτος ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά. ἐπὶ τοῦτον ἦλθεν ὁ Θησεὺς καὶ
5 ἀνεῖλεν αὐτόν. καὶ βουλόμενοι οἱ θεοὶ μέγα τὸ ἔργον τοῦ Θησέως δεῖξαι καὶ θεραπεῦσαι τὸν Ποσειδῶνα κατηστέριξαν τὸν ταῦρον ἐν τῷ οὐρανῷ. καὶ νῦν ἔστι διὰ ἀστέρων ὑποζωγραφηθεὶς ὁ ταῦρος ἐν τῷ οὐρανῷ. Ἡ δὲ περὶ τοῦ λέοντος ἱστορία ἐστὶν αὕτη. λέων ζῶον ἄγριον ἦν ἐν τῇ Νεμέᾳ· χώρα δὲ αὕτη τῆς Πελοποννήσου. οὗτος
10 οὖν ὁ λέων ἐλυμαίνετο τοὺς ἐν τῇ χώρᾳ. Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκηνῶν καὶ μηνίων τῷ Ἡρακλεῖ πέμπει αὐτὸν ἐπὶ τὸ ἀνελεῖν τὸν λέοντα. καὶ νῦν ἔστιν ὁ λέων ἐν ἄστροις. Ἡ δὲ περὶ τοῦ ὀφιούχου ἐστὶν αὕτη. λέγεται εἶναι οὗτος ὁ ὀφιοῦχος ὁ Ἀσκληπιός, ὁ ἔφορος τῆς ἰατρικῆς. σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω. λέγεται γὰρ
15 ἀποδύεσθαι τὸ δέρας ὁ ὄφις καὶ ἀνανεοῦσθαι. ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν μετὰ τοῦ δράκοντος. θέλοντες οὖν οἱ θεοὶ ἀντὶ ἀγάλματος αὐτὸν ἀνιερῶσαι δι' ἀστέρων αὐτὸν ἀνιέρωσαν ἐν τῷ οὐρανῷ.

XIII. *Περὶ Ἀταλάντης.* 1. Πολλοὶ μὲν ἔκειντο μνηστῆρες
20 ὑπὸ Ἀταλάντης ἡττηθέντες ποδωκείᾳ τῆς κόρης (ἔδει γὰρ ἡττώμενον ἀποθανεῖν, νικῶντα δὲ γαμεῖν), Ἱππομένης δὲ ταύτης ἐπιθυμῶν, δεδιὼς δὲ τὸν κίνδυνον, δεῖται τῆς Ἀφροδίτης συμπράξαι. ἡ δὲ ἔδωκε τὰ χρυσᾶ μῆλα καὶ εἶπεν ὃ χρὴ ποιεῖν ἐν τῷ δρόμῳ. ὡς οὖν ἔθεον, ὁπότε πλησίον ἡ κόρη γένοιτο, μῆλον ἠφίει, ἡ δὲ ἐθαύμαζέ τε καὶ
25 ὑπολειπομένη τὸ μῆλον ἀνῃρεῖτο. ἐγγιζούσης δὲ πάλιν τὸ αὐτὸ ἐδρᾶτο. καὶ διὰ τοιοῦδε σοφίσματος Ἀταλάντῃ μὲν εἶχε τὰ μῆλα, Ἱππομένης δὲ Ἀταλάντην.

2. Ἄλλως. Ἀταλάντην τὴν Σχοινέως ἔχειν μὲν ἐπόθουν πολλοί, Ἱππομένης δὲ παρ' ἑτέρους ἀπείληφε. μνωμένων γὰρ τὴν κόρην
30 πολλῶν ἆθλον ἑαυτὴν ἡ παῖς παρετίθει τοῖς νικῶσιν εἰς δρόμον. καὶ πάντων ἀπολειπομένων τὸ τάχος Ἀφροδίτην Ἱππομένης εὔρατο σύμμαχον, καὶ μῆλα χρυσᾶ παρ' ἐκείνης λαβὼν ἠφίει παρὰ τὸ στάδιον. καὶ ἡ μὲν τὰ μῆλα συνέλεγεν, ὁ δὲ παρῆει συλλέγουσαν, καὶ τέχνῃ μᾶλλον ἢ ῥώμῃ τὸν Ἀταλάντης ἐκτήσατο γάμον.

1. κατεστηρίχθη vulg. ‖ 2. cf. Eudoc. p. 391. ‖ 6. κατεστήριξαν vulg. ‖ 8. cf. Eudoc. p. 276. ‖ 11. τὸ] f. τῷ. ‖ 12. cf. Eudoc. p. 319. ‖ 15. δέρας] γῆρας vulg. —XIII, 1. *Libanii* narr. 29. p. 1109. ‖ 21. νικῶντας vulg. ‖ —XIII, 2. *Nicolai* prog. 2, 10. p. 272 W: est etiam inter Libanii narr. 30. p. 1109. ‖ 28. Σχοινίως Allatius et Reiskius, Οἰνέως ex cod. Paris., cui rec. m. adscripsit σχοινέος, Walzius. ‖ 29. ἀπείληφε — πολλῶν] πολλοὺς Allatius et Reiskius, deinde 30. περιετίθει, ib. εἰς — τὸ] εἰς *Ἱππομένους τὸ, 31. σύμπονον, 32. χρυσᾶ — τὸ] χρυσᾶ ῥίπτει ἐπὶ τὸ, 34. γάμον ἐκτήσατο lidem ‖

XIV. *Περὶ Ἀφροδίτης.* *Κατὰ τὸν μῦθον ὁ Οὐρανὸς γίνεται Κρόνου πατήρ. ὁ Κρόνος οὖν μὴ βουλόμενος γενέσθαι αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐκτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν, καὶ ἀφροῦ γενομένου ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη, ὡς ἐκ τοῦ ἀφροῦ.* 5

XV. *Περὶ Ἀχιλλέως.* 1. *Γεννηθεὶς ὁ Ἀχιλλεὺς ὑπὸ Θέτιδος παρεδόθη τῷ Χείρωνι, αὐτῷ τροφεῖ ἅμα καὶ διδασκάλῳ τῆς τοξείας χρησόμενος. ἦν δὲ οὗτος ὁ Χείρων ἱππόκενταυρος οἰκῶν ἄντρον τι καὶ σπήλαιον ἐν Θετταλίᾳ. ὁ δ' οὖν Χείρων λαβὼν τὸν Ἀχιλλέα καὶ ἐπικαθίσας ὄπισθεν αὐτοῦ κατὰ τοῦ ἱππείου μέρους οὕτως ἐγύμναζεν, καὶ ἐδίδασκεν αὐτὸν τὴν τοξικήν, οὐ γάλακτι καὶ ἄρτῳ τρέφων αὐτόν, ἀλλὰ μυελοῖς ἐλάφων καὶ ἄλλων ζώων. διὸ καὶ Ἀχιλλεὺς ὠνομάσθη ὡς μὴ μετασχὼν χιλοῦ· χιλὸς γὰρ ἡ τροφή.* 10

2. *Περὶ τοῦ αὐτοῦ.* *Ἀπόλεμον ἐποίει Πηλέα τὸ γῆρας καὶ τὸν Ἀχιλλέα [ἡ] νεότης ἀνθωπλίζεν, καὶ ἡ Ἑλλὰς ἀφέντες τὸν πατέρα ἐπὶ ξυμμαχίαν ἐκάλουν τὸν παῖδα. ἀλλ' ἡ μήτηρ ἐδεδίει τὸ Ἴλιον καὶ τὸ μήτηρ εἶναι τοῖς Ἀπόλλωνος βέλεσιν ἀποβαλεῖν ἐμαντεύετο. οὐκοῦν ἐπινοεῖταί τι σοφώτερον, καὶ τοὺς Ἕλληνας παρακρούεται· ἁρπάζει τῆς Φθίας τὸν παῖδα, ἐξάγει τοῦ Πηλίου καὶ πρὸς τὸν Λυκομήδους παρθενῶνα μετάγει. ξυνήρατο τῇ θεῷ τοῦ σοφίσματος καὶ τὸ τῆς μορφῆς τοῦ παιδὸς ἐπαφρόδιτον, ὅλους ἀπαστράπτον ἔρωτας καὶ καλαῖς κόραις ἁμιλλᾶσθαι δυνάμενον, μεταλλάττει καὶ τὸ τῆς στολῆς ἀνδρεῖον καὶ ὅσον τοῦ κάλλους ἀρρενικώτερον εἰς ὥραν ἁπαλὴν μεθηρμόσατο. οὕτω τὸν μέγαν ἥρωα τοῦτον καὶ βραχὺς περικρύπτει θάλαμος, καὶ ὃν ἐσύστερον ὅλον πεδίον οὐκ ἐχώρει, τὸ μέγα τῆς Εὐρώπης καὶ Ἀσίας μεταίχμιον, ὁ τοῦ Λυκομήδους τηνικαῦτα παρθενὼν ὑποδέχεται. ἀλλ' Ὀδυσσεὺς καὶ πρὶν ἥκειν εἰς Τροίαν τοῖς Ἕλλησι τὸ σοφὸν ἐπεδείξατο, καὶ δόλιος ὢν τῆς θεοῦ τὸν δόλον οὐκ ἠγνόησεν. ὅπλα καὶ κερκίδας λαβὼν περί που τὸν παρθενῶνα τίθησιν, ἑκατέρῳ γένει δέλεαρ ἐπιτεχνώμενος οὐκ ἀλλότριον, ἵνα καὶ ταῖς κερκίσι τὰς κόρας ὑπάγοιτο καὶ τοῖς ὅπλοις τὸν ἄνδρα θηράσαιτο. ὁρᾷ τὴν Ὀδυσσέως μηχανὴν Ἀχιλλεύς, οὐ μὴν ὅ τι καὶ βούλεται ξυνορᾷ. ἅμα ἐπὶ τὴν πανοπλίαν ἀνέβλεψεν καὶ τὴν ἐκεῖθεν ἐξαλλομένην ἀστραπήν, καὶ ὅλως ὑπεκκαίεται τῷ πυρὶ τοῦ θυμοῦ· ἀναμιμνήσκεται τοῦ πολέμου, τοῦ παρθενῶνος ἐπιλανθάνεται, εἰς νοῦν λαμβάνει τὴν φύσιν, ἀναλαμβάνει τὸ ἀνδρεῖον, αἰσχύνεται τὴν παρθενικὴν στολήν, ἀποτίθεται τὸ δρᾶμα καὶ τὴν σκηνήν. καὶ τὸ τῆς παρθένου προσωπεῖον ἀποδυσάμενος ἁρπάζει τὰ ὅπλα καὶ* 15 20 25 30 35

XIV. *Nonni* narr. ad Greg. invect. 1, 88. p. 157: cf. Eudoc. p. 13. ‖ —XV, 1. *Nonni* narr. ad Greg. or. in Basil. 4. p. 71 Cr.: cf. Eudoc. p. 431. ‖ —XV, 2. *Nicephori* prog. 2, 1. p. 428 Walz. ‖ 15. ἡ videtur excidisse. ‖ 23. ἀῤῥενωπότερον vulg. ‖ 28. ἐπεδείξατο codd. Paris. duo, vulg. ὑπεδείξατο. ‖ 32. θηράσαιτο Parr., vulg. θηρεύσαιτο. ‖

γίνεται θήραμα καλὸν Ὀδυσσεῖ, καὶ τὴν ἐπὶ τὸ Ἴλιον στέλλεται, μέγας μὲν τοῖς Ἕλλησι ξύμμαχος, δεινὸς δὲ τοῖς πολεμίοις ἀντίμαχος. οὕτω τὸν Πηλέως γυναικείαν φύσιν πλαττόμενον ἀπήλεγξεν Ὀδυσσεύς, ὡς ἐκεῖνον Παλαμήδης πρότερον μανίαν σχηματιζόμενον. καὶ τότε πρῶτον Ἕλληνες τῆς Ὀδυσσέως σοφίας ἀπώνατο, οὐχ ἧττον δὲ ἢ ὅτε τὸ Παλλάδιον ἐκ μέσης Τροίας ἀφείλετο.

XVI. *Περὶ δακτυλίου τοῦ Γύγου.* Πλάτων ὁ φιλόσοφος ἐν πολιτείαις (ἔστι δὲ οὕτως αὐτοῦ λεγομένη πραγματεία) εἰσφέρει τὸν μῦθον τοῦτον, οὕτω λέγων, ὅτι Γύγης ἦν τις ποιμὴν περὶ τὴν Λυδίαν· οὗτος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα περιέτυχε σπηλαίῳ τινί, καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου ἄνθρωπον νεκρὸν καὶ δακτύλιον· οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο. ἔλαβεν οὖν ὁ Γύγης τὸν δακτύλιον καὶ ἐξῆλθε· καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος, ἑωρᾶτο ὑπὸ πάντων, ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο πᾶσιν. ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον, ὅτι ὁ δίκαιος ἀνὴρ, κἂν τοῦ Γύγου λάβῃ δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδ' οὕτως ὤφειλεν ἀδικεῖν· δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύειν καὶ μὴ δι' ἄλλους τινάς.

XVII. *Περὶ Δανάης.* Τὴν Δανάην ὁ πατὴρ Ἀκρίσιος ἐφύλαττεν ὡς παῖδα, ἐν χαλκῷ θαλάμῳ τὴν παρθένον τηρῶν. Ζεὺς δὲ ἐρασθεὶς καὶ χρυσὸς διὰ στέγους ῥυεὶς συνεγένετο. ἡ δὲ τίκτει τὸν Περσέα, ὃν Ἀκρίσιος ἅμα τῇ μητρὶ κατακλείσας εἰς λάρνακα παρέδωκε τῇ θαλάσσῃ. Περσεὺς δὲ καὶ ἐκ τούτου σώζεται. καὶ δίσκον ἀφεὶς ἐν ἀγῶνι τὸν πάππον ἄκων ἀπέκτεινε, καὶ τὸ μάντευμα εἰς τέλος ἦγεν.

XVIII. *Περὶ Δαναοῦ καὶ Αἰγύπτου.* Ἐγένοντο Δαναῷ πεντήκοντα θυγατέρες, ὁ δὲ Αἴγυπτος, Δαναοῦ ἀδελφός, καὶ αὐτὸς ἦν υἱέων πεντήκοντα πατήρ. ἐβούλετο οὖν συνοικεῖν τὰς ἑαυτοῦ θυγατέρας τοῖς ἐκείνου παισίν. καὶ τῶν γάμων δρωμένων ἐγχειρίδια δοὺς Δαναὸς ταῖς παρθένοις ἐκέλευσεν ἑκάστην, ᾧ ζευγνύοιτο, τοῦτον κτείνειν. ταῖς μὲν οὖν ἄλλαις ἐτολμήθη τὸ ἔργον, καὶ ἀπέθνησκον οἱ νυμφίοι· τῇ δὲ Ὑπερμνήστρᾳ δεινὸν τὸ πρᾶγμα ἐφάνη, καὶ ἀπειθήσασα τῷ πατρὶ φείδεται τοῦ Λυγκέως. φεύγει δὴ Δαναός, καὶ ἧκεν εἰς Πελοπόννησον καὶ κατέσχε τὸ Ἄργος.

XIX. *Περὶ Δάφνης.* 1. Δάφνης τὸ κάλλος ἐγέννησε μὲν Λάδων ὁ ποταμός, ἐθαύμασε δὲ Ἀπόλλων. παθὼν δέ τι πρὸς αὐτὴν ἐρωτικόν, ἐπεὶ πείθειν οὐκ εἶχεν, ἐδίωκεν. ἡ δὲ εὔχεται τῇ Γῇ

XVI. *Nonni* narr. ad Greg. invect. 1, 55. p. 145: similia habet ad or. in Basil. 5. p. 72 Cr.: cf. Plat. rep. 2. p. 359, Eudoc. p. 99. ‖ —XVII. *Libanii* narr. 36. p. 1111. ‖ XVIII. *Libanii* narr. 22. p. 1106. ‖ 29. post *συνοικεῖν* videntur nonnulla excidisse: cf. Apoll. 2. 1, 5. ‖ 34. *Λυγγέως* vulg. ‖ —XIX. *Libanii* narr. 11. p. 1102. ‖

μὴ ἁλῶναι, καὶ τυχοῦσα τῆς εὐχῆς ἀφανίζεται· καὶ τὸ μὲν σῶμα δένδρον ἐγένετο (δάφνη δὲ τὸ δένδρον ἦν), ὁ θεὸς δὲ τὸν πόθον οὐ κατέλυεν, ἀλλὰ τὰ πρὸς τὴν κόρην μετήνεγκεν ἐπὶ τοὺς κλάδους· καί ἐστιν ἐραστὴς τῶν φύλλων.

2. Ἄλλως. Δάφνη κόρη ὑπῆρχεν ἐκ Λάδωνος τοῦ ποταμοῦ καὶ τῆς Γῆς τὴν γένεσιν εὐτυχήσασα. αὕτη περικαλλής τε οὖσα τῷ εἴδει καὶ ὡραϊζομένη ταῖς ὄψεσιν εἰς ἔρωτα ἐκίνησε τὸν Ἀπόλλωνα. ὁ δὲ Ἀπόλλων κινούμενος ἐκ τοῦ ἔρωτος ἐπεδίωκε τὴν Δάφνην, εἴ πως ἰσχύσει συγγενέσθαι αὐτῇ. ἡ οὖν κόρη τὴν παρθενίαν ἐθέλουσα φυλάξαι τῇ οἰκείᾳ μητρὶ τῇ Γῇ προσηύξατο βοηθῆσαι αὐτῇ. ἡ δὲ Γῆ διανοίξασα τοὺς ἑαυτῆς κόλπους ἐδέξατο τὴν παῖδα, καὶ ψυχαγωγῆσαι θέλουσα τὸν θεὸν φυτὸν ἀνῆκεν ὁμώνυμον τῇ κόρῃ· ὅπερ λαβὼν ὁ Ἀπόλλων στέφεται παρὰ τὸν τρίποδα ψυχαγωγούμενος ἀντὶ τῆς ἐρωμένης τῷ φυτῷ τῆς δάφνης.

XX. Περὶ Δηιανείρας. 1. Δηιάνειραν τὴν Οἰνέως ἐπόθει μὲν Ἡρακλῆς, ἀντεπόθει δὲ καὶ Ἀχελῷος ὁ ποταμός. εἰς ἔργον δὲ καταστάντες ἐκ πόθου ἀγῶνι μὲν τὴν ἅμιλλαν ἔκρινον καὶ ἆθλον τὸν τῆς κόρης γάμον προὐτίθεντο. καὶ προσπεσὼν Ἡρακλῆς παρασπᾷ μὲν Ἀχελῷον τοῦ κέρως, τὸ δὲ καταρρεῦσαν αἷμα τοῦ τραύματος κατεβάλλετο Σειρήνων γένεσιν.

2. Ἄλλως. Δηιάνειραν τὴν Οἰνέως ἐβούλετο μὲν γαμεῖν Ἡρακλῆς, εἶχε δὲ καὶ τὸν ποταμὸν Ἀχελῷον ἔρως τῆς κόρης. ὁ δὲ ἀμφοτέρους δεδοικὼς οὐδετέρῳ χαρίζεται. στήσας οὖν ἆθλον τὴν θυγατέρα διαγωνίζεσθαι ἐκέλευσε. καὶ Ἡρακλῆς ἐνίκα παλαίων, τὸ κέρας ἀνασπάσας τοῦ ποταμοῦ· καὶ τὸ αἷμα ἔρρει, καὶ ἡ Γῆ τοῦτο ἐδέχετο· ἀφ' οὗ Σειρῆνες ἐγένοντο.

XXI. Περὶ Δήμητρος. Καθὼς μυθεύεται, ἡ Δημήτηρ εἶχε θυγατέρα τὴν Περσεφόνην. ταύτην ἥρπασεν ὁ Πλούτων. περιοῦσα δὲ ἡ Δημήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα Περσεφόνην ἦλθεν εἰς τὴν Ἀττικήν, καὶ καταλύει παρὰ Τριπτολέμῳ τινὶ ἐν κώμῃ Ἐλευσῖνι οὕτω καλουμένῃ. μανθάνει οὖν αὐτὴ παρὰ Τριπτολέμου ὅτι ὁ Πλούτων ἥρπασε τὴν Περσεφόνην, καὶ ὑπὲρ ταύτης τῆς εὐεργεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντειλαμένη μὴ φθονῆσαι, ἀλλὰ περιελθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις, ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμέρους καρπούς. πάλαι γὰρ οἱ ἄγροικοι ἤσθιον τοὺς βαλάνους ἐκ τῶν φηγῶν, ἔνθεν ἀπὸ τῆς φηγοῦ τὸ φαγεῖν εἴρηται. λέγεται δὲ

XIX, 2. *Nonni* narr. ad Greg. invect. 2, 16. p. 165. ‖ —XX, 1. *Libanii* narr. 26. p. 1108. ‖ 19. f. Ἀχελῴου τὸ κέρας. ‖ XX, 2. f. *Nicolai:* legitur inter Libanii narratiunculas p. 855. ‖ 22. εἶχε δὲ καὶ Allatius, εἴχετο δὲ Reiskius. ‖ 23. οὐδέτερον, 24. ἐκέλευε, 25. καὶ—ἐδέχετο om. Reiskius. ‖ 26. γίνονται Allatius. ‖ — XXI. *Nonni* narr. ad Greg. invect. 1, 67. p. 149. ‖ 28. περιοῦσα vulg. ‖ 30. Ἐλευσίνῃ vulg. ‖

ὅτι ὁ Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπαραλαβὼν καὶ τὸν Κελεὸν οὕτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα.

XXII. Περὶ Διονύσου. 1. Τῷ Διονύσῳ ἑορτὴν ἄγοντες οἱ Ἕλληνες φαλλοῖς ἐτίμων αὐτόν. φαλλὸς δέ ἐστιν ἐκ δέρματος ῥου-
5 σίου σχῆμα αἰδοίου ἀνδρός· καὶ τοῦτο περιετίθουν ἑαυτοῖς καὶ ἐν τοῖς τραχήλοις καὶ ἐν τοῖς μέσοις μηροῖς καὶ ἐξωργοῦντο τιμῶντες ἐκ τούτου τὸν Διόνυσον. τὴν δὲ τιμὴν ταύτην ἦγον τῷ Διονύσῳ διὰ τὴν τοιαύτην αἰτίαν. ἐκ Σεμέλης τῆς Κάδμου θυγατρὸς γεννᾶται ὁ Διόνυσος· αὕτη δὲ κεραυνωθεῖσα ἐζητεῖτο ὑπὸ τοῦ Διονύσου. περιπλα-
10 νωμένῳ δὲ τούτῳ καὶ ζητοῦντι Πρόσυμνος παῖς οὕτω λεγόμενος περιέτυχε τῷ Διονύσῳ καὶ ὑπέσχετο δεῖξειν αὐτῷ τὴν μητέρα, εἰ παιδεραστήσει αὐτόν. ὁ δὲ Διόνυσος ὑπέσχετο τοῦτο. λέγει αὐτῷ ὁ Πρόσυμνος ὅτι ἐν Λέρνῃ ἐστὶν ἡ Σεμέλη. εἶτα εἰσῆλθεν ὁ Διόνυσος ἐν τῇ θαλάττῃ, ἵνα περάσῃ ἐν τῇ Λέρνῃ. συνηκολούθησεν αὐτῷ καὶ
15 ὁ Πρόσυμνος. καὶ ὁ μὲν Διόνυσος ὡς θεὸς οὐ τέθνηκεν, ὁ δὲ Πρόσυμνος τέθνηκεν. λυπηθεὶς δὲ ὁ Διόνυσος, ὅτι ὁ ἐραστὴς αὐτοῦ τέθνηκε, πρὸς τιμὴν αὐτοῦ καὶ μνήμην αἰδοῖον ξύλινον ἐκ συκίνου ξύλου ἐπελέκησε, μεμνημένος τῆς συντελεσθείσης αὐτοῖς αἰσχρᾶς καὶ παρανόμου ἡδονῆς. καὶ διὰ ταύτην τὴν αἰτίαν τοῖς φαλλοῖς τιμῶσι
20 τὸν Διόνυσον. φαλλοὶ οὖν εἰσιν οὗτοι πάντες, ἰθύφαλλοι δὲ οἱ εἰς τοὺς μηροὺς μόνον ἐπ' εὐθείας ἐπιδεσμούμενοι.

2. Ἄλλως. Τοῦ Ὀσίριδος ἤτοι Διονύσου διασπασθέντος ὑπὸ Τυφῶνός φασιν ὡς ἡ τούτου ἀδελφὴ ἡ Ἶσις τὰ τούτου μέλη σὺν πόνῳ πολλῷ συλλέξασα μόνον τὸ αἰδοῖον οὐχ εὗρεν. τούτου χάριν
25 εἰκόνα τοῦ αἰδοίου ποιήσασα προσκυνεῖσθαι ὑπὸ πάντων ἐκέλευσε. γίνεται οὖν παρ' Ἕλλησιν ἑορτὴ τοῦ φαλλοῦ, ἣν προσηγόρευσαν φαλλαγώγια.

3. Περὶ τοῦ αὐτοῦ. Περσεφόνη γεννᾷ τὸν Ζαγρέα Διόνυσον ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. τοῦτον γεννηθέντα οἱ Τιτᾶνες (δαι-
30 μόνων δὲ τάξις οὗτοι), φθονήσαντες τῷ Διονύσῳ ὡς ἐκ Διὸς ἔχοντι τὴν γέννησιν διασπαράσσουσιν αὐτόν. ἄλλοι δὲ λέγουσιν ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος.

XXIII. Περὶ Διός. Ὁ Ζεὺς γενόμενος ἀετὸς διὰ μαγγανείας τινὸς ἥρπασε τὸν Γανυμήδην ἐρασθεὶς αὐτοῦ πρὸς παιδεραστίαν.
35 Φρὺξ δὲ ὁ Γανυμήδης. ὁ δὲ μῦθος ἔχει ὅτι ἥρπαζεν ὁ Ζεὺς τὸν Γανυμήδην, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅταν ἀριστοποιῇ τοῖς θεοῖς. οὗτος δὲ ὁ Ζεὺς γοητείᾳ τινὶ γέγονε χρυσὸς καὶ Δανάῃ συνεγένετο, πάλιν ταῦρος καὶ τὴν Εὐρώπην ἥρπασε, κύκνος δὲ γενόμενος Λήδαν

XXII, 1. *Nonni* narr. ad Greg. invect. 1, 37. p. 139: cf. Eudoc. p. 412. ‖ XXII, 2. *Nonni* narr. ad Greg. invect. 2, 35. p. 172. ‖ XXII, 3. *Nonni* narr. ad Greg. invect. 2, 29. p. 170: cf. Eudoc. p. 124. ‖ 28. *Ζαγρεῖον* vulg. ‖ 29. vulg. *δαιμονίων δὲ τάξεις αὗται.* ‖ 30. *φθονέσαντες* vulg. ‖ —XXIII. *Nonni* narr. ad Greg. invect. 1, 91. p. 158: cf. Eudoc. p. 196. ‖

ἐπόρνευσε, πάλιν ταῦρος γενόμενος τὴν Πασιφάην ἐπόρνευσε, σάτυρος δὲ γενόμενος τὴν Ἀντιόπην ἔφθειρε, καὶ ἄλλα μυρία κακὰ ἔπραξε, πάντα γενόμενος διὰ φιληδονίαν καὶ λαγνείαν.

XXIV. *Περὶ Δωδώνης.* Ἡ Δωδώνη πόλις ἐστὶν ἐν τῇ Ἠπείρῳ κειμένη. ἐν ταύτῃ ἵστατο δρῦς ἱερὰ τοῦ Διός, καὶ ἐν ταύτῃ ἦν τὸ μαντεῖον, γυναικῶν οὐσῶν προφητίδων. καὶ εἰσῄεσαν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν καὶ ἐκινεῖτο δῆθεν ἡ δρῦς, καὶ λοιπὸν ἐφθέγγοντο αἱ γυναῖκες, λέγουσαι ὅτι τάδε προλέγει ὁ Ζεύς. τὸ δὲ περὶ τοῦ λέβητος τοιοῦτόν ἐστιν. ἐν ταύτῃ τῇ Δωδώνῃ λέγεται ὅτι ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον καὶ παρ' αὐτὸν λέβης τις ἵστατο. οἱ οὖν μαντευόμενοι ἤρχοντο παρὰ τὸν τόπον τοῦτον καὶ ηὔχοντο. ὅτε οὖν ἤθελε χρησμῳδῆσαι αὐτοῖς ὁ θεός, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα, εἶτα ἤχει ὁ λέβης καὶ ἐκ τοῦ λέβητος ἠχός τις ἀπετελεῖτο ἐναρμόνιος, καὶ ἐνεφοροῦντο αἱ προφῆτιδες καὶ ἔλεγον ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλλε.

XXV. *Περὶ Ἐλαίας.* Ἐλαία παῖς ὑπῆρχεν Ἀττική, τὰς μὲν κόρας ὥρα σώματος, ῥώμη δὲ παριοῦσα τοὺς ἄνδρας. ἀνακειμένη δὲ Ἀθηνᾷ τῇ θεῷ παλαίστρας προσῄει καὶ στάδια. νικώμενοι δὲ παρ' αὐτῆς, οἷς συνεγυμνάζετο, κτείνουσι μὲν ἐκεῖνοι τὴν κόρην ζηλοτυπήσαντες· τιμῶσα δὲ ἡ Γῆ τὴν θεὸν φυτὸν ἀντ' ἐκείνης ἀνῆκεν· καὶ μεταβαλοῦσα τὸν βίον μένει τὰ γυμνάσια στέργουσα, καὶ τοὺς μὲν ἀγωνιζομένους ὑπασκεῖ τῷ καρπῷ, τοὺς δὲ νικῶντας στεφανοῖ τῷ θάλῳ.

XXVI. *Περὶ Ἐνιπέως.* Καὶ παρὰ τοῖς ποταμοῖς τὸ σῶφρον εὐδοκιμεῖ. δηλοῖ δὲ Ἐνιπεὺς Τυρῶ μὲν ἐρῶσαν ἀποστρεφόμενος, ἐξ ἀπάτης δὲ τῇ παιδὶ Ποσειδῶν συναπτόμενος. ἥρα μὲν γὰρ Ἐνιπέως Τυρώ, ἀντήρα δὲ καὶ Ποσειδῶν τῆς Τυροῦς. καὶ πρὸς Ἐνιπέα τῆς κόρης κλινούσης τὴν Ἐνιπέως Ποσειδῶν ὑπεκρίνετο φύσιν, καὶ πείσας τὴν κόρην συνελθεῖν ἐκ τοῦ σχήματος Νηλέα καὶ Πελίαν ἐκ τῆς κόρης παῖδας προήγαγεν, ὡς τὸ ἔπος ἐδήλωσεν.

XXVII. *Περὶ τῶν Ἠλυσίων πεδίων.* Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει τινὰ εἶναι παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τινα χῶρον, ὃν καλοῦσι Μακάρων νήσους, καλοῦσι δὲ αὐτὸν καὶ Ἠλύσιον πεδίον παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. ὁ δὲ Ῥαδάμανθυς υἱὸς λέγεται εἶναι τοῦ Διός, ἔχειν δὲ τὴν δικαστικὴν ἀξίαν καὶ δικάζειν τοῖς ἐν Ἅιδου, καὶ τοὺς μὲν ἀξίους

2. τὴν—γενόμενος dedi ex Eudocia, vulg. καὶ τἄλλα μυρία κακὰ πράξας. ‖ —XXIV. *Nonni* narr. ad Greg. invect. 2, 12. p. 164: cf. Eudoc. p. 126. ‖ 15. αὐτοῖς vulg. ‖ —XXV. *Nicolai* prog. 2, 3. p. 269. ‖ 22. ὑπασκεῖ videtur corruptum, malim ἀλείφει. ‖ —XXVI. *Libanii* narr. 35. p. 1111. ‖ 25. δῆλος vulg. ‖ 26. Ἐνιπεὺς vulg. ‖ 29. Νειλέα vulg. ‖ —XXVII. *Nonni* narr. ad Greg. invect. 2, 8. p. 163: cf. Eudoc. p. 219. ‖ 36. τοῖς] τοὺς vulg. ‖

κολάσεως πέμπειν παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλεγέθοντα, τοὺς δὲ ἀγαθὰ ἐργασαμένους παρὰ τὰς Μακάρων νήσους.

XXVIII. Περὶ Ἡρακλέους. 1. Ὁ Ἡρακλῆς λέγεται υἱὸς γεγονέναι τοῦ Διός. ὁ γὰρ Ζεὺς συνεγένετο τῇ Ἀλκμήνῃ ὁμοιωθεὶς τῷ ἀνδρὶ αὐτῆς Ἀμφιτρύωνι καὶ γεγέννηκε τὸν Ἡρακλέα, ὃς καὶ τοὺς μεγάλους ἄθλους ἐκείνους διήνυσε. πολλοὶ οὖν γεγόνασιν ἀπὸ Ἡρακλέους, ὧν πρῶτος καὶ ἔνδοξος ὁ Ὕλλος· ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς πάντες Ἡρακλεῖδαι ἐλέγοντο.

2. Περὶ τοῦ αὐτοῦ. Ἀλκμήνη τίκτει τῷ Διὶ μὲν Ἡρακλέα, τῷ δὲ Ἀμφιτρύωνι Ἰφικλέα, καὶ τὸ μέσον τοῦ σπέρματος ἐν τοῖς ἐκγόνοις ἐδείχθη. τὰ μὲν γὰρ ἔκειτο ἐσπαργανωμένα ἀρτίγονα· δράκοντες δὲ ὡς ἐπῆλθον ἐπιβουλευούσης Ἥρας τῷ Ἡρακλεῖ, πτήσσει μὲν Ἰφικλῆς καὶ ὑπότρομος γίνεται, Ἡρακλῆς δὲ δέχεται τὰ ἑρπετὰ καὶ ἀποπνίγει.

3. Ἄλλως. Θεῶν αἱ γοναὶ καὶ περὶ τὰ σπάργανα φαίνονται. δηλοῖ δὲ ἡ συνοῦσα Διὶ καὶ μετ' αὐτὸν Ἀμφιτρύωνι, καὶ συνουσίας διττῆς ἐπὶ τῶν παίδων φέρουσα γνώρισμα. προῆλθε μὲν γὰρ Ἡρακλῆς τοῦ Διός, ὁ δὲ Ἰφικλῆς Ἀμφιτρύωνος. καὶ κειμένων ἐν σπαργάνοις τῶν παίδων Ἥρα μὲν τοῖς παισὶν ἐπαφίησι δράκοντας· Ἡρακλῆς δὲ ἑωρακὼς ὁμοῦ τῇ θεᾷ προσιόντας ἀνήρηκεν, καὶ πρὸς αὐτὴν Ἰφικλέους καταπεπληγμένου τὴν θέαν ἄθλων προοίμιον τὴν τοῦ βίου ἀρχὴν ἐποιήσατο.

4. Περὶ τοῦ αὐτοῦ. Λέγεται ὁ Ἡρακλῆς διὰ τριῶν ἑσπέρων συλληφθῆναι ὁμοίως καὶ τεχθῆναι, καὶ ἐν μιᾷ νυκτὶ πεντήκοντα ταῖς Θεσπίου θυγατράσι μιγῆναι καὶ παιδοποιῆσαι ἐξ αὐτῶν πασῶν, ὥστε καὶ διὰ ταῦτα θεοποιῆσαι αὐτὸν καὶ τοῦτο τρισκαιδέκατον αὐτοῦ ἆθλον ὀνομάσαι.

5. Περὶ τοῦ αὐτοῦ. Μέγαρα οὕτω καλουμένη, Κρέοντος τοῦ Θηβῶν βασιλέως θυγάτηρ, ἐγαμήθη τῷ Ἡρακλεῖ καὶ ἐπαιδοποίησεν ἐξ αὐτοῦ. ἡ δὲ Ἥρα ἀπεχθῶς πρὸς τὸν Ἡρακλέα ἔχουσα διὰ πολλὰ ἐνέβαλεν αὐτῷ μανίαν, καὶ μανεὶς ἀπέκτεινε τὰ ἑαυτοῦ τέκνα, ἃ ἔσχεν ἐκ τῆς Μεγάρας.

6. Περὶ τοῦ αὐτοῦ. Ὁ Ἡρακλῆς ἐστιν ὁ καλούμενος Βουθοίνας, ἐκλήθη δὲ διὰ τοιαύτην αἰτίαν. τὴν Δρυοπίδα γῆν παρῄει ὁ Ἡρακλῆς βαστάζων καὶ τὸν υἱὸν αὐτοῦ Ὕλλον. εἶτα πεπεινακότος τοῦ Ὕλλου καὶ αἰτοῦντος τροφήν, ἀροτριῶντά τινα Θειοδάμαντα

XXVIII, 1. *Nicetae* narr. ad Greg. or. in sanct. lum. ap. Unger. ep. crit. p. 26: eadem fere habent Nonnus narr. ad Greg. or. in Basil. l. p. 68 Cr. et Eudoc. p. 208. ‖ XXVIII, 2. *Libanii* narr. 17. p. 1105. ‖ XXVIII, 3. f. *Nicolai*: legitur inter Libanii narr. 18. p. 1105. ‖ 16. συνοῦσα] συνουσία vulg. ‖ XXVIII, 4. *Nonni* narr. ad Greg. invect. 1, 42. p. 141. ‖ 25. Θεστίου vulg. ‖ XXVIII, 5. *Nonni* narr. ad Greg. invect. 2, 22. p. 168. ‖ 28. Μεγάρη hic et infra vulg. ‖ XXVIII, 6. *Nonni* narr. ad Greg. invect. 1, 41. p. 141: cf. Eudoc. p. 95. 209. ‖

οὕτω λεγόμενον εὑρὼν ᾔτησεν ὁ Ἡρακλῆς ἄρτον· ὁ δὲ οὐκ ἔδωκεν, ἀλλὰ καὶ ὕβρισεν. ὁ δὲ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν ἔσφαξε καὶ ἐθοινήθη καὶ αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ Ὕλλος· καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην Βουθοίνας, ἐπειδὴ ὅλον ἐθοινήθη τὸν βοῦν. ἔνθεν τῷ Ἡρακλεῖ γέγονεν ὁ πρὸς τοὺς Δρύοπας πόλεμος· τοῦ γὰρ Θειοδάμαντος ἀνελθόντος εἰς τὴν πόλιν καὶ εἰπόντος ὡς „πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν," ἐξῆλθον κατ' αὐτοῦ οἱ Δρύοπες, καὶ νενίκηκε πάντας αὐτοὺς ὁ Ἡρακλῆς, καὶ λαμβάνει αἰχμάλωτον τὸν Ὕλαν τὸν υἱὸν τοῦ Θειοδάμαντος.

7. *Περὶ τοῦ αὐτοῦ.* Τοῦ Ἡρακλέους περὶ τὰ Γάδειρα ἐλθόντος καὶ μηκέτι ἰσχύσαντος περαιτέρω ἀπελθεῖν (οὐ γὰρ περάσαι ἴσχυσε τὸν ὠκεανόν· τὰ γὰρ Γάδειρα εἴσοδός ἐστιν ἀπὸ τοῦ ὠκεανοῦ εἰς τὴν δυτικὴν θάλασσαν), ἄχρι οὖν τῶν Γαδείρων γενόμενος στήλας ἔστησεν ἐκεῖ, ὡς μέχρι τῶν ἐκεῖσε βατῆς οὔσης τῆς θαλάσσης καὶ τῆς γῆς, καὶ τὸ ἐπέκεινα οὐκέτι. καὶ ἀκούει ὁ τόπος Ἡρακλέους στῆλαι.

8. *Περὶ τοῦ αὐτοῦ.* Οὗτος ὁ Ἡρακλῆς εἶχε γυναῖκα ὀνόματι Δηιάνειραν, ἣν ἔλαβεν ἐξ Οἰνέως, ἀντεραστὴς γενόμενος Ἀχελῴῳ τῷ ποταμῷ. ἐξ ἧς ἔτεκε καὶ τὸν Ὕλλον. ταύτην τοίνυν τὴν Δηιάνειραν ἅμα τῷ λαβεῖν καὶ ἀποφέρειν ἐν τῇ οἰκείᾳ πατρίδι ἰδὼν ὁ Νέσσος, εἷς τῶν ἱπποκενταύρων, ἠράσθη αὐτῆς καὶ κατά τινα ποταμὸν ἡβυλήθη αὐτῇ συγγενέσθαι. ὁ οὖν Ἡρακλῆς μαθὼν κατατοξεύει τὸν Νέσσον. ἀποθνήσκων δὲ ἐκεῖνος ἐκ τοῦ αἵματος ἑαυτοῦ δίδωσι τῇ Δηιανείρᾳ, ὑπειπών τε καὶ ἀπατήσας ὅτι „ἔσται σοι τοῦτο τὸ αἷμα πρὸς φίλτρον τοῦ Ἡρακλέους, ἵνα (φησίν) ἐὰν μάθῃς ὅτι ἄλλης ἐρᾷ, χρίσῃς ἐκ τοῦ αἵματος τούτου τὸ ἔνδυμα τοῦ Ἡρακλέους καὶ μεθιστῇς αὐτὸν εἰς τὸν ἑαυτῆς πόθον." τοῦτο οὖν τὸ αἷμα εἶχεν ἡ Δηιάνειρα. τοῦ οὖν Ἡρακλέους τῆς Ἰόλης τῆς τοῦ Εὐρύτου θυγατρὸς ἐρασθέντος καὶ λαβόντος καὶ διὰ τοῦ Λίχα πέμψαντος αὐτὴν ὡς αἰχμάλωτον πρὸς τὴν Δηιάνειραν, εἰς ἔννοιαν καὶ ζηλοτυπίαν ἐκινήθη ἡ Δηιάνειρα, καὶ βουληθεῖσα τὸν ἔρωτα μεταστῆσαι εἰς ἑαυτὴν τὸν χιτῶνα τοῦ Ἡρακλέους χρίει τῷ αἵματι τοῦ Νέσσου καὶ δίδωσιν ἐνδύσασθαι τῷ Ἡρακλεῖ. τὸ δὲ ἦν ἀνδροφόνον τὸ αἷμα. ἐνδυσαμένου γὰρ τοῦ Ἡρακλέους ὑφῆψεν ὁ χιτὼν καὶ κατέφλεξεν αὐτόν· ὁ δὲ καιόμενος καὶ ῥίψας ἑαυτὸν ἐν τῷ πλησίον ποταμῷ θερμὸν τὸ ὕδωρ ἐποίησεν, ἐξ οὗ λοιπὸν γεγόνασιν αἱ Θερμοπύλαι μεταξὺ Θετταλίας καὶ Φωκίδος.

XXIX. *Περὶ Ἥρας.* 1. Ἡ Ἥρα πολλάκις ἐζηλοτύπει τὸν Ἡρακλέα. ἐν τῷ οὖν ὑποστρέφειν αὐτὸν ἐκ τῆς Τροίας, ὅτε μετὰ τοῦ Τελαμῶνος αὐτὴν ἐπόρθησε, διετάραξε τὴν θάλασσαν καὶ τοὺς

1. οὐ δέδωκεν vulg. ‖ 9. Ὕλλον vulg. ‖ XXVIII, 7. *Nonni* narr. ad Greg. invect. 2, 34. p. 172. ‖ XXVIII, 8. *Nonni* narr. ad Greg. invect. 1, 3. p. 128. ‖ 25. μεθιστᾷς vulg. ‖ 33. ὁ δὲ] ὃς δὲ vulg. ‖ —XXIX, 1. *Nonni* narr. ad Greg. invect. 1, 82. p. 156: cf. Eudoc. p. 207. ‖

ἀνέμους διήγειρε, καὶ ἐχείμαζε τὸ σκάφος τῇ βίᾳ καὶ τῷ κλύδωνι τοῦ Ἡρακλέους. τὸν δὲ ὕπνον μαγγανείᾳ τινὶ χρησαμένη προσελθεῖν ἐποίησε τῷ Διὶ καὶ ἐφύπνωσεν αὐτόν, ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. μαθὼν δὲ μετὰ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατα-
5 σκεύασμα τῆς Ἥρας τιμωρεῖται αὐτὴν οὕτω· δύο ἄκμονας δήσας αὐτῇ περὶ τοὺς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀδιαλύτους, ἐκρέμασεν αὐτὴν ἀπὸ τοῦ οὐρανοῦ τιμωρῶν αὐτήν.

2. Περὶ τῆς αὐτῆς. Ὁ Ζεὺς ἐχαρίζετο μᾶλλον τοῖς Τρωσὶ καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας διὰ τὴν ἱκεσίαν τῆς Θέτιδος ἕνε-
10 κεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσιν αὐτὸν οἱ Ἕλληνες ἡττώμενοι. ἡ [δὲ] Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων, φροντίζουσα δὲ βουλεύεται ἀπατῆσαι τὸν Δία, πρὸς μῖξιν αὐτὸν καὶ ὕπνον ἐκβακχεύουσα, ἵνα καθεύδοντος τοῦ Διὸς ἀβοήθητοι οἱ Τρῶες γενόμενοι ἡττηθῶσιν ὑπὸ τῶν Ἑλλήνων. ταῦτα οὖν βουλευσαμένη λαμβάνει τὰ πορνικὰ καλλωπίσματα
15 πάντα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης. ὁ δὲ κεστὸς μυθεύεται καμψεῖόν τι εἶναι, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας καὶ λαμπρότητα προσώπου ἐναπόκεινται. εἶτα κοσμησαμένη ἄνεισι παρὰ τὸν Δία καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου πρὸς ἡδονὴν καὶ λαγνείαν. ἐκ γῆς δὲ περιέβαλλεν ἑαυτῇ καὶ τῆς τῶν μύ-
20 ρων εὐωδίας· καὶ γὰρ ἡ γῆ ἐβλάστησε βοτάνας, οἷον λωτὸν, κρόκον καὶ ὑάκινθον, ῥόδα καὶ τὰ λοιπὰ ἀρώματα, ἔργα μυρεψῶν, καὶ μόσχον.

XXX. Περὶ Ἡφαίστου. 1. Ῥίπτει τὸν Ἥφαιστον Ἥρα ἐξ οὐρανοῦ τῇ τοῦ παιδὸς αἰσχυνομένη χωλείᾳ. ὁ δὲ τῇ τέχνῃ ἐχρῆτο,
25 καὶ ἐν θαλάσσῃ σεσωσμένος ὑπὸ δαιμόνων θαλαττίων πολλὰ μὲν καὶ ἄλλα ἐδημιούργει, τὰ μὲν Εὐρυνόμῃ, τὰ δὲ Θέτιδι, παρ' ὧν περισέσωστο, ποιεῖ δὲ καὶ θρόνον τῇ μητρὶ δῶρον, ἀφανεῖς ἔχοντα δεσμούς, καὶ πέμπει. καὶ ἡ μάλα τε ἥσθη τῷ δώρῳ καὶ καθιζάνει, καὶ ἐδέθη, καὶ ὁ λύσων οὐκ ἦν. βουλὴ δὲ γίνεται θεῶν περὶ τῆς εἰς οὐρανοὺς
30 ἀναβάσεως Ἡφαίστου· μόνον γὰρ ἂν ἐκεῖνον καὶ λῦσαι. σιγώντων οὖν τῶν ἄλλων καὶ ἀπορούντων Ἄρης ὑπισχνεῖται, καὶ ἐλθὼν πράττει μὲν οὐδέν, αἰσχρῶς δὲ ἀπαλλάττεται πυρσοῖς αὐτὸν δειματώσαντος Ἡφαίστου. ταλαιπωρουμένης δὲ **** μετὰ οἴνου Διόνυσος, καὶ διὰ μέθης εἶχεν Ἥφαιστον ἑπόμενον. ὁ δὲ ἐλθὼν καὶ τὴν μητέρα
35 **** Διόνυσον. ἡ δὲ αὐτὸν ἀμειβομένη πείθει τοὺς οὐρανίους θεοὺς ἕνα τῶν οὐρανίων θεῶν καὶ Διόνυσον εἶναι.

2. Ἡρακλέως vulg. ‖ XXIX, 2. *Nonni* narr. ad Greg. invect. 1, 81. p. 155: cf. Eudoc. p. 401. ‖ 10. addidi δὲ. ‖ 13. ἀπὸ vulg. ‖ 19. τῆς] f. τὰς. ‖ —XXX. *Libanii* narr. 1. p. 1099. ‖ 33. τῆς Ἥρας αὖθις πρὸς αὐτὸν πορεύεται vel tale quid videtur excidisse. ‖ 35. quid h. l. exciderit difficile dictu est, nec quicquam suggerunt Paus. 1. 20, 3 et Hygin. fab. 166: interea supple λύσας, εἶτα ἐκνήψας, λοιδορεῖ. ‖

2. *Περὶ τοῦ αὐτοῦ.* Ἀφροδίτη γυνὴ ἦν τοῦ Ἡφαίστου τοῦ χαλκέως. ταύτης ἠράσθη ὁ Ἄρης καὶ ἐμοίχευσεν αὐτήν. ὁ οὖν Ἥφαιστος μαθὼν τοῦτο τῇ τέχνῃ αὐτοῦ ἐτεχνάσατο τὰς πάγας καὶ τίθησι τῷ Ἄρει ἐρχομένῳ ἐπὶ τῇ μοιχείᾳ τῆς Ἀφροδίτης. καὶ ἐμπίπτει εἰς τὰς πάγας καὶ κατέχεται ὁ Ἄρης, καὶ φωρᾶται μοιχεύων 5 τὴν Ἀφροδίτην. καὶ οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἀλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. καὶ τότε οἱ θεοὶ, εἰδότες τὸ πῶς θριαμβευόμενοι ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς, πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα. καὶ τότε λύεται ὁ Ἄρης, 10 ὅτε μικρά τινα λύτρα δίδωσι τῷ Ἡφαίστῳ.

XXXI. *Περὶ Ἰκαρίου.* 1. Ἐπεφοίτησεν Ἰκαρίῳ Διόνυσος, ὁ δὲ αὐτὸν ἐδέξατο καὶ ἐθεράπευσεν. καὶ λαμβάνει παρὰ [τοῦ] θεοῦ δῶρον τὴν ἄμπελον, καὶ διδάσκει τὴν τέχνην. ὡς δὲ ἧκεν εἰς Θρᾴκην, πιόντες οἱ Θρᾷκες ἐμεθύσθησαν, καὶ ἠγήσαντο φάρμακον τὸν οἶνον· 15 καὶ ἐν τούτῳ δόξης ὄντες ἐπέκτεινον τὸν Ἰκάριον.

2. *Ἄλλως.* Λέγεται ὅτι ὁ οἶνος παρὰ τοῦ Διονύσου ηὕρηται. διὸ καὶ ἔφορον τῆς ἀμπέλου λέγουσιν εἶναι τὸν Διόνυσον. οὗτος οὖν ὁ Διόνυσος ἐλθὼν ἐν Ἀθήναις, Ἰκαρίῳ τινὶ περιτυχὼν ἔδωκεν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι· ὁ δὲ καὶ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον 20 καὶ ἔπιε καὶ ἔδωκε καὶ ποιμέσι πιεῖν. οἱ δὲ ποιμένες μεθυσθέντες διὰ τὸ ἐκ τοῦ παραδόξου πρῶτον πιεῖν, νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ἰκαρίου ἀποκτείνουσιν αὐτόν. ἡ δὲ Ἠριγόνη, ἡ τούτου θυγάτηρ, διὰ τῆς κυνὸς τοῦ Ἰκαρίου γνοῦσα ὅτι ἀπέθανεν, ἐποτνιᾶτο καὶ ἤσχαλλε, καὶ, καθὼς μυθεύουσιν οἱ πλανώμενοι Ἕλληνες, ταύτην 25 ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος μετέθηκαν εἰς τὸν οὐρανόν, καὶ νῦν ἔστιν ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη.

XXXII. *Περὶ Ἰκάρου.* Δαιδάλου γέγονεν Ἴκαρος, καὶ τὴν τέχνην τοῦ φύσαντος εἰς ἐπιθυμίαν ἔσχε παράλογον· πτερωτὸς γὰρ ἐπεθύμησεν αἱρεσθαι. καὶ προσελθὼν τῷ πατρὶ τὴν τέχνην τοῦ 30 πτηνοῦ κέκληκε σύμμαχον· ὁ δὲ τήξας κηρὸν πτερὰ τοῖς ὤμοις προσέπλασε. καὶ τέχνῃ πιστεύσας ὁ παῖς εἰς ὕψος αἴρεται καὶ κατέστη μετέωρος. καὶ πρὸς τὸ πέλαγος πεσὼν ἀπώλετο, τὸν κηρὸν ἡλίου διατήξαντος, κἀντεῦθεν ὄνομα τῇ θαλάσσῃ γεγένηται, διόπερ Ἰκάριον προσαγορεύεται πέλαγος. 35

XXXIII. *Περὶ Ἰοῦς.* Ἴον τὸ ἄνθος ἐξ ἧς ὀνομάζεται γέγονεν. ἥρα μὲν γὰρ ὁ Ζεὺς τῆς Ἰοῦς, ἐρῶν δὲ ἐπλησίαζεν. καὶ συνὼν

XXX, 2. *Nonni* narr. ad Greg. invect. 1, 86. p. 157: cf. Eudoc. p. 14. ‖ —XXXI, 1. *Libanii* narr. 23. p. 1107. ‖ 13. τοῦ addidi. ‖ 16. f. ἀπέκτειναν. ‖ XXXI, 2. *Nonni* narr. ad Greg. invect. 1, 68. p. 149: cf. Eudoc. p. 242. ‖ 19. δίδωκεν hic et infra vulg. ‖ —XXXII. *Severi* narr. 5. p. 539. ‖ 31. προσέπλασε Schubartus, προσεπέλασε Walzius. ‖ —XXXIII. *Severi* narr. 1. p. 537. ‖

λαθεῖν ἐπειρᾶτο τὴν Ἥραν, καὶ τὸν ἔλεγχον μεταβολὴν ἐποιεῖτο τῆς φύσεως. καὶ τὸ γεγονὸς ὑποκλέψαι δοκῶν εἰς βοῦν μεταβάλλει τὴν ἄνθρωπον· τιμῶσα δὲ ἡ Γῆ τὴν τοῦ Διὸς ἐρωμένην ἄνθος ἀνῆκε τῇ βοὶ νέμεσθαι. καὶ γεγονὸς δι' αὐτὴν ἐξ αὐτῆς ὀνομάζεται. καὶ δη-
5 λοῖ τῆς κόρης τὰς τύχας τοῖς χρώμασιν· ἐρυθραίνεται μὲν γὰρ οἷα παρθένος, πορφύρεται δὲ οἷα βοῦς, καὶ λευκαίνεται δηλοῦν τὴν ἐν ἄνθεσι τῆς κόρης μεταβολήν, ὅσα τε βλαστήματα φαίνεται, γέγονε γηγενῆ.

XXXIV. *Περὶ Καλλιστοῦς.* Τὴν Ἥραν ὁ Ζεὺς ἔλυπει
10 Καλλιστοῦς ἐρῶν, καὶ ποιεῖ τὴν ἐρωμένην ἄρκτον τοῦ τὴν Ἥραν λαθεῖν· ὡς δὲ αὐτῆς ἔσχε πλήσμιον, μεταδίδωσι τοῦ οὐρανοῦ. καὶ ἔστιν ἡ Καλλιστὼ τῶν ἀρκτῴων ἀστέρων. ἀπὸ δὲ ταύτης παῖς Ἀρκάς, ὅθεν Ἀρκάδες. οὗ τεχθέντος Ἑρμῇ τῆς σωτηρίας ἐμέλησε.

XXXV. *Περὶ Καπανέως.* Ἀπειλοῦντα Καπανέα καὶ ἄκον-
15 τος Διὸς αἱρήσειν τὰς Θήβας ὁ Ζεὺς κεραυνῷ βάλλει. τὸν δὲ Ἀμφιάραον ἵπποις αὐτοῖς διαστᾶσα ἡ γῆ δέχεται. Τυδεὺς δὲ ὑπὸ Μελανίππου τρωθεὶς ἐδεῖτο τῶν ἑταίρων βοηθῆσαι τῷ τεθνεῶτι· κτείναντος δέ τινος τὸν Μελάνιππον καὶ κομίσαντος ἔτι ζῶντι Τυδεῖ τὴν κεφαλήν, ὁ μὲν λαβὼν αὐτὴν τοῖς ὀδοῦσιν ἐτιμωρεῖτο, τὴν δὲ Ἀθηνᾶν
20 αὐτῷ φέρουσαν ἀθανασίαν τοῦτο ἐκώλυσεν ἐκδοῦναι. Πολυνείκης δὲ συγκατενεχθεὶς τῷ ἀδελφῷ ταφῆς καὶ ἀπεστέρητο μὲν παρὰ τοῦ Κρέοντος, ἐτύγχανε δὲ παρὰ τῆς ἀδελφῆς. λέγεται δὲ καὶ ἡ γυνὴ Πολυνείκους Ἀργεία συνεφάψασθαι τοῦ ἄθλου.

XXXVI. *Περὶ Κασταλίας.* Πηγὴ ἦν ἐν Δάφνῃ τῇ κατὰ
25 Ἀντιόχειαν, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν καὶ μαντείας καὶ χρησμοὺς τοῖς ἐρχομένοις περὶ τὸ ὕδωρ λέγεσθαι. λέγεται δὲ ὅτι, ἡνίκα ἐμαντεύετό τις ἐν τῷ τόπῳ τούτῳ, αὔρας τινὰς καὶ πνοὰς τὸ ὕδωρ ἀνεδίδου, καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων οἱ ἱερεῖς οἱ περὶ τὴν πηγὴν ἐνθουσιῶντες ἔλεγον, ἃ ἤθελεν ὁ δαίμων.

30 XXXVII. *Περὶ Κέκροπος.* Κέκροψ βασιλεὺς γέγονεν Ἀθηνῶν, ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν. οὗτος δέ ἐστιν ὁ διφυὴς καλούμενος· ἐκαλεῖτο δὲ διφυὴς ὅτι δύο φωνὰς ἦν ἠσκημένος, μίαν μὲν τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ τὴν τῆς Αἰγύπτου. λέγεται γὰρ ὅτι οἱ Ἀθηναῖοι ἄποικοί εἰσιν Αἰγυπτίων ἀπὸ Σάεως πόλεως.
35 ἡγεμὼν οὖν τῆς ἀποικίας γέγονεν ὁ Κέκροψ, καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα φωνὴν ἔχων καὶ τὴν Αἰγυπτίαν. ὁ δὲ λόγος ὁ λέγων, αὐτόχθονας εἶναι Ἀθηναίους, μῦθός ἐστι λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέποτε

XXXIV. *Libanii* narr. 6. p. 1101. ‖ 11. αὐτὴν ἔχε πλησίον vulg. ‖ 12. Καλλίστη vulg. ‖ —XXXV. *Libanii* narr. 3. p. 1100. ‖ 15. Ἀμφιάραον] Ἄδραστον vulg. ‖ 20. Πολυνείκει vulg. ‖ 21. καὶ suspectum, nisi excidit aliquid, velut τῶν νομίμων. ‖ —XXXVI. *Nonni* narr. ad Greg. invect. 2, 14. p. 165: cf. Eudoc. p. 251. ‖ —XXXVII. *Nonni* narr. ad Greg. or. in Basil. 1. p. 63 Cr.: cf. Eudoc. p. 251. ‖

ἀπωσθῆναι, μᾶλλον δὲ ἀνασταθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν· λεπτόγεως γὰρ οὖσα ἡ χώρα οὐ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλοις εἰσοικῆσαι.

XXXVIII. *Περὶ Κερβέρου.* Μυθεύεται ὅτι ἐστί τις κύων ἔχων τρεῖς κεφαλάς, ὃς καλεῖται Κέρβερος, καὶ οὗτος φυλάττει τὰς πύλας τοῦ Ἅιδου, καὶ τοὺς μὲν καταβαίνοντας εἰς τὸν Ἅιδην σαίνει καὶ κολακεύει, τοὺς δὲ ἀνιόντας δάκνει καὶ οὐκ ἐᾷ ἀνελθεῖν. φασὶν οὖν ὅτι ὁ Ἡρακλῆς, ὅτε κατῆλθε συναρπάσαι τῷ Πειρίθῳ τὴν Περσεφόνην, ἀνιὼν ἀπέκτεινε τὸν Κέρβερον.

XXXIX. *Περὶ Κερκώπων.* Δύο τινὲς ἀδελφοὶ κατὰ γῆν πᾶσαν ἀδικίαν ἐνδεικνύμενοι ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δριμύτητος τὴν ἐπωνυμίαν λαχόντες. ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος Ἀκλήμων, ὥς φησι Δῖος ὁ ὑπομνηματιστής. τούτους δὲ ἡ μήτηρ, Μεμνονὶς τῷ ὀνόματι, ἑωρακυῖα κατὰ γῆν πολλὰ δεινὰ ἐργαζομένους αὐτούς, εἶπε μὴ περιτυχεῖν μελαμπύγῳ. καί ποτε τοῦ Ἡρακλέους ὑπὸ δένδρον κοιμωμένου καὶ τῶν αὐτοῦ ὅπλων ὑποκεκλιμένων τῷ φυτῷ, πλησιάσαντες οὗτοι τοῖς ὅπλοις ἐπιχειρῆσαι ἐβουλήθησαν. εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος, λαβὼν αὐτοὺς καὶ κατακέφαλα ἐπὶ ξύλου δεσμεύσας ἐβάστασεν ἐξόπισθεν. καὶ τότε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἐμνήσθησαν κρεμάμενοι, τοῦ Ἡρακλέους τὴν πυγὴν μέλαιναν θεασάμενοι ἐκ τῆς τῶν τριχῶν δασύτητος. οἱ δὲ πρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι γέλωτα πολὺν προσῆψαν τῷ Ἡρακλεῖ. καὶ εὐθὺς κατὰ τοῦτο τῶν δεσμῶν ἐλυτρώσατο καὶ ἀπέλυσεν αὐτούς.

XL. *Περὶ Κηφέως καὶ Περσέως.* 1. Κηφεὺς εἶχεν Αἰθιόπων τε ἀρχὴν καὶ γυναῖκα καλήν. αὕτη καὶ τὰς Νηρηΐδας κάλλει νικᾶν ἐνομίζετο καὶ ἔλεγεν· αἱ δὲ δέονται τοῦ σφῶν ἄρχοντος λαβεῖν ὑπὲρ αὐτῶν δίκην. ὡς δὲ ἔπεισαν, ὁ μὲν ἐπὶ τὴν τοῦ Κηφέως γῆν κῆτος ἔπεμψεν, Κηφεὺς δὲ χρησμῷ πειθόμενος, πέτρας ἐπικειμένης θαλάσσῃ τὴν θυγατέρα ἐκδήσας παρεῖχεν ἀπολλύναι τῷ κήτει. ταύτην σώζει τε καὶ λύει Περσεύς, τεμὼν ἐν Λιβύῃ καὶ φέρων τὴν Μεδούσης κεφαλήν, λίθον τε ποιήσας τὸ κῆτος.

2. Ἄλλως. Κηφεὺς Αἰθιόπων κρατῶν Κασσιέπειαν ἐκέκτητο σύνοικον· ἣ τοσοῦτον ἐπῄει διὰ κάλλος φρονεῖν, ὡς αὐτὰς οἴεσθαι Νηρηΐδας ὑπερβάλλειν. ἀγανακτήσας δὲ ἐπὶ τούτοις ὁ Ποσειδῶν κῆτος ἀνῆκε τὴν Αἰθιόπων γῆν λυμαινόμενον. ἀπορῶν δὲ Κηφεὺς

2. ἄλλους vulg. ‖ —XXXVIII. *Nonni* narr. ad Greg. invect. 1, 51. p. 144: cf. Eudoc. p. 255. ‖ —XXXIX. *Nonni* narr. ad Greg. invect. 1, 39. p. 140: cf. Eudoc. p. 47. ‖ 11. *Κέκροπες* vulg. ‖ 13. *Δίων* Eudocia, quod probat Leutsch. ad Zenob. 5, 10: sed Dium, Harpocrationis discipulum, habes ap. Schol. Hom. Iliad. 9, 453. ‖ 14. *Μήμωνις* vulg.: cf. Tzetz. chil. 5, 77. ‖ —XL, 1. *Libanii* narr. 31. p. 1109. ‖ XL, 2. *Nicolai* prog. 2, 6. p. 270: est etiam ap. Liban. narr. 32. p. 1110. ‖ 33. *Αἰθιοπίας* Allatius et Reiskius. ‖

λύσιν τοῦ δυστυχήματος ἤκουεν, εἰ τὴν Ἀνδρομέδαν παραθείη τῷ κήτει. καὶ παρατυχὼν ὁ Περσεὺς ἀπολιθοῖ μὲν τῇ Γοργόνῃ τὸ κῆτος, σωτηρίας δὲ γέρας τὸν τῆς σωθείσης ἐκομίσατο γάμον.

XLI. *Περὶ Κισσοῦ.* Κισσὸς τὸ ἄνθος Διονύσου τὸ πρὶν χορευτὴς ἐγεγένητο, καὶ περὶ τὸν ναὸν ἐξορχούμενος διαφθείρεται μὲν εἰς γῆν πεσών, Γῆ δὲ τιμῶσα Διόνυσον ἄνθος ἀνῆκε χορεῦον καὶ μετὰ θάνατον τῷ θεῷ· ὅθεν ὁ Κισσὸς περιέχει τὴν ἄμπελον τὸ Διονύσου φυτόν, ὡς ὅτε νέος ὑπάρχων ἐχόρευεν.

XLII. *Περὶ Κύκλωπος.* Ὁ Κύκλωψ λέγεται εἶναι ἥρως τις λῃστρικὸς καὶ ποιμήν, ὃς ᾤκει τὴν Σικελίαν, εἶχε δὲ ἕνα ὀφθαλμόν. τοῦ οὖν Ὀδυσσέως ἀποπλανηθέντος μετὰ τὸν Τρωικὸν πόλεμον μετὰ τῶν ἑταίρων αὐτοῦ καὶ ἐλθόντος περὶ τὴν Σικελίαν, ὁ Κύκλωψ συνέλαβε καὶ αὐτὸν τὸν Ὀδυσσέα καὶ τοὺς ἑταίρους αὐτοῦ· καὶ τοὺς μὲν ἑταίρους αὐτοῦ πρώτους κατέφαγε, τὸν δὲ Ὀδυσσέα τηρήσας εἰς ὕστερον καταφαγεῖν οὐκ ἴσχυσε διαδράντος αὐτοῦ. διέδρασε δὲ μεθύσας τὸν Κύκλωπα καὶ τυφλώσας αὐτόν, καὶ ὑπὸ τὸ ἔριον ἑνὸς κριοῦ κατακρεμάσας ἑαυτὸν καὶ ἐξελθὼν σὺν τῷ κριῷ οὕτως ἀπέδρα.

XLIII. *Περὶ Κυκλώπων.* Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ περὶ τὰ ὀρεινὰ αὐτῆς λέγονται γενέσθαι οἱ Κύκλωπες, ποιμενικὸν μὲν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βιαιότερον. λέγονται δὲ οὗτοι ἀνθρωποφάγοι εἶναι καὶ κατεδηδοκέναι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους. τρεῖς δὲ αὐτῶν λέγονται οἱ ἐξοχώτατοι, Βρόντης, Στερόπης, Ἄργης. λέγονται δὲ οὗτοι αὐτοὶ καὶ ἐξοχώτατοι χαλκεῖς τὴν τέχνην, οἵτινες διὰ τῆς οἰκείας τέχνης τὴν βροντὴν καὶ τὴν ἀστραπὴν τῷ Διὶ κατεσκεύασαν. Κύκλωπες δὲ ἐλέγοντο, ὡς μὲν Ἡσίοδος, ὅτι ἕνα εἶχον κυκλοτερῆ ὀφθαλμὸν ἐν τῇ ὄψει, ὡς δὲ Παλαίφατος, ὅτι κυκλοτερῆ τινα νῆσον ᾤκουν.

XLIV. *Περὶ Λαοδίκης.* Τροίας ἁλούσης αἱ μὲν ἄλλαι Πριάμου κόραι τὸ συμβὰν ἔστεργον, Λαοδίκη δὲ δυσχεραίνουσα φθῆναι θανάτῳ τὴν δουλείαν ἠρεῖτο· καὶ διαστᾶσα μὲν αὐτὴν δέχεται γῆ βουλομένων θεῶν. τελευτᾷ δὲ ἡ παῖς ἥλιον ἔχουσα τῆς δουλείας ἀμάρτυρον.

XLV. *Περὶ Λητοῦς.* Ἤπειγον αἱ ὠδῖνες τὴν Λητώ, ἐδέχετο δὲ αὐτὴν οὔτε ἤπειρος οὔτε νῆσος οὐδεμία τῶν φανερῶν. ἡ Δῆλος δὲ πρῶτον μὲν ἠφανίζετο τῇ θαλάσσῃ, τότε δὲ γνώμῃ Διὸς ἀνέδυ τε καὶ ἐξεφάνη, καὶ ἐδέξατο τὸν τόκον. τεχθεὶς δὲ ὁ Ἀπόλλων εὐθὺς ἦν τοξότης, καὶ ἔργον αὐτῷ πρῶτον ὁ δράκων, ὃς ἐπολέμει τῇ Λητοῖ βουλομένῃ τεκεῖν.

1. *παραθήσει* Walzius. ‖ 2. *Γοργόνι* et 3. *γ. τῆς σ. ἐκ. τὸν γ.* Allatius et Reiskius. ‖ —XLI. *Nicolai* prog. 2, 5. p. 270. ‖ —XLII. *Nonni* narr. ad Greg. invect. 2, 33. p. 172. ‖ —XLIII. *Nonni* narr. ad Greg. invect. 1, 65. p. 148: cf. Eudoc. p. 263. ‖ 25. Hes. theog. 145. ‖ —XLIV. *Nicolai* prog. 2, 1. p. 269. ‖ —XLV. *Libanii* narr. 19. p. 1105. ‖

XLVI. *Περὶ Λιβάνου.* *Λίβανος Ἀσσύριον ὄνομα καὶ ἐν ὄρει καὶ ἐν φυτῷ. μειράκιον δὲ τὸ πρὶν ἐγεγένητο τοῖς θεοῖς ἀνακείμενον. ζηλοτυποῦντες δὲ αὐτὸ δυσσεβεῖς ἄνθρωποι κτείνουσι, καὶ Γῆ τιμῶσα θεοὺς ἀνῆκε φυτὸν ὁμοίως θεοῖς ἀνακείμενον· διὸ μᾶλλον εὐφραίνει τοὺς θεοὺς ὁ λίβανον ἤπερ χρυσὸν ἐπιθείς.* 5

XLVII. *Περὶ Μαρσύου.* 1. *Ἤυλει ἡ Ἀθηνᾶ, καὶ τὸ εἴδωλον αὐτῆς ἐν τοῖς ὕδασιν ἰδοῦσα τὸν αὐλὸν ἔρριψεν, ὡς οὐκ ἔχον εὐσχημοσύνην τῷ προσώπῳ τὸ αὐλεῖν. γίνεται δὴ οὗτος Μαρσύου, καὶ ἐποίησεν αὐτὸν αὐλητὴν ὀνομαστόν. ὁ δὲ ἐπείθετο ἤδη καὶ Ἀπόλλωνος εἶναι κρείττων, καὶ εἰς ἔριν ἐκάλει. καὶ οἱ μὲν ἤριζον,* 10 *ἐψήφιζον δὲ αἱ Μοῦσαι· καὶ ὁ θεὸς ἐνίκα. δίκην δὲ ἐπιτιθεὶς τῷ αὐλητῇ κρεμάσας ἔδειρε, καὶ τὸ αἷμα γίνεται ποταμός, τῷ δὲ ποταμῷ ὄνομα Μαρσύας.*

2. *Ἄλλως. Ἀθηνᾶ ποτε τοὺς αὐλοὺς λαβοῦσα παρὰ πηγὴν ἱσταμένη ἤυλησε, θεασαμένη δὲ ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιὰν πεφυ-* 15 *σημένας ἔχουσαν τὰς γνάθους καὶ ἀπρεπεῖς ἐκ τούτου φαινομένας, ἔρριψε τοὺς αὐλοὺς ὡς ἀμορφίας αἰτίους. ἐν γὰρ τῷ αὐλεῖν τὸ πνεῦμα ἐξογκοῖ τὰς γνάθους καὶ ἀμόρφους ποιεῖ τοὺς αὐλοῦντας. τούτους τοὺς ῥιφέντας αὐλοὺς λέγεται Μαρσύας εὑρηκέναι, καὶ ἐρίσαι τῷ Ἀπόλλωνι καὶ ἡττηθῆναι, καὶ ἐκδαρῆναι παρὰ τὸν ποταμόν, ἐξ* 20 *οὗ Μαρσύας ὁ ποταμὸς λέγεται.*

XLVIII. *Περὶ Μενοικέως. Ὁ Μενοικεὺς Κρέοντος ἦν υἱός, βασιλέως Θηβῶν. πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν ὑπὸ τῶν ἑπτὰ στρατηγῶν ἐχρησμῴδησε Τειρεσίας μάντις ὤν, παραυτίκα παύσεσθαι τὸν πόλεμον καὶ ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ* 25 *βασιλικοῦ γένους τῶν αὐτοχθόνων τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντός τις ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν. μαθὼν τοῦτο ὁ Μενοικεὺς καὶ θέλων ἐλευθερῶσαι τῆς πολιορκίας τὴν πόλιν, ἔδωκεν ἑαυτὸν πρὸς ἀναίρεσιν δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος.*

XLIX. *Περὶ Μίδου. Ὁ Μίδας οὗτος Φρυγίας ἦν βασιλεύς.* 30 *ἦν δὲ φιλάργυρος καὶ χρυσομανής τις, ὡς τὸ ἔργον ἐδήλωσεν. ηὔξατο οὖν ὅτι οὗ ἂν ἅψηται χρυσὸς γένηται. εἰσηκούσθη δὲ οὗτος, καὶ οὗ ἂν ἥψατο ἢ χειρὶ ἢ στόματι, ἐγένετο χρυσός. φαγεῖν δὲ μὴ δυνάμενος ἀπώλετο· καὶ γὰρ ἡ τροφὴ ἡ διδομένη αὐτῷ διὰ τοῦ στόματος ἀπεχρυσοῦτο. ἐφθάρη οὖν τῷ λιμῷ. ἱστοροῦσι δὲ ἄλλοι τινὲς ὅτι* 35 *χρησμὸν λαβὼν ἔζησεν· ἦν δὲ ὁ χρησμός, διελάσαι ἅρματι, καὶ ὅπου ἂν ἐπισχεθῇ τὸ ἅρμα, στῆναι καὶ κτίσαι πόλιν. ἐποίησεν οὕτως, καὶ κτίζει ἐπὶ τούτῳ τὴν Ἀγκύραν τῆς Γαλατίας. ἄγκυρα γὰρ, σιδήριον*

XLVI. *Nicolai* prog. 2, 4. p. 270. ‖ —XLVII, 1. *Libanii* narr. 14. p. 1104. ‖ 11. *τε*—*τε* vulg. ‖ *ἐπιθεὶς* Reiskius. ‖ XLVII, 2. *Nonni* narr. ad Greg. invect. 2, 10. p. 164. ‖ 15. *ἤυλισε* vulg. ‖ —XLVIII. *Nonni* narr. ad Greg. invect. 1, 9. p. 131: cf. Eudoc. p. 289. ‖ 28. *δέδωκεν* vulg. ‖ —LXIX. *Nonni* narr. ad Greg. or. in Basil. 6. p. 74 Cr.: cf. Eudoc. p. 290. ‖

πλοίου ποταμίου, ἐπέσχε τὸ ἅρμα καὶ ἔστησε τὸν Μίδαν. καὶ οὕτως ἐκτίσθη ἡ πόλις καὶ ἐκλήθη Ἀγκύρα.

L. *Περὶ Ναρκίσσου.* Παραλόγου πάθους ὁ λόγος ὑπῆρξε παραλογώτερος. Νάρκισσος γὰρ ἦν ἐρῶν οἴκοθεν καὶ φθειρόμενος
5 οἴκοθεν· ὥρᾳ μὲν γὰρ διέφερε σώματος, ὅθεν δὲ τὴν ὥραν καὶ τὸν πόνον ἐκτήσατο· καταλαμβάνει γὰρ πηγὴν ὁ πιόμενος, θεατὴς δὲ τῆς οἰκείας μορφῆς καταστὰς ἐραστὴς ὁ αὐτὸς καὶ θεατὴς κατεφαίνετο. ἦρα δὲ, ὅθεν αὐτὸς ἐξ αὐτοῦ καταφθείρεται, ἐρώμενος ἦν ἐραστὴν οὐ κτησάμενος, ἀλλ' ἐπὶ πηγὴν ἑαυτὸν ἐπαφεὶς ἔστεργε μὲν τὴν σκιὰν
10 ὡς ἐρώμενος, ἑαυτοῦ δὲ λαβόμενος ἑαυτὸν ἐναφῆκε τοῖς ὕδασι, καὶ παραψυχὴν τοῦ πάθους ζητῶν βίου στέρησιν εὕρατο, τοσοῦτον τῆς τελευτῆς ὀνησάμενος ὅσον εἰς τέλος μεταπεσεῖν. καὶ δηλοῖ τὴν μνήμην ὁμωνύμῳ βλαστήματι.

LI. *Περὶ Νεοπτολέμου.* Ἀποθνήσκει τοῖς Ἀπόλλωνος βέ-
15 λεσιν Ἀχιλλεύς. Θρασυνόμενος δὲ Νεοπτόλεμος ᾔτει τὸν Ἀπόλλωνα δίκας τοῦ φόνου· ἐπινοήσας [δὲ] ὡς οὐ καλῶς αὐτῷ τοῦτο ἐπεποίητο, διαλλάξων αὐτῷ τὸν θεὸν εἰς Δελφοὺς ἀπῄει, καὶ ἀπέθανεν ὑπὸ τῶν ἐνοικούντων Δελφῶν, οὓς ἐξηπάτησεν Ὀρέστης, λέγων αὐτὸν ἐφ' ἁρπαγῇ τῶν ἱερῶν ἥκειν χρημάτων.

20 LII. *Περὶ Ὀδυσσέως.* Συνέβη ποτὲ καὶ ἡ ἐπὶ τὴν Ἴλιον στρατεία τοῖς Ἕλλησι· καὶ οἱ μὲν ἄλλοι ἀσμένως τὸ κήρυγμα δέχονται, Ὀδυσσεὺς δὲ μόνος τὴν ὁδὸν δυσχεραίνει καὶ γυναικὸς καὶ τέκνου καὶ οἰκουρίας πάντα τίθησιν ὕστερα. ἐφίστανται οἱ καλοῦντες, καὶ Παλαμήδης ἦν σὺν αὐτοῖς. ὁ δ' Ἰθακήσιος τὸν ἐπίληπτον ὑποκρίνεται,
25 καὶ συζεύξας ὄνον βοῖ τέμνων ὁρᾶται παραφόρως τὴν αὔλακα. σοφὸς δὲ ἄρα σοφῷ προσκρούει, ὁ Παλαμήδης τῷ Ὀδυσσεῖ, καὶ σοφωτέρᾳ δοκιμασίᾳ σοφοῦ φωρᾶται ἐπίνοια. ἄγει γὰρ ἐκεῖσε Παλαμήδης Τηλέμαχον καὶ τίθησι παρ' αὐτὴν τῆς αὔλακος τὴν ἰθύν, ὅπου ὁ ξένος ἐκεῖνος ἀρότης ἔμελλεν ἰθύνειν τὸ ἄροτρον. ἀλλ' ἡ φύσις
30 μεταξὺ δικάζει ἀνάγκης καὶ προαιρέσεως, καὶ παραυτίκα τὴν τῆς ἀνάγκης σκηνὴν ἐκκαλύπτει, τὴν πλάσιν αὐθαίρετον ἀναδείξασα, καὶ ὁ Ὀδυσσεὺς παρεκκλίνων ἐκ τοῦ βρέφους τὸ ζεῦγος ἅμα ζητεῖ τὴν θήραν καὶ τοῖς φίλοις θήραμα γίνεται.

LIII. *Περὶ Παλαμήδου.* Παλαμήδης Εὐβοιεὺς ὢν τὸ γένος
35 (Εὔβοια δὲ νῆσος ἀπαντικρὺ τῆς Ἀττικῆς), οὗτος εὗρε τὸ ἀριθμεῖν καὶ τὸ ταβλίζειν καὶ χρῆσθαι καὶ ἄλλαις πολλαῖς μεθόδοις. οὗτος δὲ ὁ Παλαμήδης εἷς ἐστι τῶν συστρατευσαμένων ἐπὶ τὸ Ἴλιον. ἀπέθανε δὲ ἐν τῇ Τροίᾳ κατὰ ἐπιβουλὴν τοῦ Ὀδυσσέως. Ὀδυσσέα γὰρ εἶχεν ἐχθρὸν διὰ τοιαύτην αἰτίαν. τοῦ Ἀγαμέμνονος προτρεπομένου
40 τὸν Ὀδυσσέα ἐπὶ τὴν περὶ Τροίαν ἔξοδον μὴ θέλων ὁ Ὀδυσσεὺς ἐξελ-

L. *Severi* narr. 3. p. 538. ‖ —LI. *Libanii* narr. 8. p. 1101. ‖ 16. *δὲ* addidi. ‖ —LII. *Georgii Pachymeris* prog. 2, 1. p. 552. ‖ *ὡρᾶτο* vulg. ‖ —LIII. *Nonni* narr. ad Greg. invect. 1, 62. p. 147: cf. Eudoc. p. 321. ‖ 36. *καὶ κεχρῆσθαι* vulg. ‖

θεῖν μανίαν προσεποιήσατο, καὶ λαβὼν ὄνον καὶ βοῦν ἐδόκει ἀροτριᾷν ἐν μανίας προσποιήσει. ὁ δὲ Παλαμήδης ἤλεγξεν ὅτι δὴ οὐ μαίνεται, ἤλεγξε δὲ αὐτὸν Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προθεὶς πρὸ τοῦ ἀρότρου. εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ παιδίον καὶ παρελθὼν ἐν μέρει ἐπῆρε τὸ ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον· καὶ ἐγνώσθη 5 ὅτι προσεποιεῖτο τὴν μανίαν. ταύτην οὖν τὴν μῆνιν μηνίων ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ ποιεῖ πλαστὴν ἐπιστολὴν ὡς ἀπὸ Πριάμου πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων, καὶ ὑποτίθησιν ἐν τῇ τοῦ Παλαμήδου σκηνῇ· ὕστερον δὲ κατηγορίας ὑπ' αὐτοῦ γενομένης κατὰ Παλαμήδου ὡς προδότου εὑρέθη ἐπιστολὴ κατακρίνουσα αὐτόν. καὶ 10 τέθνηκε ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων.

LIV. Περὶ Πάριδος. Θέτιν ὁ Ζεὺς ἐθαύμαζε τοῦ κάλλους, παρὰ δὲ τῆς Νυκτὸς ἀκούσας, ὡς ὁ τικτόμενος ἐκ Θέτιδος ἀμείνων ἔσται τοῦ πατρός, αὐτὸς μὲν οὐ μίγνυται, Πηλεῖ δὲ δίδωσι. καὶ δέχεται μὲν τοὺς γάμους τὸ Πήλιον καὶ θεῶν ὕμνον καὶ Ἀπόλλωνος 15 ᾠδήν. ἡ δὲ Ἔρις (οὐ γὰρ μετεῖχε τῆς θοίνης) μῆλον χρυσοῦν ἀφίησιν εἰς τὴν τράπεζαν. „δῶρον εἶναι τῇ καλλίστῃ θεῶν" τούτῳ ἐπεγέγραπτο. γίνεται οὖν ἀμφισβήτησις τὸ μῆλον τῇ τοῦ Διὸς γυναικὶ καὶ Ἀφροδίτῃ καὶ Ἀθηνᾷ. ὁ δὲ φεύγει μὲν αὐτὸς τὴν κρίσιν, ποιεῖ δὲ αὐταῖς Πάριν τὸν Πριάμου κριτήν. ὡς οὖν ἧκον περὶ τὸν βου- 20 κόλον, νικᾷ μὲν ἡ Ἀφροδίτη, ****τοῦτο γὰρ ἄμεινον ὁ Πάρις ἡγήσατο, βασιλείαν δὲ, ἣν ἐδίδου τῆς Ἀσίας ἡ Ἥρα, καὶ τὸ μαχόμενον κρατεῖν, ὃ ἦν τῆς Ἀθηνᾶς ὑπόσχεσις, παρῃτήσατο. ναυπηγεῖ δὲ καὶ πλοῖον καὶ λαμβάνει τὴν Ἑλένην καὶ ἀπόλλυσι τὸ Ἴλιον.

LV. Περὶ Πασιφάης. 1. Ἐγκαλοῦσά τι τῷ Ἡλίῳ Ἀφροδίτη 25 πλήττει τὰς ἐκείνου θυγατέρας ἔρωσι καινοῖς. ἐρᾷ δὴ καὶ Πασιφάη ταύρου, καὶ καρτερεῖν οὐκ ἔχουσα φράζει πρὸς τὸν Δαίδαλον τὸ πάθος. ὁ δὲ ἦν Ἀθηναῖος καὶ φυγὼν διέτριβεν ἐν Κρήτῃ. πείθεται δὴ καὶ βοηθεῖ τῇ γυναικὶ διὰ βοὸς ξυλίνης· κοίλην γὰρ αὐτὴν ἐργασάμενος καὶ κατακλείσας ταύτῃ τὴν ἐρῶσαν, δέρματι βοὸς καλύψας 30 τὸ πλάσμα κινεῖ τὸν ταῦρον ἐπὶ τὴν εἰκόνα. καὶ ἐλθὼν μίγνυται δὴ τῇ γυναικί, βοῖ δὲ ὡς ᾤετο. τότε ὁ Μινώταυρος γίνεται, ταῦρος μὲν τῇ κεφαλῇ, τὸ δὲ ἐντεῦθεν ἄνθρωπος.

2. Ἄλλως. Ἡλίου παῖς Πασιφάη γεγένηται, καὶ γενομένη τοῦ καλλίστου τῶν θεῶν πάθος ὑπέστη παραλογώτατον· ταύρῳ γὰρ ἐπι- 35 μαίνεται. καὶ τὸ πάθος οὐ δυναμένη διενεγκεῖν πρὸς τὸν Δαίδαλον ἤγγειλεν. ὁ δὲ ξυλίνην **** μηχανὴν περιέβαλεν, ᾗ περὶ τὴν ἀγέλην συνήγετο, καὶ τὴν ἄνθρωπον ἔνδον κατακλείσας ἐργάζεται **** ἣν

1. βαλὼν vulg. ‖ 4. πεδίον vulg. ‖ —LIV. *Libanii* narr. 21. p. 1106. ‖ 15. ὕπνον vulg.: cf. Apoll. 3. 13, 5. ‖ 17. τῆς καλλίστης vulg. ‖ 21. videtur excidisse τὴν καλλίστην γυναῖκα Ἑλένην ὑποσχεμένη. ‖ 22. δὲ] τε vulg. ‖ —LIV, 1. *Libanii* narr. 15. p. 1104. ‖ LIV, 2. f. *Nicolai:* legitur ap. Lib. narr. 16. p. 1104. ‖ 37. videtur excidisse βοῦν κατασκευάσας ταύτῃ. ‖ ᾗ] ἣ vulg. ‖ 38. la-

ὁ πρότερος οὐκ ἠπίστατο χρόνος. καὶ τῆς ὁμολογίας ὑπόμνημα παῖς προελήλυθεν ἐφ' ἑνὸς σώματος ἄμφω χαρακτηρίζων τοὺς φύσαντας.

LVI. *Περὶ Πειρίθου.* Ὁ Πειρίθους κατελθὼν εἰς τὸν Ἅιδην διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην τὴν τοῦ Πλούτωνος ἐδέθη κάτω παρὰ πέτραις τισί. κατελθὼν δὲ ὁ Ἡρακλῆς καὶ θέλων λαβεῖν τὸν Πειρίθουν, αὐτὸν μὲν ἀνείλκυσεν, αἱ δὲ πυγαὶ αὐτοῦ προσέμειναν τῇ πέτρᾳ. ἐκλήθη οὖν ὁ Πειρίθους ἄπυγος.

LVII. *Περὶ Πέλοπος.* 1. Τάνταλος Φρυγίας ἦν βασιλεύς. οὗτος γεννᾷ τὸν Πέλοπα. τούτῳ τῷ Ταντάλῳ ποτὲ οἱ θεοὶ ἐπεξενώθησαν. λαβὼν οὖν τὸν Πέλοπα τὸν ἴδιον υἱὸν ὁ Τάνταλος κατασφάττει καὶ κρεουργεῖ καὶ ἑψεῖ, καὶ παρατίθησιν εὐωχίαν τοῖς θεοῖς. τούτων δὲ τῶν κρεῶν ἡ Δημήτηρ βαλοῦσα χεῖρα ἔλαβε καὶ ἔφαγεν ἀπὸ τοῦ ὤμου. οἱ δὲ ἄλλοι θεοὶ ἐλεήσαντες τὸν Τάνταλον καὶ θαυμάσαντες, ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συντιθέασι τὰ κρέα καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα. ἦν δὲ λεῖπον ἐκεῖνο ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ. προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον ἐπλήρωσαν σῶον τὸν Πέλοπα. οὕτω οὖν λοιπὸν ἅπαν τὸ Πελοπιδῶν γένος ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον.

2. *Ἄλλως.* Τάνταλος ὁ τοῦ Διὸς λέγεται ξενίσαι ποτὲ τοὺς θεοὺς καὶ θῦσαι τὸν υἱὸν Πέλοπα καὶ ἑψήσας παραθεῖναι αὐτοῖς, τοὺς δὲ θαυμάσαντας τὴν φιλοξενίαν συνθεῖναι πάλιν καὶ ἀναζωῶσαι τὸν Πέλοπα· μόνης δὲ τῆς Δήμητρος φαγούσης τοῦ μέρους τῶν ὤμων αὐτοῦ τὸ βρωθὲν ἐλεφάντινον ἀποκαταστῆσαι. καὶ οὕτως ἐξ ἐκείνου Πελοπίδας κεκλῆσθαι τὸν ὦμον ἔχοντας ἐλεφάντινον.

3. *Περὶ τοῦ αὐτοῦ.* Πέλοψ υἱὸς γέγονε Ταντάλου, Φρυγίας βασιλέως. ὁ Τάνταλος δὲ οὗτος πόλεμον ἐσχηκὼς μετὰ Ἴλου τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ Τροίας καὶ φοβούμενος τὴν ἧτταν ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα ἀπᾷραι ἐπὶ τὴν ἤπειρον, εἰπὼν ταῦτα ὅτι „ἐὰν μὲν νικήσω, ὑποστρέφεις πάλιν εἰς τὴν Φρυγίαν, ἐὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν Εὐρώπην.“ λαβὼν οὖν ὁ Πέλοψ χρήματα ἦλθεν εἰς τὴν Ἑλλάδα ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ, ἥτις Ἀπία χώρα βασιλέα εἶχε τὸν Οἰνόμαον, ἔχοντα θυγατέρα Ἱπποδάμειαν. εἶτα ἀγωνισάμενος ἐνταῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ τοῦ Οἰνομάου καὶ νικήσας ἔλαβε γυναῖκα τὴν τοῦ Οἰνομάου θυγατέρα Ἱπποδάμειαν καὶ κατέσχε τὴν χώραν, καὶ ἀντὶ Ἀπίας ἐκάλεσε Πελοπόννησον.

cuna f. sic explenda, *ταύρου καὶ γυναικὸς συνουσίαν.* ‖ 1. f. *ὁμοζυγίας.* ‖ *παῖς*] *ταῖς* Reiskius. ‖ —LVI. *Nonni* narr. ad Greg. invect. 1, 39. p. 140: cf. Eudoc. p. 47. ‖ — LVII, 1. *Nonni* narr. ad Greg. invect. 1, 4. p. 129. ‖ LVII, 2. *Nicetae* narr. in Greg. or. in sanct. lum. ap. Unger. ep. crit. p. 25. ‖ 24. *τοὺς* deest ante *ἐξ* aut ante *τὸν*. ‖ LVII, 3. *Nonni* narr. ad Greg. or. in Basil. 1. p. 61 Cr.: cf. Eudoc. p. 332. ‖

LVIII. *Περὶ Πενθεσιλείας.* *Μηκυνόμενος τῆς Τροίας ὁ πόλεμος εἰς χρείαν τοὺς Τρῶας καὶ τῆς τῶν γυναικῶν συμμαχίας κατέστησεν, καὶ παραγίνεται μὲν ἐπικουροῦσα Τρωσὶ Πενθεσίλεια· πεσοῦσα δὲ δι' Ἀχιλλέως ἐν ὅπλοις εἶλεν ἔξ ἔρωτος, ὃν ἐλεῖν οὐκ ἔσχε μαχόμενον.* 5

LIX. *Περὶ Πηνελόπης.* *Πηνελόπη γυνὴ γέγονε τοῦ Ὀδυσσέως. τούτου δὲ πλανωμένου μετὰ τὸν Τρωικὸν πόλεμον πολλοί τινες ἦλθον μνηστευσόμενοι τὴν Πηνελόπην. ἡ δὲ ἡμέραν ἐξ ἡμέρας ἀνεβάλλετο μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ περιμένειν αὐτὴν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν συμφρασάμενοι συγγεγόνασιν αὐτῇ, ἡ δὲ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα, διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσιν ὅτι πάνυ εὔμορφος καὶ σώφρων ἦν ἡ Πηνελόπη, καὶ διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς, καὶ μετεβλήθη εἰς τράγον καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ εἰς ἔρωτα αὐτοῦ ἐκίνησε. καὶ ὠχεύθη ὑπὸ τοῦ τράγου καὶ συνέλαβε καὶ ἔτεκε τὸν Πᾶνα. τοῦτον δὲ ἐθεοποίησαν. οὗτος δέ ἐστιν ὁ Πὰν ὁ τραγόπους.* 10 15

LX. *Περὶ Πίτυος.* 1. *Ἥρα τῆς Πίτυος ὁ Πάν, ἥρα δὲ καὶ ὁ Βορέας (ἦν γὰρ κόρη πρότερον ἡ Πίτυς)· καὶ ἐπ' αὐτῇ ποιοῦνται τὴν αἵρεσιν, ὁποτέρῳ δεῖ χαρίσασθαι. τὸ δὲ ἐντεῦθεν ἐδείκνυσαν τὰ ὄντα αὐτοῖς ἀγαθά, σπεύδων ἑκάτερος ἀμείνων φανῆναι. Βορέας μὲν ἔπνει λαμπρὸς καὶ ἔκαμπτε δένδρα, τὰ δὲ κατέφερεν, ὁ δὲ Πὰν ἐσκίρτα, ἐπήδα, δῶρα ἔφερε τῶν ἀναθημάτων, ἃ ἦν αὐτῷ παρὰ τῶν νομέων. ἐφέλκεται τὴν Πίτυν. καὶ Βορέας ἀλγεῖ, καὶ σφοδρῶς ἐπιπεσὼν ὥσέ τε κατὰ τῶν πετρῶν καὶ διέφθειρε τὴν κόρην. ἡ Γῆ δὲ (καὶ γὰρ ᾤκτειρε τὸ πάθος) ἤμειψεν εἰς φυτὸν τὸ σῶμα. διὰ τοῦτο Πανὶ μὲν ἐκ πίτυος ὁ στέφανος, Βορέας δὲ καὶ τὸ δένδρον λυπεῖ. καί φασι τὸν ἦχον, ὃν ἡ πίτυς ποιεῖ δεχομένη τὸ πνεῦμα, θρῆνον εἶναι.* 20 25

2. *Ἄλλως. Ἥρα τῆς Πίτυος ὁ Πάν, ἀντήρα δὲ καὶ ὁ Βορέας αὐτῆς. ἑκατέρου δὲ προσαγομένου τὴν κόρην πρὸς τὸν Πᾶνα μεθίσταται. καὶ ζηλοτυπεῖ μὲν ἐπὶ τούτοις Βορέας· πνεύσας δὲ ἐπ' αὐτῇ βιαιότερος τὴν μὲν κόρην ὠθεῖ, παραλαβοῦσαι δὲ πέτραι τῷ θανάτῳ παρέδοσαν. Γῆ δὲ ἐλεοῦσα τὸ πάθος ἀνῆκε δένδρον ὁμοίως πρὸς τοὺς ἐραστὰς διακείμενον. τὸν μὲν γὰρ Πᾶνα στεφανοῖ τῷ θάλῳ, θρηνεῖ δὲ τοῦ Βορέου προσπνεύσαντος.* 30 35

LXI. *Περὶ Πλατάνου. Ἡ Πλάτανος καλὴ μὲν ἦν ὡς κόρη, μεγάλη δὲ ὡς Ἀλωέως θυγάτηρ, καὶ τὸ μέγεθος τῶν ἀδελφῶν οὐκ*

LVIII. *Nicolai* prog. 2, 11. p. 272. ‖ —LIX. *Nonni* narr. ad Greg. invect. 1, 40. p. 141: cf. Eudoc. p. 328. ‖ 14. *ἐκνοήσας*] malim *ἐκστήσας* sive *ἐκπλήξας*. ‖ —LX, 1. *Libanii* narr. 27. p. 1108. ‖ 21. malim *δὲ καὶ κατεφ.* ‖ 23. *Βορρᾶς* vulg. ‖ LX, 2. *Nicolai* prog. 2, 8. p. 271: est etiam ap. Liban. narr. 28. p. 1108. ‖ 29. *δὲ* add. Allatius et Reiskius. ‖ 32. *βιαιότερον* et *δὲ ταύτην αἱ πέτραι*, 33. *ὅμοιον περὶ*, 35. *θαλλῷ* lidem. ‖ —LXI. *Nicephori* prog. 2, 12. p. 439. ‖

ἐλείπετο. ἐπεὶ δ' ἐκείνους κεραυνῷ βαλὼν ὁ Ζεὺς ἔπαυσε κατὰ τῶν θεῶν μαινομένους, οὐ φέρει τὴν συμφορὰν ἡ κόρη, καὶ τὴν φύσιν εἰς φυτὸν ἠλλάξατο. ἀλλ' ἔτι καὶ τὸ κάλλος περισώζει καὶ τὸ μέγεθος οὐκ ἀφῄρηται. τοῦτο τὸ φυτὸν καὶ ὁ Ξέρξης ποτὲ τῆς εὐφυΐας
5 ἠγάσθη, καὶ τὸ θαῦμα ἐκεῖνος ἐδήλου χρυσῆν φιλοτεχνήσας πλάτανον.

LXII. *Περὶ Πολυξένης.* Πολυξένη ἐστὶ θυγάτηρ Πριάμου, ἣν ὁ Ἀχιλλεὺς βουληθεὶς γῆμαι εἰσῆλθεν ἐν τῇ Τροίᾳ· καὶ κατὰ λόγον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος καὶ ἀποθνήσκει. ἐκ ὑστέρου δὲ χρόνῳ ἀνδρωθέντι Πύρρῳ τῷ υἱῷ αὐτοῦ
10 ἐφάνη κατ' ὄναρ δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην, δι' ἣν ἀπώλετο. καὶ ὁ Πύρρος ὢν ἐν Τροίᾳ καὶ πυρπολήσας τὸ Ἴλιον, ταύτην μετὰ τὴν νίκην λαβὼν σφάττει ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως τοῦ οἰκείου πατρός.

LXIII. *Περὶ Πριάπου.* Λέγεται μετὰ τὸ ἀνελθεῖν τὴν
15 Ἀφροδίτην ἐκ τῆς Αἰθιοπίας κάλλος ἀμέτρητον ἐπιφέρεσθαι, ὥστε καὶ αὐτὸν τὸν Δία ἐρασθῆναι αὐτῆς, καὶ συγγενόμενον αὐτῇ ζῆλον ἄπειρον τῇ Ἥρᾳ καταλιπεῖν. εὐθὺς οὖν ἡ Ἥρα τὸ μέλλον προσκοπήσασα, καὶ ὅτι ἤμελλε τὸ τικτόμενον ἐκ ταύτης βρέφος κάλλει ὑπερφέρειν καὶ κατακρατῆσαι πάντων τῶν ἐκ Διὸς τεχθέντων, ἤψατο
20 τῆς κοιλίας τῆς Ἀφροδίτης καὶ παρεσκεύασε μαγγανείᾳ τινὶ τὸ βρέφος κακόμορφον τεχθῆναι. τεχθέντος οὖν τοῦ βρέφους ἀμόρφου καὶ ἀσήμου πάνυ, αἰσχροῦ τε καὶ περισσοσάρκου, καὶ ἑωρακυῖα αὐτὸ ἡ μήτηρ, ὅτι μέλλει τὸ τεχθὲν πλεῖστον αὐτῇ ψόγον ἐπιφέρειν, ἔρριψε λαβοῦσα εἰς ὄρος. περιτυχὼν δέ τις τούτῳ ποιμὴν λαβὼν ἀνέθρεψε,
25 καὶ ὡς πρὸς εὐκαρπίαν τῆς γῆς καὶ τῶν κτηνῶν καὶ τετραπόδων νομίσας εἶναι τὸ ἐκείνῳ ὑπάρχον πάθος (λέγω δὴ τὸ τοῦ αἰδοίου· εἶχε γὰρ τοῦτο ἐπάνω τῆς πυγῆς), λαβὼν ἱδρύσατο καὶ ἐτίμησε καὶ ὠνόμασε Πρίαπον, δηλῶν κατὰ τὴν τῶν Ἰταλῶν γλῶσσαν τὸν ἐκ πλάνης τοὺς ἐν πλάνῃ καὶ ἐρημίᾳ σώζοντα. καὶ ἐξ ἐκείνου λέγεται παρὰ
30 τοῖς ποιμέσι τιμᾶσθαι ὁ Πρίαπος.

LXIV. *Περὶ Πρόκνης καὶ Φιλομήλας.* 1. Ἐξ Ἀθηνῶν Τηρεὺς Πρόκνην ἄγεται τὴν Πανδίονος, ὃς ἐβασίλευεν Ἀθηναίων. αὐτὸς δὲ Τηρεὺς ἐκράτει Θρᾴκης. χρόνου δὲ προϊόντος ἐπιθυμίᾳ λαμβάνει τὴν Πρόκνην ἰδεῖν Φιλομήλαν τὴν ἀδελφήν, καὶ διὰ τοῦτο
35 ἐλθὼν Ἀθήναζε καὶ λαβὼν ἐν τῇ πορείᾳ μίγνυται τῇ παρθένῳ βιασάμενος, οὐ πείσας. φοβούμενος δὲ τὸν ἔλεγχον, τὴν γλῶτταν περιελὼν πόρρω τῆς πόλεως ἵδρυσεν ἐν κώμῃ, φυλακά τινα παρακαταστήσας. ἄλλως μὲν οὖν οὐκ ἦν μηνῦσαι τῇ Πρόκνῃ τὸ τόλμημα· τῆς ἑορτῆς δὲ ἐπελθούσης, ἐν ᾗ τῇ βασιλίδι τὰς Θρᾴττας δῶρα πέμ-

LXII. *Nonni* narr. ad Greg. invect. 1, 8. p. 131: cf. Eudoc. p. 341. ‖ — LXIII. *Nonni* narr. ad Greg. invect. 2, 28. p. 170: cf. Eudoc. p. 345. ‖ — LXIV, 1. *Libanii* narr. 12. p. 1103. ‖ 31. Φιλομήλης vulg. ‖ 33. ἐπεθύμει λαμβάνων vulg. ‖

πειν νόμος ἦν, πέμπει πέπλον ἡ Φιλομήλα γράμματα ἐνυφήνασα. τὰ δὲ ἐδήλου τὴν βίαν. ἡ δὲ, ὡς ἔγνω, τὴν μὲν μεταπέμπεται, τὸν δὲ Ἴτυν ἀπέσφαξεν, ὃς ἐκ Τηρέως ἦν αὐτῇ, καὶ εἱστίασε τὸν πατέρα τῷ σώματι τοῦ παιδός. ὡς δὲ δὴ ἐκόρεσεν, ἐδίδασκεν αὐτὸν ἥτις ἦν ἡ βρῶσις, τὰ ἀκρότατα δείξασα. ὁ μὲν οὖν ἐδίωκεν ὡς ἀποκτενεῖων, 5 αἱ δὲ ἔφευγον· καὶ ἐν τῇ διώξει μετεβλήθησαν εἰς ὄρνις αἵ τε γυναῖκες καὶ ὁ Τηρεύς, [εἰς] χελιδόνα μὲν ἡ Φιλομήλα, ἀηδόνα δὲ Πρόκνη· λέγεται δὲ καὶ ὁ τοῦ παιδὸς γευσάμενος ἔποψ γενέσθαι.

2. Ἄλλως. Πρόκνην ἐξ Ἀθηνῶν ἠγάγετο Τηρεὺς τὴν Πανδίονος. ἐρῶσα δὲ ἡ Πρόκνη τὴν ἀδελφὴν Φιλομήλαν θεάσασθαι 10 Τηρέα ποιεῖται τῆς θέας διάκονον. ὁ δὲ παραλαβὼν ἐπόθει μὲν καθ' ὁδόν, καὶ ποσῶν ἐβιάσατο, καὶ βιασάμενος ἀφεῖλε τῶν πραχθέντων τὸν ἔλεγχον, τὴν γλῶσσαν ἀποτεμών. ἡ δὲ ἀφικομένη παρὰ τὴν Πρόκνην εἰπεῖν μὲν οὐκ εἶχε τὸ πάθος, διηγεῖται δὲ τὸ συμβὰν τῇ χειρὶ ἱστῷ προσυφάνασα. καὶ μαθοῦσα τὸ πάθος ἡ Πρόκνη τὸν 15 παῖδα τροφὴν τῷ πατρὶ παρατίθησιν. ὁ δὲ τρέφεται μὲν οἷς ἠγνόει τὰ φίλτατα, τραφεὶς δὲ ἀνελεῖν ἐπεχείρει τὴν θρέψασαν. θεοὶ δὲ τῆς συμφορᾶς τοῦ παιδὸς οἰκτείροντες ἀμφοτέρους εἰς ὀρνίθων μεταβεβλήκασι φύσεις.

LXV. Περὶ Προμηθέως. Ὁ Προμηθεὺς οὗτος λέγεται 20 κλέψαι τὸ πῦρ παρὰ τῶν θεῶν καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους, καὶ ὅτι περὶ τὰ κρέατα τῆς θυσίας ἀπατήσας τὸν Δία εἰς ὀργὰς ἐκίνησε τοῦτον διττάς. τοῦτον οὖν θέλων τιμωρήσασθαι ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ· τῇ δὲ νυκτὶ πάλιν ἀνεπληροῦτο, καὶ πάλιν ἤρχετο ὁ ἀετὸς ἡμέρας γινομένης καὶ ἤσθιεν αὐτό, ἕως οὗ ἐλθὼν ὁ 25 Ἡρακλῆς ἐτόξευσεν τὸ ὄρνεον τοῦτο.

LXVI. Περὶ Πρωτέως. 1. Οὗτος ὁ Πρωτεὺς Αἰγύπτιος μὲν ἦν τὸ γένος, εἶχε δὲ δύο υἱούς, Τμῶλον καὶ Τηλέγονον. τούτους ληστὰς ὄντας ὁ Ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν, ἀπερχόμενος διὰ τοὺς Γηρυόνου βοῦς. τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀπο- 30 βολὴν τῶν τέκνων καὶ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν, καὶ γέγονε δαίμων θαλάττιος, καὶ ἔρχεται καὶ οἰκεῖ τὴν Φαρίαν νῆσον. οὗτος λέγεται καὶ μετὰ τῶν φώκων ἐνδιαιτᾶσθαι. οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος καὶ ἔδωκεν αὐτῷ τὸ εἴδωλον τῆς Ἑλένης. ὕστερον 35 δὲ Μενελάου μετὰ τὸν Τρωικὸν πόλεμον μαθόντος, ὡς εἰς Αἴγυπτόν ἐστιν ἡ Ἑλένη, καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, ἔδωκεν αὐτὴν αὐτῷ. λέγεται δὲ οὗτος ὁ Πρωτεὺς μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας καὶ ποτὲ μὲν φαίνεσθαι τοιόσδε, ποτὲ δὲ τοιόσδε.

5. ἀποκτηνείων vulg. ‖ 7. εἰς addidi. ‖ LXIV, 2. f. *Nicolai:* legitur ap. Liban. narr. 13. p. 1103. ‖ 18. immo τὸν παῖδα. ‖ —LXV. *Nonni* narr. ad Greg. invect. 2, 32. p. 172: cf. Eudoc. p. 346. ‖ —LXVI, 1. *Nonni* narr. ad Greg. invect. 1, 2. p. 128: cf. Eudoc. p. 348. ‖ 28. Μῶλον vulg. ‖ 35. δέδωκεν hic et infra vulg. ‖

2. *Περὶ τοῦ αὐτοῦ.* Ὁ Πρωτεὺς οὗτός ἐστιν ὁ τῆς Θρᾴκης, οὗ τοὺς υἱοὺς ἀπέκτεινεν ὁ Ἡρακλῆς. οὗτος οὖν καὶ μάντις ἦν καὶ γενόμενος ἐνάλιος δαίμων καὶ οἰκῶν τὴν Φάρον· διὸ καὶ Πρωτέως νῆσος ἡ Φάρος ἐκέκλητο. ἵνα μὴ οὖν αἰτῆται μαντείας καὶ προγνώσεις διὰ τοὺς πλησιάζοντας αὐτῷ, τὴν τούτων ὄχλησιν μὴ φέρων, μετεμόρφου ἑαυτὸν μαγείᾳ τινὶ καὶ ἄγνωστον ἑαυτὸν ἐποίει τοῖς πρὸς αὐτὸν πλησιάζουσιν. ὁμοίως δὲ καὶ ὁ Μελάμπους μάντις ἦν καὶ ἱεροφάντης. οὗτος ἐξέφηνε τὰ ἐν Αἰγύπτῳ ἱερὰ τοῖς Ἕλλησιν, ἅπερ ἐμιμήσαντο οἱ Ἕλληνες. καὶ οὗτος δὲ τῶν μεταμορφουμένων ἦν, ὡς καὶ αὐτὸς ὢν μαντόμαγος. οἱ γὰρ τοιοῦτοι ἄνθρωποι εἶχον φύσει τοιαύτην δύναμιν πάρεδρον, ὥστε μεταμορφοῦσθαι εἰς ὃ ἂν θέλωσιν, ὥστε μὴ γινώσκεσθαι παρὰ τῶν πρὸς αὐτοὺς διαλεγομένων.

LXVII. *Περὶ Πυθίας.* Φωκὶς χώρα ἐστὶν ἐν τῇ Ἑλλάδι. ἐν ταύτῃ ἐστὶ πόλις καλουμένη Δελφοί· ἐν ταύτῃ ἐστὶν ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους καὶ αἱ ψῆφοι αἱ μαντικαί. καὶ αἱ μὲν μαντικαὶ ψῆφοι ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἤλλοντο καὶ ἐκινοῦντο ἐν τῇ φιάλῃ. τότε οὖν ἡ [προφῆτις] ἐνεφορεῖτο καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων. ἐκαλεῖτο δὲ ἡ προφῆτις Πυθία.

LXVIII. *Περὶ Πυράμου καὶ Θίσβης.* Θίσβη καὶ Πύραμος τὸν ἴσον πρὸς ἀλλήλους ἐκέκτηντο πόθον, ἐρῶντες δὲ ἐπλησίαζον. κύουσα δὲ ἡ παῖς καὶ τὸ γεγονὸς πειρωμένη λαθεῖν ἀναιρεῖ μὲν ἑαυτήν, μαθὼν δὲ ὁ νέος παραπλησίαν ὑφίσταται τύχην. καὶ θεοὶ τὸ συμβὰν ἐλεήσαντες εἰς ὕδωρ ἄμφω μετέστησαν· καὶ ποταμὸς μὲν γεγονὼς ὁ Πύραμος διαρρεῖ τοὺς Κίλικας, πηγὴ δὲ ἡ Θίσβη καὶ παρὰ τοῦτον ποιεῖται τὰς ἐκβολάς.

LXIX. *Περὶ Ῥήνου.* Ῥῆνος ὁ βαρβαρικὸς ποταμὸς σωφροσύνης ὑπάρχων κριτὴς παραρρεῖ τοὺς Κελτούς. ἐπειδάν γάρ τις αὐτοῖς ἄρτι γένηται παῖς, λαβόντες τῷ ῥείθρῳ παρατιθέασιν· ὁ δὲ παραλαβὼν ἀποδίδωσι μὲν τοῖς γονεῦσι τὰ γνήσια, κτείνει δὲ τὰ νόθα παρ' αὐτῷ κατασχών. καὶ διαγινώσκεται τὸ σῶφρον βίῳ τε καὶ θανάτῳ.

LXX. *Περὶ Σαλμωνέως.* Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱός, βασιλεὺς δὲ Θετταλῶν. οὗτος ἀσεβὴς εἰς θεοὺς γενόμενος, προσάπτων ἅρματι βύρσας ξηράς τε καὶ σκληρὰς καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν [κτυπῶν] ἤχους ἀπετέλει, μετὰ χειράς τε βαστάζων καιομένας λαμπάδας ἐμεγαλαύχει καθάπερ ὁ Ζεὺς βροντῆν τε καὶ ἀστραπτειν, ἕως

LXVI, 2. *Nonni* narr. ad Greg. invect. 1, 45. p. 142: cf. Eudoc. p. 349. ‖ 7. cf. Eudoc. p. 287. ‖ —LXVII. *Nonni* narr. ad Greg. invect. 2, 13. p. 165: cf. Eudoc. p. 349. ‖ 18. προφῆτις addidi. ‖ —LXVIII. *Nicolai* prog. 2, 9. p. 271. ‖ —LXIX. *Libanii* narr. 33. p. 1110. ‖ —LXX. *Nonni* narr. ad Greg. invect. 2, 2. p. 160: cf. Eudoc. p. 371. ‖ 37. κτυπῶν addidi ex Eudocia. ‖

ὑπὸ Διὸς κεραυνωθεὶς ἀνῃρέθη. καὶ κατέλιπε θυγατέρα, ἀφήλικα ὀνόματι Τυρώ. αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου πρὸς πατρὸς Κηφέως ἠράσθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως. τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς ὁ Ποσειδῶν συνεγένετο τῇ Τυρῶ, καὶ συνέλαβε τὸν Νηλέα καὶ τὸν Πελίαν. ἔγκυος δὲ οὖσα ἐγαμήθη ὑπὸ Κρηθέως, καὶ 5 ὕστερον ἔτεκεν ἡ Τυρὼ τῷ μὲν δοκεῖν ἐκ Κρηθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσειδῶνος. ὕστερον δὲ καὶ ἐξ αὐτοῦ [τοῦ] Κρηθέως ἔσχε παῖδα ἡ Τυρώ.

LXXI. *Περὶ Σεμέλης.* 1. *Σεμέλη Κάδμου ἦν θυγάτηρ. ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συγγίνεται αὐτῇ, ἡ δὲ συλλαβοῦσα εἶχεν* 10 *ἐξ αὐτοῦ τὸν Διόνυσον. ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύει αὐτῇ τῇ Σεμέλῃ ἐγκύῳ οὔσῃ ὅτι „αἴτησαι τὸν Δία συγγενέσθαι σοι ὥσπερ συγγίνεται τῇ Ἥρᾳ.“ συνεγίνετο δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. ταῦτα δὲ συνεβούλευεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχο-* 15 *μένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτὴν ὡς θνητὴ καταφλεχθήσεται, καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον. ὃ δὴ καὶ γέγονε. τοῦ γὰρ Διὸς ἐλθόντος πάλιν πρὸς τὴν Σεμέλην ᾔτησεν ἡ Σεμέλη, οὕτως αὐτῇ συγγενέσθαι ὡς τῇ Ἥρᾳ· καὶ ὡς συνεγένετο αὐτῇ, κεραυνοῦται καὶ ἀπόλλυται ἡ Σεμέλη. καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον* 20 *ὄντα ἔραψεν ἐν τῷ ἑαυτοῦ μηρῷ· καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς ἀναπτύσσει τὸν μηρὸν τοῦ Διός, καὶ γεννᾶται, ὥς φασιν, ὁ Διόνυσος. καὶ λαμβάνει αὐτὸν [καὶ ἀποφέρει] εἰς Νύσσαν τῆς Θρᾴκης, κἀκεῖ παρὰ τῶν νυμφῶν γαλακτοτροφεῖται.*

2. *Ἄλλως. Σεμέλη θυγάτηρ Κάδμου τοῦ βασιλέως Θηβῶν.* 25 *φθείρας ὁ Ζεὺς ἐποίησεν ἐγκύμονα. ζηλοτυπήσασα ἡ γαμετὴ αὐτοῦ Ἥρα καὶ προσελθοῦσα πρὸς τὴν Σεμέλην ἀπατᾶσθαι αὐτὴν ἔλεγε, νομίζουσαν ὅτι Ζεὺς αὐτῇ συγγίνεται, ἀνθρώπου τινὸς αὐτῇ μιγνυμένου. καὶ ἔπεισεν, εἰ βούλεται γνῶναι ὅτι ὁ Ζεὺς ἦν ἀληθῶς, αἰτῆσαι αὐτὸν ὡς μετὰ ἀστραπῆς καὶ βροντῆς αὐτῇ συγγένηται. τῆς οὖν* 30 *Σεμέλης ταῦτα αἰτησαμένης ἀφίκετο μετὰ κεραυνοῦ ὁ Ζεύς, ὡς ἡ αὐτονομία τοῦ μύθου βούλεται, καὶ κατέφλεξεν αὐτὴν ἄκων. διασχίσας δὲ αὐτῆς τὴν γαστέρα τὸ ἔμβρυον ἐξέβαλεν ἀτελές, καὶ διατεμὼν τὸν αὐτοῦ μηρὸν ἐνέθηκε καὶ κατέραψεν· πληρωθέντων δὲ ἤδη τῶν μηνῶν τῆς κυήσεως ἐξήγαγε τὸ βρέφος καὶ Διόνυσον αὐτὸν ἐπω-* 35 *νόμασεν.*

LXXII. *Περὶ Σκύλλης. Μυθεύεται ὅτι ἐν τῷ Τυρρηνικῷ πελάγει θηρίον ἦν, ὃ ἦν γυνὴ μὲν περικαλλὴς μέχρι τοῦ ὀμφαλοῦ,*

7. τοῦ addidi. ‖ —LXXI, 1. *Nonni* narr. ad Greg. invect. 2, 19. p. 186: cf. Eudoc. p. 373. ‖ 10. δὲ] καὶ vulg. ‖ 23. καὶ ἀποφέρει addidi ex Eudocia. ‖ LXXI, 2. *Nicetae* narr. ad Greg. or. in sanct. lum. ap. Unger. ep. crit. p. 26. ‖ 32. αυτο νομία (sic) ms.: αὐτονομία vix sanum, f. ἀλληγορία. ‖ —LXXII. narr. ad Greg. invect. 1, 52. p. 144: cf. Eudoc. p. 376. ‖

ἔνθεν δὲ καὶ ἔνθεν κυνῶν κεφαλαὶ προσπεφύκασιν αὐτῇ ἐξ· τὸ δὲ ἄλλο αὐτῆς σῶμα ὀφιῶδες. ὃ, φασί, θηρίον τοὺς παραπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς καὶ θηριωδῶς.

LXXIII. *Περὶ Ταντάλου καὶ Τιτυοῦ καὶ Ἰξίονος.* Ὁ μὲν Τάνταλος υἱὸς ἦν τοῦ Διός. οὗτος, ὥς φασιν, ἠξιώθη τῆς τραπέζης τῶν θεῶν, καὶ ἀξιωθεὶς ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν, καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε. ἔστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις ἔχων πέτραν ἐπάνω αὐτοῦ, καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα· καὶ ἤρτηται ὁ λίθος κατ' αὐτοῦ. ἐὰν οὖν, φασί, θέλῃ πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος, πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ καὶ τιμωρεῖται αὐτόν. ἐκ τούτου φασὶν ὅτι λιμῷ καὶ δίψει τήκεται, ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ μετασχεῖν διὰ τὴν ἐπηρτημένην κατ' αὐτοῦ πέτραν. ἡ δὲ περὶ τοῦ Τιτυοῦ ἐστιν αὕτη. ὁ Τιτυὸς ἠράσθη τῆς Λητοῦς, καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κηδέμνου θέλων αὐτῇ συγγενέσθαι. εἶτα Ἄρτεμις καὶ Ἀπόλλων παῖδες ὄντες τῆς Λητοῦς κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον, καὶ νῦν, φασί, κολάζεται ἐν τῷ Ἅιδῃ ἔχων τὰ βέλη ἐμπεπαρμένα ἐν τῷ ἥπατι. ἡ δὲ περὶ τὸν Ἰξίονά ἐστιν αὕτη. [ὁ] Ἰξίων ἠράσθη τῆς Ἥρας, ἡ δὲ Ἥρα προσαγγέλλει τῷ Διί· ὁ δὲ Ζεὺς βουληθεὶς γνῶναι, εἰ ὄντως ἠράσθη αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ πέμπει πρὸς αὐτόν. ὁ δὲ Ἰξίων νομίσας αὐτὴν τὴν Ἥραν εἶναι συμμίγνυται αὐτῇ τῇ νεφέλῃ. καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν οὕτω· τροχῷ διατείνας αὐτὸν ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν, καί ἐστιν ἀεὶ οὗτος ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τινὰ τιμωρίαν.

LXXIV. *Περὶ Ταρτάρου.* Ὁ Πλάτων ἐν τῷ Φαίδωνι περὶ τῶν λέξεων καὶ τῶν ἀποκληρώσεων τῶν ψυχῶν λέγει, ὅτι οἱ ἄδικοι βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ. ποταμοὶ γὰρ οὗτοί εἰσιν, ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυριφλεγέθων θερμότατος, ὁ δὲ Τάρταρος μέσος τις τόπος τοῦ παντός, ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις ἄχρι τοῦ τέρματος τοῦ παντός, σκοτεινός τις καὶ ἀφεγγής· καὶ ὅτι καὶ ἐν τῷ τόπῳ τούτῳ κολάζονται οἱ ἄδικοι· ὁ δὲ Ἀχέρων καὶ αὐτὸς μέσος τις, ὃς καθαρσίῳ ἔοικε, καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

LXXV. *Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.* Ταῦροι ἔθνος ἐστὶ περὶ τὴν Σκυθίαν. ἐν τούτοις μετετέθη ὑπὸ τῆς Ἀρτέμιδος

LXXIII. *Nonni* narr. ad Greg. invect. 2, 31. p. 171 : cf. Eudoc. p. 390. Apost. 8, 71. Arsen. p. 237. ‖ 13. Eudoc. p. 396. Apost. 18, 87. ‖ 18. Ἰξίωνα vulg., sed malim τοῦ Ἰξίονος. ‖ ὁ addidi. ‖ 24. οὕτως Apost. ‖ τινὰ] τινῶν [τίνων] τὴν Schol. Greg. ed. Gaisf. p. 44. ‖ —LXXIV. *Nonni* narr. ad Greg. invect. 2, 30. p. 171. ‖ Plat. Phaed. p. 111 sqq. ‖ 27. malim κολάσεων καὶ τῶν ἀποκαθάρσεων. ‖ 32. τέλματος vulg. ‖ —LXXV. *Nonni* narr. ad Greg. invect. 1, 7. p. 130. ‖

ἡ θυγάτηρ Ἀγαμέμνονος ἡ Ἰφιγένεια ἐν τῷ μέλλειν αὐτὴν θύεσθαι ὑπὲρ τῶν Ἑλλήνων ἐν τῇ Αὐλίδι· ὑπὲρ ἧς ἔλαφον ἡ θεὸς ἀμείψασα ἔδωκε θῦσαι. αὕτη οὖν ἡ Ἰφιγένεια οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρὰ τῶν ἐπιξενουμένων τίς ἐστιν, ἐπέτρεπε θύειν αὐτοὺς τῇ Ἀρτέμιδι. ὕστερον δὲ ὁ Ὀρέστης δειματούμενος ὑπὸ τῶν 5 Ἐρινύων, καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει καὶ προσενεχθεὶς ὡς ἱερείᾳ τῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου καὶ ἀφείθη τῆς θυσίας. οὕτω λοιπὸν λαβὼν ὁ Ὀρέστης τὴν ἰδίαν ἀδελφήν, λέγω δὴ τὴν Ἰφιγένειαν, κομίζει εἰς τὴν Ἑλλάδα. 10

LXXVI. *Περὶ Τιταρησίου.* Τὸ δὲ Τιταρησίου θαῦμα σωπᾷ παρελθεῖν ἄλογον. Θετταλίαν γὰρ οὗτος ὁ ποταμὸς παραρρεῖ, Πηνειῷ δὲ οὐ συμφύρεται. τὸ δὲ αἴτιον, ὅτι τῆς Στυγός ἐστιν ἀπορρώξ, ἔφη τὸ ἔπος.

LXXVII. *Περὶ Τριττῶν.* Τριτταὶ χάριτες ἐν ἄνθεσι καὶ 15 θεαῖς καὶ κόραις γεγόνασιν. Ἐθεοκλέους γὰρ παῖδες ἦσαν, αἳ ταῖς Χάρισι θεαῖς ἐξορχούμεναι καταφέρονται μὲν εἰς φρέαρ οὐ προορώμεναι· Γῆ δὲ ἐλεοῦσα τὸ πάθος ἄνθος ἀνῆκε ταῖς κόραις ὁμώνυμον καὶ τοῖς βλαστήμασιν ὅμοιον· διαιρεῖται γὰρ τὸ ἄνθος εἰς τρεῖς κορυφάς, ἀποσῶζον τὴν ὄρχησιν. 20

LXXVIII. *Περὶ Ὑακίνθου.* 1. Ἤνεγκεν ὁ χρόνος Ὑάκινθον ἐν νέοις τὸ πρίν, ἐν ἄνθεσιν ὕστερον. μειράκιον γὰρ ἦν Ἀμυκλαῖον πρότερον, ὥρᾳ σώματος ἐραστὴν ἐργαζόμενον τὸν Ἀπόλλωνά τε καὶ τὸν Ζέφυρον. ἑκατέρου δὲ προσαγομένου τῷ νέῳ πρὸς Ἀπόλλωνα τρέπεται, καὶ χαλεπήνας ἐπὶ τούτοις ὁ Ζέφυρος φυλάττει τὸν 25 νέον δισκεύοντα· καὶ ἀντιπνεύσας τῇ πνοῇ βιαιότερον τὴν αὐτοῦ βολὴν εἰς αὐτὸν μετεστήσατο, τὸν αὐτὸν βάλλοντα δεικνὺς καὶ βαλλόμενον. Γῆ δὲ ἐλεοῦσα τὸ πάθος ἄνθος ἀνῆκεν ὁμώνυμον, τὴν μνήμην τοῦ νέου φυλάττουσα.

2. Ἄλλως. Ἀκούεις ἄνθος ὑάκινθον. τοῦτο ἦν πάλαι μει- 30 ράκιον Ἀμυκλαῖον [ὡραῖόν] τε καὶ καλόν. ἐρασταὶ δὲ αὐτοῦ γεγόνασι δύο, Ζέφυρός τε καὶ ὁ Λητοῦς. ἐπεὶ δὲ ἐχαρίζετο τῷ θεῷ, βουλεύει φόνον ὁ Ζέφυρος ἐπ' αὐτῷ, καὶ τηρήσας ἐπαφιέντα τὸν δίσκον (ἐπαιδεύετο γὰρ Ὑάκινθος ὑπ' Ἀπόλλωνος τὰ τοιαῦτα) πνεῖ τε ἀπὸ τοῦ Ταϋγέτου καὶ περιτρέπει τῷ μειρακίσκῳ τὴν βολήν. καὶ 35 τὸ μὲν ἔκειτο, ἡ δὲ Γῆ ἐλεοῦσα τὸ πάθος ἐπανῆκε τὸ ἄνθος.

3. *δίδωκε* vulg. ‖ 4. post *ἐστιν* videtur aliquid excidisse. ‖ —LXXVI. *Nicolai* prog. 2, 2. p. 269. ‖ 13. Iliad. 2, 755. ‖ —LXXVII. *Nicolai* prog. 2, 12. p. 272. ‖ —LXXVIII, 1. *Severi* narr. 2. p. 537. ‖ 22. *Ἀμύκλειον* vulg. ‖ 28. *δὲ ἐλθοῦσα τὸ πάθος ἀνῆκεν* Walzius. ‖ LXXVIII, 2. f. *Nicolai:* est inter Libanii narrat. uncu las p. 855. ‖ 31. *Ἀμ. τε καὶ* Allatius, *Ἀμ. καὶ* Reiskius, addidi *ὡραῖον*: cf. Palaeph. fab. 47. ‖ 33. *βουλεύεται* Allatius. ‖ *ἀφιέντα* Reiskius. ‖ *τὸν* om. idem. ‖ 34. *Ὑακ. Ἀπόλλωνι—μειρακίῳ—ἠλέει τὸ π. καὶ ἀνῆκε* idem. ‖

LXXIX. *Περὶ ὕδρας.* *Θηρίον μυθεύεται ἡ ὕδρα γενέσθαι περὶ τὴν Λέρνην πεντηκοντακέφαλον, οἱ δὲ ἑνδεκακέφαλον· τὰς δὲ κεφαλὰς εἶναι ὄφεων. ὅπερ ἐλθὼν ὁ Ἡρακλῆς μετὰ Ἰολάου τοῦ θεράποντος αὐτοῦ ἀπέκτεινε. μυθεύεται δὲ καὶ τοῦτο, ὅτι τεμνομένης μιᾶς κεφαλῆς αὐτῆς δύο ἀντ' αὐτῆς παρεφύοντο, ὥστε γενέσθαι ἐπὶ τὸ διπλάσιον ἑκατὸν κεφαλάς. ὁ δὲ Ἰόλαος μαθὼν τοῦτο ἐμηχανήσατο καὶ πῦρ ἔφερε καὶ τὴν τεμνομένην κεφαλὴν ἐνεπίμπρα· καὶ οὕτως ἴσχυσαν τὰς πάσας ἀποκτεῖναι.*

LXXX. *Περὶ τῆς τῶν Φρυγῶν ἐκτομῆς. Κατὰ τὴν Φρυγίαν ἐσέβοντο τὴν μητέρα τῶν θεῶν τὴν Ῥέαν ὑπὲρ πάντα θεόν. ταύτῃ οὖν τὰς τελετὰς ποιοῦντες οἱ Φρύγες κατέτεμνον ἑαυτοὺς μαχαίραις, οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. τοῦτο δὲ ἐποίουν κηλούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. μετὰ δὲ τὰς πληγὰς πρὸς ἀκαθάρτους μίξεις ἐχώρουν, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν.*

LXXXI. *Περὶ Χαρύβδεως. Κατὰ τὸ Σικελικὸν καὶ Τυρρηνικὸν πέλαγός ἐστί τις τόπος, ἐν ᾧ ἡ θάλασσα γίνεται ἄμπωτις καὶ ῥαχία· καὶ διίσταται τὸ ὕδωρ, ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴ γε δυνατόν, ὁρᾶσθαι. ἄμπωτις δέ ἐστιν οἷον ἀνάπωσίς τις καὶ ἀναρρόφησις. τὸ δὲ ὕδωρ ὑπονοστεῖ ἔν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ἐκρήγνυται, ὃ καὶ καλεῖται ῥαχία. ἦν δὲ οὗτος ὁ τόπος τοῖς πλέουσιν ἐπικίνδυνος καὶ θανάτου μεστός· ὁλοβρόχιον γὰρ τὸ πλοῖον ἐγίνετο ἐν τούτῳ τῷ τόπῳ, εἰ συνέβη πλέοντος τοῦ πλοίου γενέσθαι ἀμπάτιδα καὶ ῥαχίαν. περὶ τούτων Ὅμηρος ἔφη,*

ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις.

LXXXII. *Περὶ Χιμαίρας. Πάταρα πόλις ἐστὶ τῆς Λυκίας. λέγεται δὲ ὅτι ἐν ταύτῃ ἐστὶν ὄρος, ἐν ᾧ ὄρει ἦν θηρίον, ὃ πρόσθεν μὲν ἦν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ ἦν χίμαιρα. ἐξ ἧς Χιμαίρας πῦρ ἐκ τοῦ στόματος ἀνεδίδοτο. καὶ ἐλυμαίνετο τὴν χώραν καὶ πάντας τοὺς παριόντας. ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης, ἔχων τὸν Πήγασον ἵππον, ἐτεχνάσατο καὶ τῷ δόρατι αὐτοῦ περιθεῖναι σφαῖραν μολύβδου καὶ ἐμβαλεῖν εἰς τὸ στόμα τῆς Χιμαίρας. ἐλύθη δὲ ἀπὸ τοῦ πυρὸς ὁ μόλυβδος καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς. καὶ οὕτως ἀπέκτεινε τὴν Χίμαιραν.*

LXXXIII. *Περὶ Ὠκεανοῦ καὶ Τηθύος. Καὶ τοῦτον δὲ*

LXXIX. *Nonni* narr. ad Greg. invect. 1, 49. p. 144: cf. Eudoc. p. 408. ‖ 3. Ὕλᾳ vulg. et infra Ὕλας, ubi ὁ δὲ Ἰόλαος, ὁ τούτου ἀδελφιδοῦς, γνοὺς τοῦτο Eudocia. ‖ —LXXX. *Nonni* narr. ad Greg. invect. 1, 5. p. 130: similia habet id. 1, 59. p. 146: utrumque locum coniunxit Eudoc. p. 421. ‖ —LXXXI. *Nonni* narr. ad Greg. invect. 1, 53. p. 145: cf. Eudoc. p. 431. ‖ 25. Odyss. 12, 235. ἔνθεν μὲν γὰρ Σκύλλ'. ‖ —LXXXII. *Nonni* narr. ad Greg. invect. 1, 50. p. 144: cf. narr. ad or. in Basil. 8. p. 77 et Eudoc. p. 432. ‖ 28. λέων] θηρίον vulg. ‖ —LXXXIII. *Nonni* narr. ad Greg. invect. 1, 80. p. 155: cf. Eudoc. p. 439. ‖

τὸν μῦθον εἰσφέρουσιν οἱ ποιηταί, ὅτι ὁ Ὠκεανὸς πατήρ ἐστι πάντων τῶν θεῶν, ἡ δὲ Τηθὺς μήτηρ, ἀνδρόγυνον δὲ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς, καὶ ὅτι πάλαι διέστησαν ἀπ' ἀλλήλων, διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γίνεται πάλιν συνάφεια αὐτῶν καὶ φιλία. ὁ δὲ μῦθος αἰνίττεται ὅτι ὁ Ὠκεανὸς μέν ἐστιν ἡ ὑγρὰ φύσις, ἡ δὲ Τηθὺς ἡ ξηρά, τουτέστιν ἡ γῆ, καὶ ὅτι πάλαι τῆς ὑγρᾶς φύσεως μὴ συγγινομένης τῇ γῇ οὐδὲν ἐζωογονεῖτο καὶ ἀπώλλυντο πάντα. εἶτα ἡ Ἥρα ὡς ἔφορος οὖσα τῆς συζεύξεως καταλλάττει τὰ δύο στοιχεῖα εἰς συνάφειαν· καὶ γίνεται λοιπὸν ζωογονία.

LXXXIV. Περὶ Ὠρίωνος. Ἔστι δὲ οὗτος ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ Ὑριέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν γεννηθείς. γενόμενος δὲ οὗτος ὁ Ὠρίων καὶ θηρολέτης ὢν ἠράσθη τῆς Ἀρτέμιδος· εἶτα ἡ θεὸς ὀργισθεῖσα ἀνῆκε σκορπίον κατ' αὐτοῦ, καὶ κρουσθεὶς οὕτως ἀπέθανε. διὸ ἔστιν ἐν τῷ οὐρανῷ, ὡς οἱ μῦθοι λέγουσι, μετὰ τοῦ σκορπίου.

9. ζωογονία Eudocia, vulg. ζωογόνος ‖ —LXXXIV. *Nonni* narr. ad Greg. or. in Basil. 2. p. 69.

ADDENDA ET CORRIGENDA

